





C. LASCARIS
DE OCTO
PARTIBUS
ORATIONIS
BIBLIOTECA NAZIONALE CENTRALE-FIRENZE
RACCOLTA
ALDINI
II
6
10










BIBLIOTECA NAZIONALE CENTRALE-FIRENZE
ALDINI
II
6
10
RACCOLTA NENCINI


OTIVM
SINE LITERIS
MORS EST
Seneca
Ex Libris Joannis Nencini
1874

Giò Bencini

1862

Constantini Lascaris Byzantini de octo partibus orationis Liber Primus. 1.

H... Græce, et Latine, ultima libri partes



Aldus Manutius Ro. Angelo Gabrieli Patritio Veneto. S. P. D.

Cum plurimis i rebus Angele hũaniss. noui te pleniss. amo ris. humanitatis. officii diligentiæ, tũ præcipue tua in Cõstanti num Lascarem Byzantinũ præceptorem tuũ pietate, quẽ æque semper amasti, coluisti. obseruasti, ac patrem, non nescius longe magis præceptorib⁹ debere nos, q̃ parẽtib⁹, qđ a magno Alexã dro dictũ memorant. Nã ex quo Messana, ad quã erudiẽdi gra tia ꝓfectus fueras, rediisti Venetias linguæ græcæ peritissimus, (erat n. eo tẽpore Messana studiosis literaꝝ græcaꝝ Athenæ al teræ propter Constantinum) me nunq̃ destitisti rogare, ut se- cundum de cõstructione librum, & de nõie, & uerbo Tertiũ, nec non de pronominibus κατὰ τὴν συνδιάλεκτον, καὶ ποιητικὴν χρῆσιν opusculum Constantini nostri, nunq̃ ante impressos, typis nostris excudendos curarẽ. Quapp, qđ sæpe me recepi facturũ, en exeunt tandẽ in publicũ tuo rogatu & ii, quos uolebas secũ- dus, & tertius, & primus ter ante impressus. Interpretationem etiam latinam sic addidimus, ut & amoueri A græco & inser tari eidem facile possit pro uniuscuiusque arbitrio. Sed illud non possum non dolere, non licuisse Constantino lucubratio- nes suas omnes cura nostra impressas ante uidere, q̃ e uita di- scederet. qđ si accidisset, uisus sibi fuisset superare omnium for- tunas. Id ego & ex epistolis, quas ad me super ea re scripsit, faci- le perspexi, & quia librum tertium περὶ ὀνόματος, καὶ ῥήματος sic finiuit, ἐὰν εὐτυχὴς ὥσπερ τὸ πρῶτον, quasi præsagiens futu- rum, ne non secũdum, & tertium libros suos, ante, q̃ moreretur, impressos uideret, ut primum uidit. Atq; hoc illud est, quod mihi maxime dolet, et si quicquid in illius interitu mali acci- dit, non ipsi, sed nobis accidit orbatis uiro optimo, & parẽte lite rarum græcarum. Quando quidem haudquaquã dubito, qn, cũ bene semper, beateq; uixerit, quiescat cum superis, fruaturq; æternum diuinis. Tu uero mi Angele ignoscas mihi uelim, si grammaticos hosce Constantini libros apprime utiles studiosis futuros, non tã cito, ut optabas, & ipse uolebã, imprimendos cu rarim. Non n. te fugit, ne id facere possem, multa mihi fuisse impedimento, & præter cætera, dura hæc tempora, qbus longe magis studetur armis, q̃ literis. Vale, & me, ut facis, ama.

ἘΠΙΤΟΜΗ ΤΩ͂Ν ὈΚΤῺ ΤΟΥ͂ ΛΟ΄ΓΟΥ ΜΕΡΩ͂Ν, ΚΑῚ ἌΛΛΩΝ ΤΙΝΩ͂Ν ἈΝΑΓΚΑΙ΄ΩΝ, ΣΥΝΤΕΘΕΙ͂ΣΑ ΠΑΡᾺ ΚΩΝΣΤΑΝΤΙ΄ΝΟΥ ΛΑΣΚΑ΄ΡΕΩΣ ΤΟΥ͂ ΒΥΖΑΝΤΙ΄ΟΥ.

Latinum correspondens est infra circa medium huius operis: post folium 242.

Περὶ διαιρέσεως τῶν γραμμάτων. βιβλίον πρῶτον.

f. 208

γ ράμμα ἐστὶ μέρος ἐλάχιστον, φωνῆς ἀδιαίρετον. εἰσὶ δὲ γράμματα εἰκοσιτέσσαρα. α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο π ρ σ τ υ φ χ ψ ω. τούτων φωνήεντα μὲν, ἑπτά. α. ε. η. ι. ο μικρὸν. υ ψιλὸν καὶ ω μέγα. σύμφωνα δὲ, δεκαεπτά. β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. τῶν δὲ φωνηέντων, μακρὰ μὲν, δύο. η, καὶ ω μέγα. βραχέα δὲ, δύο. ε ψιλὸν, καὶ ο μικρόν. δίχρονα δὲ, τρία. α ι υ. ἐξ ὧν δίφθογγοι κυρίως μὲν, ἓξ γίνονται. αι αυ οι ου ει ευ. καταχρηστικῶς δὲ, τέσσαρες. ᾳ ῃ ῳ υι. τῶν δὲ συμφώνων, ἡμίφωνα μὲν, ὀκτώ. ζ ξ ψ λ μ ν ρ σ. ὧν διπλᾶ μὲν, τρία. ζ ξ ψ. ἀμετάβολα δὲ, τέσσαρα. λ μ ν ρ. ἄφωνα δὲ, ἐννέα. β γ δ κ π τ θ φ χ. ὧν ψιλὰ μὲν, τρία. κ π τ. δασέα δὲ, τρία. θ φ χ. μέσα δὲ, τρία. β γ δ. ἐκ τῶν εἰρημένων δὲ τῶνδε γραμμάτων, αἱ συλλαβαὶ γίνονται, οἷον, πε. ὅθεν αἱ λέξεις, οἷον, Πέτρος. ἐξ ὧν ὁ λόγος. οἷον, ὁ Πέτρος ἀναγινώσκει.

Περὶ συλλαβῆς.

Συλλαβή ἐστι σύλληψις κυρίως ἐλάχιστον δύο γραμμάτων. καταχρηστικῶς δὲ καὶ τὰ φωνήεντα συλλαβαὶ λέγονται. Διαιρεῖται δὲ ἡ συλλαβὴ, εἰς τρία. εἰς μακρὰν, οἷον, ἥρως. εἰς βραχεῖαν, οἷον, λόγος. εἰς κοινὴν, οἷον, ἄρης.

Περὶ λέξεως.

Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ συντακτικοῦ λόγου διαιρετικόν.

Περὶ λόγου.

Λόγος ἐστὶ λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα. τούτου δὲ μέρη, ὀκτώ. ὄνομα. ῥῆμα. μετοχή. ἄρθρον. ἀντωνυμία. πρόθεσις. ἐπίρρημα. σύνδεσμος. τούτων κλιτὰ μὲν, πέντε. ὄνομα. ῥῆμα. μετοχή. ἄρθρον. ἀντωνυμία. ἄκλιτα δὲ, τρία. πρόθεσις. ἐπίρρημα. σύνδεσμος.

Περὶ ὀνόματος.

Ὄνομά ἐστι μέρος λόγου κλιτὸν, οὐσίαν ἰδίαν ἢ κοινὴν σημαῖνον. Παρέπονται δὲ αὐτῷ, πέντε. γένος. εἶδος. σχῆμα. ἀριθμός. πτῶσις.

Περὶ γενῶν.

Γένη μὲν, εἰσὶ πέντε. ἀρσενικὸν, οἷον ὁ ἀγαθός. θηλυκὸν, οἷον ἡ ἀγαθή. οὐδέτερον, οἷον τὸ ἀγαθόν. κοινὸν, οἷον ὁ καὶ ἡ ἄνθρωπος. ἐπίκοινον, οἷον ὁ ἀετὸς, καὶ ἡ χελιδών. ὅπερ μιᾷ φωνῇ καὶ ἑνὶ ἄρθρῳ ἀρσενικῷ ἢ θηλυκῷ δηλοῖ τὰ δύο γένη.

Περὶ εἰδῶν.

Εἴδη δὲ, δύο. πρωτότυπον, οἷον μέγας. παράγωγον, οἷον μεγαλόψυχος.

Περὶ σχημάτων.

Σχήματα δὲ, τρία. ἁπλοῦν, οἷον, ἵππος. σύνθετον, οἷον Φίλιππος. παρασύνθετον, οἷον Φιλιππίδης.

Περὶ ἀριθμῶν.

Ἀριθμοὶ γ΄, τρεῖς. ἑνικὸς, οἷον ὁ ἀγαθός. δυϊκὸς, οἷον τὼ ἀγαθώ. πληθυντικὸς, οἷον οἱ ἀγαθοί.

Περὶ πτώσεων.

Πτώσεις δὲ, πέντε. ὀνομαστική. γενική. δοτική. αἰτιατική. καὶ κλητική. ὧν ὀρθαὶ καὶ εὐθεῖαι δύο καλοῦνται. ὀνομαστικὴ, καὶ κλητική. ὀρθῶς γὰρ ἱστάμεναι, ὀρθὴν τὴν οὐσίαν σημαίνουσιν. αἱ ἄλλαι δὲ, πλάγιαι.

Περὶ προσῳδιῶν.

Προσῳδία ἐστὶ τόνος φωνῆς ἐγγραμμάτου. Εἰσὶ δὲ προσῳδίαι δέκα. ὀξεῖα. ´ βαρεῖα. ` περισπωμένη. ῀ μακρά. ¯ βραχεῖα. ˘ δασεῖα. ῾ ψιλή. ᾿ ἀπόστροφος. ᾽ ὑφέν. ‿ καὶ ὑποδιαστολή. ,

Περὶ ἄρθρου.

Ἄρθρον ἐστὶ μέρος λόγου κλιτὸν, προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων, καὶ ὑποτασσόμενον. τούτου γ΄ τὰ μὲν, προτακτικά. οἷον, ὁ. ἡ. τό. τὰ δὲ, ὑποτακτικά. οἷον, ὅς. ἥ. ὅ. Παρέπονται γ΄ αὐτῷ, τρία. γένος. ἀριθμός. πτῶσις.

Ἄρθρα προτακτικὰ, ἀρσενικά.

Ἡ ὀνομαστικὴ, ὁ. ἡ γενικὴ, τοῦ. ἡ δοτικὴ, τῷ. ἡ αἰτιατικὴ, τόν. // Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ, τώ. ἡ γενικὴ καὶ δοτικὴ, τοῖν. // Ἡ ὀνομαστικὴ, οἱ. ἡ γενικὴ, τῶν. ἡ δοτικὴ, τοῖς. ἡ αἰτιατικὴ, τούς.

Ἄρθρα θηλυκά.	Ἡ. τῆς. τῇ. τήν. τά. ταῖν. αἱ. τῶν. ταῖς. τάς.
Ἄρθρα οὐδέτερα.	Τό. τοῦ. τῷ. τό. τώ. τοῖν. τά. τῶν. τοῖς. τά.
Ἄρθρα ὑποτακτικὰ, ἀρσενικά.	Ὅς. οὗ. ᾧ. ὅν. ὥ. οἷν. οἵ. ὧν. οἷς. οὕς.
Θηλυκά.	Ἥ. ἧς. ᾗ. ἥν. ἅ. αἷν. αἵ. ὧν. αἷς. ἅς.
Οὐδέτερα.	Ὅ. οὗ. ᾧ. ὅ. ὥ. οἷν. ἅ. ὧν. οἷς. ἅ.

κλητικὴ δὲ οὐδεμία ἄρθρον ἔχει. τὸ γὰρ ὦ, ἐπίρρημά ἐστι κλητικόν.

Περὶ διαιρέσεως τῶν ὀνομάτων.

Τῶν ὀνομάτων τὰ μὲν, κλίνονται ἰσοσυλλάβως, οἷον, αἰνείας, αἰνείου. τὰ δὲ, περιττοσυλλάβως, οἷον, αἴας, αἴαντος. καὶ τὰ μὲν ἰσοσύλλαβα, κλίνονται πενταχῶς. τὰ δὲ περιττοσύλλαβα, μοναχῶς. διὸ καὶ πέντε κλίσεις εἰσίν. ὧν ἡ μὲν, πρώτη καλεῖται. ἡ δὲ, δευτέρα. ἡ δὲ, τρίτη. ἡ δὲ, τετάρτη. ἡ δὲ, πέμπτη ἡ περιττοσύλλαβος.

Πρώτη κλίσις.

Πρώτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν ὀνομάτων εἰς ας ληγόντων, καὶ εἰς ης, ἀρσενικῶν, καὶ κοινῶν. ὧν ἡ γενικὴ, εἰς ου. ἡ δοτικὴ, εἰς ᾳ ἢ εἰς ῃ κατὰ τὸ φωνῆεν τῆς ὀνομαστικῆς. ἡ αἰτιατικὴ, εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς.

Ἡ ὀνομαστικὴ, ὁ αἰνείας. ἡ γενικὴ, τοῦ αἰνείου. ἡ δοτικὴ, τῷ αἰνείᾳ. ἡ αἰτιατικὴ, τὸν αἰνείαν. ἡ κλητικὴ, ὦ αἰνεία κοινῶς, καὶ ὦ αἰνείας ἀττικῶς. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ, τὼ αἰνεία. ἡ γενικὴ καὶ δοτικὴ, τοῖν αἰνείαιν. ἡ κλητικὴ, ὦ αἰνεία. Ἡ ὀνομαστικὴ, οἱ αἰνεῖαι. ἡ γενικὴ, τῶν αἰνειῶν. ἡ δοτικὴ, τοῖς αἰνείαις. ἡ αἰτιατικὴ, τοὺς αἰνείας. ἡ κλητικὴ, ὦ αἰνεῖαι.

Ὁ χρύσης. τοῦ χρύσου. τῷ χρύσῃ. τὸν χρύσην. ὦ χρύση κοινῶς, καὶ ὦ χρύσης ἀττικῶς. τὼ χρύσα. τοῖν χρύσαιν. ὦ χρύσα. οἱ χρύσαι. τῶν χρυσῶν. τοῖς χρύσαις. τοὺς χρύσας. ὦ χρύσαι.

Ὁ καὶ ἡ λῃστής. τοῦ καὶ τῆς λῃστοῦ. τῷ καὶ τῇ λῃστῇ. τὸν καὶ τὴν λῃστήν. ὦ λῃστά. τὼ καὶ τὰ λῃστά. τοῖν καὶ ταῖν λῃσταῖν. ὦ λῃστά. οἱ καὶ αἱ λῃσταί. τῶν λῃστῶν. τοῖς καὶ ταῖς λῃσταῖς. τοὺς καὶ τὰς λῃστάς. ὦ λῃσταί.

Δευτέρα κλίσις.

Δευτέρα κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων θηλυκῶν ὀνομάτων εἰς α καὶ εἰς η ληγόντων. ὧν ἡ γενικὴ, εἰς ης. ἡ δοτικὴ, εἰς ῃ. ἡ αἰτιατικὴ, εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς.

Ἡ μοῦσα. τῆς μούσης. τῇ μούσῃ. τὴν μοῦσαν. ὦ μοῦσα. τὰ μούσα, ταῖν μούσαιν. ὦ μούσα. αἱ μοῦσαι. τῶν μουσῶν. ταῖς μούσαις. τὰς μούσας. ὦ μοῦσαι.

Ἡ τιμή. τῆς τιμῆς. τῇ τιμῇ. τὴν τιμήν. ὦ τιμή. τὰ τιμά. ταῖν τιμαῖν. ὦ τιμά. αἱ τιμαί. τῶν τιμῶν. ταῖς τιμαῖς. τὰς τιμάς. ὦ τιμαί.

Σημείωσαι ὅτι μόνα τὰ εἰς α μακρὸν, καὶ εἰς α καθαρὸν, καὶ εἰς ρα, καὶ εἰς δα, καὶ εἰς θα λήγοντα ὀνόματα θηλυκὰ, φυλάττουσι τὸ α ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς. οἷον, ἀθηνᾶ, ἀθηνᾶς, ἀθηνᾷ. μαῖα, μαίας, μαίᾳ. ἡμέρα, ἡμέρας, ἡμέρᾳ. λήδα, λήδας, λήδᾳ. μάρθα, μάρθας, μάρθᾳ. τὰ δὲ ἄλλα πάντα, τρέπουσι τὸ α εἰς η ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς. οἷον, μοῦσα, μούσης, μούσῃ. δίψα, δίψης, δίψῃ. πεῖνα,

πείνης, πείνῃ.

Τρίτη κλίσις.

Τρίτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων ἀττικῶν ληγόντων εἰς ως, καὶ οὐδετέρων, εἰς ων. ὧν ἡ γενικὴ καὶ δοτικὴ, εἰς ω. ἡ αἰτιατικὴ, εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς. 3

ὁ μενέλεως. τοῦ μενέλεω. τῷ μενέλεῳ. τὸν μενέλεων. ὦ μενέλεως. τὼ μενέλεω. τοῖν μενέλεῳν. ὦ μενέλεω. οἱ μενέλεῳ. τῶν μενέλεων. τοῖς μενέλεῳς. τοὺς μενέλεως. ὦ μενέλεῳ.

Ἡ ἅλως. τῆς ἅλω. τῇ ἅλῳ. τὴν ἅλων. ὦ ἅλως. τὰ ἅλω. ταῖν ἅλῳν. ὦ ἅλω. αἱ ἅλῳ. τῶν ἅλων. ταῖς ἅλῳς. τὰς ἅλως. ὦ ἅλῳ.

ὁ καὶ ἡ εὔγεως. τοῦ καὶ τῆς εὔγεω

τὸ εὔγεων. τοῦ εὔγεω. τῷ εὔγεῳ. τὸ εὔγεων. ὦ εὔγεων. τὸ εὔγεω. τοῖν εὔγεῳν. ὦ εὔγεω. τὰ εὔγεω. τῶν εὔγεων. τοῖς εὔγεῳς. τὰ εὔγεω. ὦ εὔγεω.

Τετάρτη κλίσις.

Τετάρτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων ληγόντων εἰς ος, καὶ οὐδετέρων, εἰς ον. ὧν ἡ γενικὴ, εἰς ου. ἡ δοτικὴ, εἰς ῳ. ἡ αἰτιατικὴ, εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς. 4

ὁ λόγος. τοῦ λόγου. τῷ λόγῳ. τὸν λόγον. ὦ λόγε κοινῶς, καὶ ὦ λόγος ἀττικῶς. τὼ λόγω. τοῖν λόγοιν. ὦ λόγω. οἱ λόγοι. τῶν λόγων. τοῖς λόγοις. τοὺς λόγους. ὦ λόγοι.

Ἡ ὁδός. τῆς ὁδοῦ. τῇ ὁδῷ. τὴν ὁδόν. ὦ ὁδὲ κοινῶς, καὶ ὦ ὁδὸς ἀττικῶς. τὰ ὁδώ. ταῖν ὁδοῖν. ὦ ὁδώ. αἱ ὁδοί. τῶν ὁδῶν. ταῖς ὁδοῖς. τὰς ὁδούς. ὦ ὁδοί.

ὁ καὶ ἡ ἄνθρωπος. τοῦ καὶ τῆς ἀνθρώπου. τῷ καὶ τῇ ἀνθρώπῳ. τὸν καὶ τὴν ἄνθρωπον. ὦ ἄνθρωπε, καὶ ὦ ἄνθρωπος.

ὁ ἀετός. τοῦ ἀετοῦ. τῷ ἀετῷ. τὸν ἀετόν.

τὸ ξύλον. τοῦ ξύλου. τῷ ξύλῳ. τὸ ξύλον. ὦ ξύλον. τὼ ξύλω. τοῖν ξύλοιν. ὦ ξύλω. τὰ ξύλα. τῶν ξύλων. τοῖς ξύλοις. τὰ ξύλα. ὦ ξύλα.

Σημείωσαι δὲ ὅτι ἐν τοῖς οὐδετέροις ὀνόμασι τρεῖς πτώσεις εἰσὶν ὅμοιαι ἐν παντὶ ἀριθμῷ. ὀνομαστικὴ, αἰτιατικὴ, καὶ κλητική.

Πέμπτη κλίσις.

Πέμπτη κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλάβων ὀνομάτων, ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ οὐδετέρων, κοινῶν, καὶ ἐπικοίνων, διαφόρους κατὰ τὰς λήξεις ἐχόντων. ὧν ἡ γενικὴ, εἰς ος. ἡ δοτικὴ, εἰς ι. ἡ αἰτιατικὴ, εἰς α. 5

ὁ αἴας. τοῦ αἴαντος. τῷ αἴαντι. τὸν αἴαντα. ὦ αἶαν κοινῶς, καὶ ὦ αἴας ἀττικῶς. τὼ αἴαντε. τοῖν αἰάντοιν. ὦ αἴαντε. οἱ αἴαντες. τῶν αἰάντων. τοῖς αἴασι. τοὺς αἴαντας. ὦ αἴαντες.

Ἡ ζυγών. τῆς ζυγόνος. τῇ ζυγόνι. τὴν ζυγόνα. ὦ ζυγών. τὰ ζυγό-

νε. ταῖν ξυζυγόνοιν. ὦ ξυζυγόνε. αἱ ξυζυγόνες. τῶν ξυζυγόνων. ταῖς ξυζυγόσι. τὰς ξυζυγόνας. ὦ ξυζυγόνες. τὸ βῆμα. τοῦ βήματος. τῷ βήματι. τὸ βῆμα. ὦ βῆμα. τὼ βήματε. τοῖν βημάτοιν. ὦ βήματε. τὰ βήματα. τῶν βημάτων. τοῖς βήμασι. τὰ βήματα. ὦ βήματα.

ὁ καὶ ἡ φιλόπολις. τοῦ καὶ τῆς φιλοπόλιδος. ὁ κόραξ, τοῦ κόρακος.

καταλήξεις διάφοροι τῶν ὀνομάτων τῆς πέμπτης κλίσεως.

ὁ θόας. τοῦ θόαντος. τῷ θόαντι. τὸν θόαντα. ὦ θόαν, καὶ ὦ θόας.

ὁ λάχης. τοῦ λάχητος. τῷ λάχητι. τὸν λάχητα. ὦ λάχης.

ὁ πάρις. τοῦ πάριδος. τῷ πάριδι. τὸν πάριδα, καὶ πάριν. ὦ πάρι, καὶ ὦ πάρις.

ὁ χαρίεις. τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίεν, καὶ ὦ χαρίεις, καὶ ὦ χάριεν.

ὁ ὠκύς. τοῦ ὠκέος. τῷ ὠκέϊ, καὶ ὠκεῖ. τὸν ὠκέα, καὶ ὠκύν. ὦ ὠκύ, καὶ ὦ ὠκύς.

ὁ βότρυς. τοῦ βότρυος. τῷ βότρυϊ. τὸν βότρυα.

ὁ βοῦς. τοῦ βοός. τῷ βοΐ. τὸν βόα, καὶ βοῦν. ὦ βοῦ.

ὁ ἱδρώς. τοῦ ἱδρῶτος. τῷ ἱδρῶτι. τὸν ἱδρῶτα.

ὁ ἥρως. τοῦ ἥρωος. τῷ ἥρωϊ. τὸν ἥρωα. ὦ ἥρως.

ὁ ἅλς. τοῦ ἁλός. τῷ ἁλί. τὸν ἅλα. ὦ ἅλς.

ὁ τίρυνς. τοῦ τίρυνθος. τῷ τίρυνθι. τὸν τίρυνθα.

ὁ παιάν. τοῦ παιᾶνος. τῷ παιᾶνι. τὸν παιᾶνα.

ὁ ποιμήν. τοῦ ποιμένος. τῷ ποιμένι. τὸν ποιμένα.

ὁ ἕλλην. τοῦ ἕλληνος. τῷ ἕλληνι. τὸν ἕλληνα.

ὁ δελφίν. τοῦ δελφῖνος. τῷ δελφῖνι. τὸν δελφῖνα.

ὁ φόρκυν. τοῦ φόρκυνος. τῷ φόρκυνι. τὸν φόρκυνα.

ὁ θέων. τοῦ θέωνος. τῷ θέωνι. τὸν θέωνα. ὦ θέων.

ὁ ξενοφῶν. τοῦ ξενοφῶντος. τῷ ξενοφῶντι.

ὁ θώραξ. τοῦ θώρακος. τῷ θώρακι. τὸν θώρακα.

ὁ ἅρπαξ. τοῦ ἅρπαγος. ὁ μύρμηξ. τοῦ μύρμηκος.

ὁ βουπλήξ. τοῦ βουπλῆγος. τῷ βουπλῆγι.

ὁ πέρδιξ. τοῦ πέρδικος. ὁ δοίδυξ. τοῦ δοίδυκος. τῷ δοίδυκι.

ὁ πτώξ. τοῦ πτωκός. τῷ πτωκί. τὸν πτῶκα.

ὁ λουτήρ. τοῦ λουτῆρος. τῷ λουτῆρι. τὸν λουτῆρα.

ὁ αἰθήρ. τοῦ αἰθέρος. ὁ ἴβηρ. τοῦ ἴβηρος. τῷ ἴβηρι.

ὁ νέστωρ. τοῦ νέστορος. τῷ νέστορι. τὸν νέστορα.

ὁ ἄραψ. τοῦ ἄραβος. ὁ λίψ. τοῦ λιβός. τῷ λιβί.

ὁ μέροψ. τοῦ μέροπος. τῷ μέροπι.

ὁ κύκλωψ. τοῦ κύκλωπος. τῷ κύκλωπι. τὸν κύκλωπα. ὦ κύ-
κλωψ. Θηλυκά.

Ἡ ἀκράγας. τῆς ἀκράγαντος. τῇ ἀκράγαντι. τὴν ἀκράγαντα.
Ἡ τροιζήν. τῆς τροιζῆνος. τῇ τροιζῆνι.
Ἡ σαλαμίν. τῆς σαλαμῖνος. τῇ σαλαμῖνι.
Ἡ γόρτυν. τῆς γόρτυνος. τῇ γόρτυνι. τὴν γόρτυνα.
Ἡ τρήρων. τῆς τρήρωνος. τῇ τρήρωνι.
Ἡ ἀηδών. τῆς ἀηδόνος. τῇ ἀηδόνι. τὴν ἀηδόνα.
Ἡ αὖλαξ. τῆς αὔλακος. τῇ αὔλακι. τὴν αὔλακα.
Ἡ χάληξ. τῆς χάληκος. τῇ χάληκι.
Ἡ ἀλώπηξ. τῆς ἀλώπεκος. τῇ ἀλώπεκι.
Ἡ κύλιξ. τῆς κύλικος. τῇ κύλικι.
Ἡ μάστιξ. τῆς μάστιγος. τῇ μάστιγι.
Ἡ φλόξ. τῆς φλογός. τῇ φλογί.
Ἡ ἄντυξ. τῆς ἄντυγος. τῇ ἄντυγι.
Ἡ δάμαρ. τῆς δάμαρτος. τῇ δάμαρτι.
Ἡ χείρ. τῆς χειρός. τῇ χειρί. τὴν χεῖρα.
Ἡ μήτηρ. τῆς μητέρος, καὶ μητρός. τῇ μητέρι, καὶ μητρί. τὴν μη-
τέρα. ὦ μῆτερ.
Ἡ λαμπάς. τῆς λαμπάδος. τῇ λαμπάδι.
Ἡ δαΐς. τῆς δαιτός. ὁ καὶ ἡ παῖς. τοῦ καὶ τῆς παιδός.
Ἡ φιλότης. τῆς φιλότητος. τῇ φιλότητι.
Ἡ μῆνις. τῆς μήνιδος. τῇ μήνιδι. τὴν μήνιδα, καὶ μῆνιν.
Ἡ κόνις. τῆς κόνιος. τῇ κόνιϊ.
Ἡ κλείς. τῆς κλειδός. τῇ κλειδί. τὴν κλεῖδα, καὶ κλεῖν.
Ἡ χλαμύς. τῆς χλαμύδος. τῇ χλαμύδι.
Ἡ ἐριννύς. τῆς ἐριννύος. τῇ ἐριννύϊ.
Ἡ γένυς. τῆς γένυος. τῇ γένυϊ. Ἡ δάμαρς. τῆς δάμαρ-
τος. τῇ δάμαρτι. Ἡ ἅλς. τῆς ἁλός. Ἡ τίρως. τοῦ τίρωθος.
Ἡ ὄψ. τῆς ὀπός. Ἡ φλέψ. τῆς φλεβός. τῇ φλεβί. Οὐδέτερα. μέουτρα

Τὸ σῆμα. τοῦ σήματος. τῷ σήματι. τὸ σῆμα. Τὸ μέλι. τοῦ μέλιτος.
τῷ μέλιτι. Τὸ πῶϋ. τοῦ πώεος. τῷ πώεϊ. Τὸ δόρυ. τοῦ δόρυος, καὶ
δουρός. Τὸ πᾶν. τοῦ παντός. Τὸ μέλαν. τοῦ μέλανος. Τὸ χαρίεν.
τοῦ χαρίεντος. Τὸ τιθέν. τοῦ τιθέντος. Τὸ τυφῶν. τοῦ τυφῶντος.
Τὸ ζευγνύν. τοῦ ζευγνύντος. Τὸ μεῖζον. τοῦ μείζονος. Τὸ εὔδαιμον.
τοῦ εὐδαίμονος. Τὸ δέλεαρ. τοῦ δελέατος. Τὸ ἧπαρ. τοῦ ἥπατος.
Τὸ νέκταρ. τοῦ νέκταρος. Τὸ κῆρ. τοῦ κηρός. Τὸ πῦρ. τοῦ πυρός.

τὸ ἔλωρ. τοῦ ἔλωρος. τὸ ὕδωρ. τοῦ ὕδατος. τὸ ἦτορ. τοῦ ἤτορος. τὸ ἄλγος. τοῦ ἄλγους. τὸ σταῖς. τοῦ σταιτός. τὸ τεῖχος. τοῦ τείχεος. τὸ τετυφός. τοῦ τετυφότος. τὸ φῶς. τοῦ φωτός. Καὶ ταῦτα μὲν περὶ τῶν ἁπλῶν κλίσεων. νῦν δὲ περὶ τῶν συνῃρημένων λέγωμεν. Περὶ τῶν συνῃρημένων κλίσεων.

Εἰσὶ καὶ ἄλλαι πέντε κλίσεις συνῃρημέναι καλούμεναι, ἀπὸ τῆς πέμπτης κλίσεως κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι.

Συναίρεσις μέν ἐστι δύο φωνηέντων φυλαττομένων συναλοιφή. οἷον, δημοσθένεϊ, ει. κρᾶσις δὲ, δύο φωνηέντων ἀλλοιουμένων συναλοιφή. οἷον, δημοσθένεα, η. ἢ τοῦ εος. οἷον, δημοσθένεος, ους. Πρώτη κλίσις.

Πρώτη κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν καὶ θηλυκῶν καὶ κοινῶν ὀνομάτων, ληγόντων εἰς ης. καὶ οὐδετέρων, εἰς ες, καὶ εἰς ος. ὧν ἡ γενικὴ διὰ τοῦ εος οὖσα ἰωνικῶς, εἰς ους κοινῶς κιρνᾶται.

ὁ δημοσθένης. τοῦ δημοσθένεος, ους. τῷ δημοσθένεϊ, ει. τὸν δημοσθένεα, η. ὦ δημόσθενες, καὶ ὦ δημοσθένης. τὼ δημοσθένεε, η. τοῖν δημοσθενέοιν, οῖν. ὦ δημοσθένεε, η. οἱ δημοσθένεες, εις. τῶν δημοσθενέων, ῶν. τοῖς δημοσθένεσι. τοὺς δημοσθένεας, εις. ὦ δημοσθένεες, εις.

Ἡ τριήρης. τῆς τριήρεος, ους. τῇ τριήρεϊ, ει. τὴν τριήρεα, η.

ὁ καὶ ἡ ἀληθής. τοῦ καὶ τῆς ἀληθέος, οῦς. τῷ καὶ τῇ ἀληθέϊ, εῖ. τὸν καὶ τὴν ἀληθέα, ῆ. ὦ ἀληθές, καὶ ὦ ἀληθής. τὼ καὶ τὰ ἀληθέε, ῆ. τοῖν καὶ ταῖν ἀληθέοιν, οῖν. ὦ ἀληθέε, ῆ. οἱ καὶ αἱ ἀληθέες, εῖς. τῶν ἀληθέων, ῶν. τοῖς καὶ ταῖς ἀληθέσι. τοὺς καὶ τὰς ἀληθέας, εῖς. ὦ ἀληθέες, εῖς.

τὸ ἀληθές. τοῦ ἀληθέος, οῦς. τῷ ἀληθέϊ, εῖ. τὸ ἀληθές. ὦ ἀληθές. τὼ ἀληθέε, ῆ. τοῖν ἀληθέοιν, οῖν. ὦ ἀληθέε, ῆ. τὰ ἀληθέα, ῆ. τῶν ἀληθέων, ῶν. τοῖς ἀληθέσι. τὰ ἀληθέα, ῆ. ὦ ἀληθέα, ῆ.

τὸ τεῖχος. τοῦ τείχεος, ους. τῷ τείχεϊ, ει. τὸ τεῖχος, ὦ τεῖχος. τὼ τείχεε, η. τοῖν τειχέοιν, οῖν. ὦ τείχεε, η. τὰ τείχεα, η. τῶν τειχέων, ῶν. τοῖς τείχεσι. τὰ τείχεα, η. ὦ τείχεα, η. Δευτέρα κλίσις.

Δευτέρα κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν καὶ θηλυκῶν, κοινῶν τε καὶ ἐπικοίνων ὀνομάτων εἰς ις ληγόντων. καὶ οὐδετέρων, εἰς ι. ὧν ἡ γενικὴ διὰ τοῦ ιος κοινῶς, καὶ εος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται.

ὁ ὄφις. τοῦ ὄφιος κοινῶς, καὶ ὄφεος ἰωνικῶς, καὶ ὄφεως ἀττικῶς. τῷ ὄφιϊ, ι. καὶ ὄφεϊ, ει. τὸν ὄφιν μόνως. ὦ ὄφι κοινῶς, καὶ ὦ ὄφις ἀττικῶς. τὼ ὄφιε, καὶ ὄφεε, η. τοῖν ὀφίοιν, καὶ ὀφέοιν, καὶ ὀφεῶν. ὦ ὄφιε, καὶ ὦ ὄφεε, η. οἱ ὄφιες, ις. καὶ ὄφεες, εις. τῶν ὀφίων, καὶ ὀφέων, καὶ ὄφεων. τοῖς ὄφισι, καὶ ὄφεσι. τοὺς ὄφιας, ις. καὶ ὄφεας, εις. ὦ ὄφιες, ις. καὶ ὦ ὄφεες, εις.

Ἡ πόλις. τῆς πόλιος κοινῶς, καὶ πόλεος ἰωνικῶς, καὶ πόλεως ἀττι-

κῶς. τῇ πόλιϊ, πόλι. καὶ πόλεϊ, πόλει. τὴν πόλιν μόνως. ὦ πόλι, καὶ ὦ πόλις. Τὰ πόλιε, καὶ πόλεε, πόλη. ταῖν πολίοιν, καὶ πολέοιν, καὶ πολεῷν. ὦ πόλιε, καὶ ὦ πόλεε, πόλη. Αἱ πόλιες, ις. καὶ πόλεες, εις. τῶν πολίων, καὶ πολέων, καὶ πόλεων. ταῖς πόλισι, καὶ πόλεσι. τὰς πόλιας, ις. καὶ πόλεας, εις. ὦ πόλιες, ις. καὶ ὦ πόλεες, εις.

Τὸ σίνηπι. τοῦ σινήπιος κοινῶς, καὶ σινήπεος ἰωνικῶς, καὶ σινήπεως ἀττικῶς. τῷ σινήπιϊ, ι. καὶ σινήπεϊ, ει. τὸ σίνηπι. ὦ σίνηπι. Τὼ σινήπιε, καὶ σινήπεε, η. τοῖν σινηπίοιν, καὶ σινηπέοιν, καὶ σινηπεῷν. ὦ σινήπιε, καὶ ὦ σινήπεε, η. Τὰ σινήπια, ι. καὶ σινήπεα, η. τῶν σινηπίων, καὶ σινηπέων, καὶ σινήπεων. τοῖς σινήπισι, καὶ σινήπεσι. τὰ σινήπια, ι. καὶ σινήπεα, η. ὦ σινήπια, ι. καὶ ὦ σινήπεα, η.

Η. Σημείωσαι δὲ ὅτι συναιρουμένης τῆς ἑνικῆς γενικῆς ὥσπερ ἐπὶ τῶν πρώτης κλίσεως, συναιρεῖται καὶ ἡ γενικὴ δυϊκὴ, καὶ πληθυντική. ἐκείνης δὲ μὴ συναιρουμένης ὥσπερ ἐπὶ τῆς δευτέρας κλίσεως, οὐδὲ αὗται συναιροῦνται.

Τρίτη κλίσις.

Τρίτη κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν ὀνομάτων εἰς ευς ληγόντων. ὧν ἡ γενικὴ διὰ τοῦ εος κοινῶς, καὶ ηος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται. 3a

Ὁ βασιλεύς. τοῦ βασιλέος κοινῶς, καὶ βασιλῆος ἰωνικῶς, καὶ βασιλέως ἀττικῶς. τῷ βασιλέϊ, εῖ, καὶ βασιλῆϊ. τὸν βασιλέα, καὶ βασιλῆα. ὦ βασιλεῦ, καὶ ὦ βασιλεύς. Τὼ βασιλέε, καὶ βασιλῆε, η. τοῖν βασιλέοιν, καὶ βασιλήοιν. ὦ βασιλέε, καὶ ὦ βασιλῆε, η. Οἱ βασιλέες, εῖς, καὶ βασιλῆες. τῶν βασιλέων, καὶ βασιλήων. τοῖς βασιλεῦσι, καὶ βασιλῆσι. τοὺς βασιλέας, εῖς, καὶ βασιλῆας. ὦ βασιλέες, εῖς, καὶ βασιλῆες.

Τετάρτη κλίσις. 4a

Τετάρτη κλίσις ἐστὶ τῶν συνῃρημένων θηλυκῶν ὀνομάτων εἰς ω καὶ εἰς ως ληγόντων. ὧν ἡ γενικὴ διὰ τοῦ οος οὖσα, εἰς ους κατὰ κρᾶσιν γίνεται.

Ἡ λητώ. τῆς λητόος, οῦς. τῇ λητόϊ, οῖ. τὴν λητόα, ῶ. ὦ λητοῖ. Τὰ λητώ. ταῖν λητοῖν. ὦ λητώ. Αἱ λητοί. τῶν λητῶν. ταῖς λητοῖς. τὰς λη

Ἡ αἰδώς. τῆς αἰδόος, οῦς. τῇ αἰδόϊ, οῖ. τὴν αἰδόα, ῶ. (τούς. ὦ λητοί. ὦ αἰδοῖ. Τὰ αἰδώ. ταῖν αἰδοῖν. ὦ αἰδώ. Αἱ αἰδοί. τῶν αἰδῶν. ταῖς αἰδοῖς. τὰς αἰδούς. ὦ αἰδοί.

Πέμπτη κλίσις. 5a

Πέμπτη κλίσις ἐστὶ τῶν συνῃρημένων οὐδετέρων ὀνομάτων εἰς ας καὶ εἰς ρας ληγόντων. ὧν ἡ γενικὴ διὰ τοῦ ατος κοινῶς, καὶ αος ἰωνικῶς, καὶ ως ἀττικῶς γίνεται.

Τὸ κρέας. τοῦ κρέατος κοινῶς, καὶ κρέαος ἰωνικῶς, καὶ κρέως ἀττικῶς. τῷ κρέατι, καὶ κρέαϊ, καὶ κρέᾳ. τὸ κρέας, ὦ κρέας. Τὼ κρέατε, καὶ κρέαε, καὶ κρέα. τοῖν κρεάτοιν, καὶ κρεάοιν, καὶ κρεῷν. ὦ κρέατε, καὶ ὦ κρέαε, καὶ ὦ κρέα. Τὰ κρέατα, καὶ κρέαα, καὶ κρέα.

τῶν κρεάτων, καὶ κρεάων, καὶ κρεῶν. τοῖς κρέασι. τὰ κρέατα, καὶ κρέαα, καὶ κρέα. ὦ κρέατα, καὶ ὦ κρέαα, καὶ ὦ κρέα.

Τὸ κέρας. τοῦ κέρατος κοινῶς, καὶ κέραος ἰωνικῶς, καὶ κέρως ἀττικῶς. τῷ κέρατι, καὶ κέραϊ, καὶ κέρᾳ. τὸ κέρας, ὦ κέρας. καὶ τὰ λοιπὰ ὁμοί-

Σημείωσαι ὅτι τὰ εἰς οος ὀνόματα, συναιροῦνται (ὥσπερ τῷ κρέατι. ἐν πάσαις ταῖς πτώσεσιν. Ὁ νόος, οῦς. τοῦ νόου, οῦ. τῷ νόῳ, ῷ. τὸν νόον, οῦν. ὦ νόε, οῦ. τὼ νόω, ῶ. τοῖν νόοιν, οῖν. ὦ νόω, ῶ. Οἱ νόοι, οῖ. τῶν νόων, ῶν. τοῖς νόοις, οῖς. τοὺς νόους, οῦς. ὦ νόοι, οῖ. Οὕτω καὶ ὁ πλόος οῦς, καὶ ῥόος οῦς, καὶ χρόος οῦς, καὶ ἁπλόος οῦς, καὶ διπλόος οῦς, καὶ τετραπλόος οῦς. ὧν καὶ τὰ οὐδέτερα συναιροῦνται. Τὸ ἁπλόον, οῦν. τοῦ ἁπλόου, οῦ. τῷ ἁπλόῳ, ῷ. τὸ ἁπλόον, οῦν. Τὰ ἁπλόα, ᾶ. τῶν ἁπλόων, ῶν. τοῖς ἁπλόοις, ἁπλοῖς. τὰ ἁπλόα, ᾶ. ὦ ἁπλόα, ᾶ. Ἔτι συναιροῦνται καὶ τὰ εἰς υς ὀξύτονα, καὶ βαρύτονα. ὀξύτονα μέν, ὁ ἡδύς, τοῦ ἡδέος, τῷ ἡδέϊ, καὶ ἡδεῖ. τὸν ἡδέα, καὶ ἡδύν. ὦ ἡδύ, καὶ ὦ ἡδύς. Τὼ ἡδέε, τοῖν ἡδέοιν, ὦ ἡδέε. Οἱ ἡδέες, καὶ ἡδεῖς. τῶν ἡδέων. τοῖς ἡδέσι. τοὺς ἡδέας, καὶ ἡδεῖς. ὦ ἡδέες, καὶ ὦ ἡδεῖς. Βαρύτονα δέ, ὁ βότρυς. τοῦ βότρυος. τῷ βότρυϊ. τὸν βότρυα, υν. ὦ βότρυ, καὶ ὦ βότρυς. Τὼ βότρυε, τοῖν βοτρύοιν, ὦ βότρυε. Οἱ βότρυες, υς. τῶν βοτρύων. τοῖς βότρυσι. τοὺς βότρυας, υς. ὦ βότρυες, υς.

Ἡ ναῦς. τῆς ναὸς, καὶ νηὸς, καὶ νεώς. τῇ ναΐ, καὶ νηΐ. τὴν ναῦν καὶ νηῦν, καὶ νῆα. ὦ ναῦς, καὶ νηῦς. Αἱ νᾶες, καὶ νῆες, καὶ νέες. τῶν ναῶν, καὶ νηῶν, καὶ νεῶν. ταῖς ναυσί, καὶ νηυσί, καὶ νήεσι. τὰς νῆας, καὶ ναῦς, καὶ νηῦς, καὶ νέας. ὦ νᾶες, καὶ νῆες, καὶ νέες.

Ἡ γραῦς. τῆς γραὸς, καὶ γρηός. τῇ γραΐ, καὶ γρηΐ. τὴν γραῦν, καὶ γρηῦν. ὦ γραῦς, καὶ γρηῦς. Αἱ γρᾶες, καὶ γρῆες. τῶν γραῶν, καὶ γρηῶν, καὶ γρεῶν. ταῖς γραυσί, καὶ γρηυσί, καὶ γρήεσι. τὰς γραῦς, καὶ γρηῦς. ὦ γρᾶες, καὶ γρῆες.

Περὶ τῶν συναιρέσεων καὶ κράσεων.

Τὸ ε καὶ ο, εἰς τὴν ου δίφθογγον κιρνᾶται. οἷον, Δημοσθένεος, ους. Τὸ ο, καὶ ε, εἰς ου κιρνᾶται. οἷον, βόες, βοῦς. Τὸ ε καὶ ι, εἰς ει συναιρεῖται. οἷον, Δημοσθένεϊ, ει. Τὸ ε καὶ α, ἐν μὲν τῇ ἑνικῇ αἰτιατικῇ, εἰς η κιρνᾶται. οἷον, Δημοσθένεα, η. ἐν δὲ τῇ πληθυντικῇ, εἰς ει δίφθογγον. οἷον, Δημοσθένεας, εις. Τὰ δύο εε, ἐν μὲν τῇ ὀνομαστικῇ δυϊκῇ, εἰς η κιρνᾶται. οἷον, Δημοσθένεε, η. ἐν δὲ τῇ πληθυντικῇ, εἰς ει. οἷον, Δημοσθένεες, εις. Τὸ ε καὶ οι, εἰς οι κιρνᾶται. οἷον, Δημοσθενέοιν, οῖν. Τὸ ε καὶ ω, εἰς ω κιρνᾶται. οἷον, Δημοσθενέων, ῶν. Τὸ ε καὶ α ἐν τῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ τῶν συνῃρημένων οὐδετέρων, εἰς η κιρνᾶται. οἷον, τὰ τείχεα, η. τὰ ἀληθέα, ῆ. Τὰ δύο βραχέα ιι, εἰς ἓν μακρὸν κιρνᾶται. οἷον, τῷ ὄφιϊ, ι. Τὸ ι καὶ ε, εἰς ι μακρὸν κιρνᾶται. οἷον, ὄφιες. ις.

Τὸ ι καὶ α, εἰς ι μακρὸν κιρνᾶται. οἷον, ὄφιας, ις. Τὰ δύο οο, εἰς ου κιρνᾶται. οἷον, λητόος, οῦς. Τὸ ο καὶ ι, εἰς οι συναιρεῖται. οἷον, λητόϊ, οῖ. Τὸ ο καὶ α, εἰς ω κιρνᾶται. οἷον, λητόα, ώ. Τὸ α καὶ ο, εἰς ω κιρνᾶται. οἷον, κρέαος, έως. Τὸ ι καὶ α, εἰς α μακρὸν κιρνᾶται. οἷον, κρέαϊ, κρέᾳ. Τὸ α καὶ ε, εἰς α μακρὸν κιρνᾶται. οἷον, κρέαε, κρέα. Τὸ α καὶ ο τῆς οι διφθόγγου, εἰς ω κιρνᾶται. τὸ δὲ ι, προσγράφεται. οἷον, κρεάοιν, κρεῷν. Τὸ α καὶ ω, εἰς ω κιρνᾶται. οἷον, κρεάων, κρεῶν. Τὸ υ καὶ ε εἰς υ μακρὸν κιρνᾶται. οἷον, βότρυες, βότρυς. ἔπι τὸ υ καὶ α. οἷον, βότρυας, βότρυς.

Περὶ τῶν ἀριθμητικῶν ὀνομάτων.

Τούτων οὕτως εἰρημένων, εἰδέναι δεῖ ὅτι τὰ μὲν σημαίνοντα ἀριθμητικὰ ὀνόματα, ἑνικῶς μόνον κλίνονται. τὰ δὲ δύο, δυϊκῶς. τὰ δὲ πλείω, πληθυντικῶς. ὧδε. Εἷς. ἑνός. ἑνί. ἕνα. Μία. μιᾶς. μιᾷ. μίαν. Ἓν. ἑνός. ἑνί. ἕν. Δύο. δυοῖν. καὶ δυεῖν ἐπὶ θηλυκοῦ. καὶ τὸ δύο, οὐ μόνον δυϊκῶς λέγεται, ἀλλὰ καὶ πληθυντικῶς. οὕτως.

Οἱ δύο. αἱ δύο. τὰ δύο. τῶν δύο. τοῖς δυσί. τοὺς δύο. τὰς δύο. τὰ δύο.
Τρεῖς. τριῶν. τρισί. τρεῖς. Τρία. τριῶν. τρισί. τρία.
Τέσσαρες. τεσσάρων. τέσσαρσι. τέσσαρας. Τέσσαρα. τεσσάρων. τέσσαρσι. τέσσαρα.

Ἀπὸ δὲ τῶν τεσσάρων μέχρι καὶ ἑκατὸν, πᾶς ἀριθμὸς ἄκλιτος τυγχάνει. ἀπὸ τῶν ἄρθρων δὲ διακρινόμενα τὰ γένη, καὶ τὰς πτώσεις. οἷον, Οἱ πέντε. τῶν πέντε. τοῖς πέντε. τοὺς πέντε. Αἱ πέντε. τῶν πέντε. ταῖς πέντε. τὰς πέντε. Τὰ πέντε. τῶν πέντε. τοῖς πέντε. τὰ πέντε. ὁμοίως καὶ ἕξ. καὶ ἑπτά. καὶ ὀκτώ. καὶ ἐννέα. καὶ δέκα. καὶ τὰ λοιπά. Ἀπὸ δὲ τῶν διακοσίων κλίνεται πᾶς ἀριθμὸς πληθυντικῶς τριγενῶς. οἷον, Οἱ διακόσιοι. τῶν διακοσίων. τοῖς διακοσίοις. τοὺς διακοσίους. Αἱ διακόσιαι. τῶν διακοσίων. ταῖς διακοσίαις. τὰς διακοσίας. Τὰ διακόσια. τῶν διακοσίων. τοῖς διακοσίοις. τὰ διακόσια. ὁμοίως καὶ τριακόσιοι. τετρακόσιοι. πεντακόσιοι. ἑξακόσιοι. ἑπτακόσιοι. ὀκτακόσιοι. ἐννεακόσιοι. χίλιοι. δισχίλιοι. τρισχίλιοι. τετρακισχίλιοι. πεντακισχίλιοι. καὶ τὰ λοιπά.

Περὶ τῶν καταλήξεων τῶν ἐπιθέτων.

Τῶν ἐπιθέτων τὰ μὲν, εἰς ας. οἷον, ὁ πᾶς, τοῦ παντός. Ἡ πᾶσα, τῆς πάσης. Τὸ πᾶν, τοῦ παντός. Τὰ δὲ, εἰς ης. οἷον, ὁ καὶ ἡ ἀληθής, τοῦ καὶ τῆς ἀληθέος, οῦς. καὶ τὸ ἀληθές, τοῦ ἀληθέος, οῦς. Τὰ δὲ, εἰς ην. οἷον, ὁ καὶ ἡ τέρην, τοῦ καὶ τῆς τέρενος. καὶ τὸ τέρεν, τοῦ τέρενος. Τὰ δὲ, εἰς εις. οἷον, ὁ χαρίεις, τοῦ χαρίεντος. Ἡ χαρίεσσα, τῆς χαριέσσης. Τὸ χαρίεν, τοῦ χαρίεντος. Τὰ δὲ, εἰς ις. οἷον, ὁ καὶ ἡ φιλόπατρις, τοῦ καὶ τῆς φιλοπάτριδος. καὶ τὸ φιλόπατρι, τοῦ φιλοπάτριδος.

Τὰ δὲ, εἰς ος, οἷον ὁ ἀνδρεῖος, τοῦ ἀνδρείου. ἡ ἀνδρεία, τῆς ἀνδρείας. τὸ ἀνδρεῖον, τοῦ ἀνδρείου. ὁ σοφὸς, ἡ σοφὴ, τὸ σοφόν. καὶ ἀττικῶς, ὁ καὶ ἡ φιλόσοφος, καὶ τὸ φιλόσοφον. ὁ καὶ ἡ φιλόκαλος, καὶ τὸ φιλόκαλον. Δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ος καθαρὸν ἐπίθετα, ποιοῦσι θηλυκὸν εἰς α. οἷον, ἀνδρεῖος, ἀνδρεία. λόγιος, λογία. πλὴν τοῦ ὄγδοος, ὀγδόη. Τὰ δὲ μὴ εἰς ος καθαρὸν, εἰς η. οἷον, σοφὸς, σοφή. Ἀγαθὸς, ἀγαθή. πλὴν τῶν ἐχόντων τὸ ρ. οἷον φοβερὸς, φοβερά. Τὰ δὲ, εἰς ους, οἷον ὁ καὶ ἡ πολύπους, τοῦ καὶ τῆς πολύποδος. καὶ τὸ πολύπουν, τοῦ πολύποδος. ἁπλοῦς δὲ, ἁπλῆ, ἁπλοῦν, οὕτω κλίνεται.

ὁ ἁπλόος, οῦς. τοῦ ἁπλόου, οῦ. τῷ ἁπλόῳ, ῷ. τὸν ἁπλόον, οῦν. καὶ τὰ λοιπὰ ὡς εἴρηται. Ἡ ἁπλῆ, τῆς ἁπλῆς. Τὸ ἁπλόον, οῦν. τοῦ ἁπλόου, οῦ. ὁμοίως καὶ χρυσοῦς. χρυσῆ. χρυσοῦν. ἀργυροῦς, ἀργυρᾶ. ἀργυροῦν. χαλκοῦς. χαλκῆ. χαλκοῦν. μολιβδοῦς. μολιβδῆ. μολιβδοῦν. Ἅτινα ἰωνικῶς, χρύσεος, χρυσέα, χρύσεον λέγεται. καὶ ἀργύρεος, ἀργυρέα, ἀργύρεον. Τὰ δὲ, εἰς υς. οἷον, ὁ ἡδὺς, ἡ ἡδεῖα, τὸ ἡδύ. καὶ, ὁ καὶ ἡ ἄδακρυς, καὶ τὸ ἄδακρυ. Τὰ δὲ, εἰς ων. οἷον ὁ καὶ ἡ εὐδαίμων, τοῦ καὶ τῆς εὐδαίμονος. καὶ τὸ εὔδαιμον, τοῦ εὐδαίμονος. Τὰ δὲ, εἰς ως. οἷον, ὁ καὶ ἡ εὔγεως, τοῦ καὶ τῆς εὔγεω. καὶ τὸ εὔγεων τοῦ εὔγεω. μόνον δὲ ὁ δεῖνα τρία ἐπιδέχεται ἄρθρα. ὁ δεῖνα, τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα. Ἡ δεῖνα, τῆς δεῖνος. Τὸ δεῖνα, τοῦ δεῖνος. Ἀλλὰ περὶ μὲν τῆς κλίσεως τῶν ὀνομάτων, ἱκανῶς. νῦν δὲ περὶ τοῦ ῥήματος λέγωμεν.

Περὶ ῥήματος. Περὶ ῥήματος.

Ῥῆμά ἐστι μέρος λόγου κλιτὸν, μετὰ διαφόρων χρόνων ἐνέργειαν, ἢ πάθος, ἢ οὐδέτερόν τι σημαῖνον. Παρέπεται δὲ αὐτῷ, ὀκτώ. ἔγκλισις. γένος, εἴτε διάθεσις. εἶδος. σχῆμα. ἀριθμός. πρόσωπον. χρόνος. καὶ συζυγία.

Περὶ ἐγκλίσεως.

Ἐγκλίσεις εἰσὶ, πέντε. ὁριστικὴ, οἷον τύπτω. προστακτικὴ, οἷον τύπτε. εὐκτικὴ, οἷον εἴθε τύπτοιμι. ὑποτακτικὴ, οἷον ἐὰν τύπτω. ἀπαρέμφατος, οἷον τύπτειν.

Περὶ γενῶν.

Γένη εἰσὶ, πέντε. ἐνεργητικὸν, οἷον τύπτω. παθητικὸν, οἷον τύπτομαι. οὐδέτερον, οἷον ὑγιαίνω. κοινὸν, ἢ μέσον, οἷον βιάζομαι. ἀποθετικὸν, οἷον μάχομαι.

Περὶ εἰδῶν.

Εἴδη δὲ, δύο. πρωτότυπον, οἷον ἄρδω. παράγωγον, οἷον ἀρδεύω.

Περὶ σχημάτων.

Σχήματα δὲ, τρία. ἁπλοῦν, οἷον φέρω. σύνθετον, οἷον ἐπιφέρω. παρασύνθετον, οἷον προσεπιφέρω.

Περὶ ἀριθμῶν.

Ἀριθμοὶ δὲ, τρεῖς. ἑνικὸς, οἷον τύπτω. δυϊκὸς, οἷον τύπτετον. πληθυντικὸς, οἷον τύπτομεν.

Περὶ προσώπων.

Πρόσωπα δὲ, τρία. πρῶτον, οἷον, τύπτω. δεύτερον, οἷον τύπτεις. τρίτον, οἷον, τύπτει.

Περὶ χρόνων.

Χρόνοι δὲ, ἕξ. ἐνεστὼς, οἷον, τύπτω. Παρατατικὸς, οἷον, ἔτυπτον. Παρακείμενος, οἷον, τέτυφα. Ὑπερσυντέλικος, οἷον, ἐτετύφειν. Ἀόριστος, οἷον, ἔτυψα. Μέλλων, οἷον, τύψω.

Περὶ συζυγιῶν.

Συζυγίαι δὲ, δεκατρεῖς. ἓξ τῶν βαρυτόνων ῥημάτων. τρεῖς τῶν περισπωμένων. καὶ τέσσαρες τῶν εἰς μι.

Πρώτη.

Πρώτη συζυγία ἐστὶ τῶν βαρυτόνων ῥημάτων, τῶν ληγόντων εἰς β. π. φ. πτ. οἷον, λείβω. τρέπω. γράφω. τύπτω. ὧν ὁ μέλλων, εἰς ψ. οἷον, λείψω. τρέψω. γράψω. τύψω. ὁ παρακείμενος, εἰς φ. οἷον, λέλειφα. τέτροφα. γέγραφα. τέτυφα.

Δευτέρα.

Δευτέρα ἐστὶ τῶν ληγόντων εἰς γ. κ. χ. κτ. οἷον, λέγω. πλέκω. τρέχω. τίκτω. ὧν ὁ μέλλων, εἰς ξ. οἷον, λέξω, πλέξω, θρέξω. τέξω. ὁ παρακείμενος, εἰς χ. οἷον, λέλεχα. πέπλεχα. τέθρεχα. τέτεχα.

Τρίτη.

Τρίτη ἐστὶ τῶν ληγόντων εἰς δ. θ. καὶ τ κοινῶς, καὶ δύο ττ ἀττικῶς. οἷον, ᾄδω. πλήθω. ἀνύττω. ὧν ὁ μέλλων, εἰς σ. οἷον, ᾄσω. πλήσω. ἀνύσω. ὁ παρακείμενος, εἰς κ. οἷον, ᾖκα. πέπληκα. ἤνυκα.

Τετάρτη.

Τετάρτη ἐστὶ τῶν εἰς ζ, καὶ δύο σσ κοινῶς. οἷον, φράζω, ὀρύσσω. καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ μέλλοντι ἔχουσιν. οἷον, παίζω. παίξω. κράζω, κράξω. σφάζω, σφάξω. στίζω, στίξω. τρύζω, τρύξω. οἰμώζω, οἰμώξω. στενάζω, στενάξω. στηρίζω, στηρίξω. αἰάζω, αἰάξω. ἀλαπάζω, ἀλαπάξω. ὀλολύζω, ὀλολύξω. ὧν ὁ παρακείμενος, τὸ χ ἔχει. ποτὲ δὲ τὸ σ ἐν τῷ μέλλοντι ἔχουσιν. οἷον, φράζω, φράσω. κτίζω, κτίσω. κομίζω, κομίσω. βαδίζω, βαδίσω. ἀγωνίζω, ἀγωνίσω. ἑλληνίζω, ἑλληνίσω. φιλιππίζω, φιλιππίσω. ὧν ὁ παρακείμενος, τὸ κ ἔχει. τὰ δὲ εἰς σσω, ὡς ἐπὶ τὸ πλεῖστον εἰς ξω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, ὀρύξω. πλήσσω, πλήξω. ὧν ὁ παρακείμενος τὸ χ, ἔχει. οἷον, ὤρυχα. πέπληχα. ἐξαιρεῖται τὰ εἰς σω τὸν μέλλοντα ποιοῦντα. οἷον, ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω. πλάσσω, πλάσω. πάσσω, πάσω. λεύσσω, λεύσω. ἐρέσσω, ἐρέσω. ὧν ὁ παρακείμενος, τὸ κ ἔχει.

Πέμπτη.

Πέμπτη ἐστὶ τῶν τεσσάρων ἀμεταβόλων. λ. μ. ν. ρ. οἷον, ψάλλω. νέμω. κρίνω. σπείρω. ὧν ὁ μέλλων, διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενός ἐστι, τὴν παραλήγουσαν βραχεῖαν ἔχων. ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου ἐκβάλλων. οἷον, ψαλῶ. νεμῶ. κρινῶ. σπερῶ. ὁ παρακεί

μενος, εἰς κ. οἷον, ἔψαλκα. νενέμηκα. κέκρικα. ἔσπαρκα. Ἕκτη.

Ἕκτη ἐστὶ τῶν εἰς ω καθαρόν. οἷον, ἱππεύω. πλέω. βασιλεύω. ἀκούω. ὧν ὁ μέλλων, εἰς σ. οἷον, ἱππεύσω. πλεύσω. βασιλεύσω. ἀκούσω. ὁ παρακείμενος, εἰς κ. οἷον, ἵππευκα. βεβασίλευκα. ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. Τούτων οὕτως ἐχόντων, εἰδέναι δεῖ ὅτι πᾶν ῥῆμα ἢ εἰς ω βαρύτονον λήγει, οἷον, τύπτω, γράφω, ἢ εἰς ω περισπώμενον, οἷον, ποιῶ, βοῶ, ἢ εἰς μι, οἷον, τίθημι, ἵστημι. περὶ ὧν λεκτέον. καὶ πρῶτον περὶ τῆς κλίσεως τῶν βαρυτόνων.

ῬΗ͂ΜΑ ὉΡΙΣΤΙΚῸΝ, ἘΝΕΡΓΗΤΙΚῸΝ, ΣΥΖΥΓΊΑΣ ΠΡΏΤΗΣ ΤΩ͂Ν ΒΑΡΥΤΌΝΩΝ.

Ἐνεστώς.

Τύπτω. τύπτεις. τύπτει. τύπτετον. τύπτετον. τύπτομεν. τύπτετε. τύπτουσι. Παρατατικός. Ἔτυπτον. ἔτυπτες. ἔτυπτε. ἐτύπτετον. ἐτυπτέτην. ἐτύπτομεν. ἐτύπτετε. ἔτυπτον. Παρακείμενος. Τέτυφα. τέτυφας. τέτυφε. τετύφατον. τετύφατον. τετύφαμεν. τετύφατε. τετύφασι. Καὶ μέσος διὰ τοῦ π. Τέτυπα. τέτυπας. τέτυπε. τετύπατον. τετύπατον. τετύπαμεν. τετύπατε. τετύπασιν. Ὑπερσυντέλικος. Ἐτετύφειν. ἐτετύφεις. ἐτετύφει. ἐτετύφειτον. ἐτετυφείτην. ἐτετύφειμεν. ἐτετύφειτε. ἐτετύφεισαν. Καὶ μέσος διὰ τοῦ π.

Ἐτετύπειν. ἐτετύπεις. ἐτετύπει. ἐτετύπειτον. ἐτετυπείτην. ἐτετύπειμεν. ἐτετύπειτε. ἐτετύπεισαν. Ἀόριστος πρῶτος. Ἔτυψα. ἔτυψας. ἔτυψε. ἐτύψατον. ἐτυψάτην. ἐτύψαμεν. ἐτύψατε. ἔτυψαν. Ἀόριστος β. Ἔτυπον. ἔτυπες. ἔτυπε. ἐτύπετον. ἐτυπέτην. ἐτύπομεν. ἐτύπετε. ἔτυπον. Μέλλων πρῶτος. Τύψω. τύψεις. τύψει. τύψετον. τύψετον. τύψομεν. τύψετε. τύψουσι. Μέλλων β. Τυπῶ. τυπεῖς. τυπεῖ. τυπεῖτον. τυπεῖτον. τυποῦμεν. τυπεῖτε. τυποῦσι.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς. Τύπτε. τυπτέτω. τύπτετον. τυπτέτων. τύπτετε. τυπτέτωσαν. Παρακείμενος. Τέτυφε. τετυφέτω. τετύφετον. τετυφέτων. τετύφετε. τετυφέτωσαν. Καὶ μέσος διὰ τοῦ π. Τέτυπε. τετυπέτω. τετύπετον. τετυπέτων. τετύπετε. τετυπέτωσαν. Ἀόριστος πρῶτος. Τύψον. τυψάτω. τύψατον. τυψάτων. τύψατε. τυψάτωσαν. Ἀόριστος β. Τύπε. τυπέτω. τύπετον. τυπέτων. τύπετε. τυπέτωσαν. Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Τύπτοιμι. τύπτοις. τύπτοι. τύπτοιτον. τυπτοίτην. τύπτοιμεν. τύπτοιτε. τύπτοιεν. Παρ. καὶ ὑπερ. Τετύφοιμι. τετύ-

φοις. τετύφοι. τετύφοιτον. τετυφοίτην. τετύφοιμεν. τετύφοιτε. τε-
τύφοιεν. Καὶ μέσος διὰ π. τετύποιμι. τετύποις. τετύποι.
τετύποιτον. τετυποίτην. τετύποιμεν. τετύποιτε. τετύποιεν.
Ἀόριστος α. τύψαιμι. τύψαις. τύψαι. τύψαιτον. τυψαίτην. τύ-
ψαιμεν. τύψαιτε. τύψαιεν. Αἰολικῶς. τύψεια. τύψειας. τύψειε.
τυψείατον. τυψειάτην. τυψείαμεν. τυψείατε. τύψειαν. Ἀόριστος β.
τύποιμι. τύποις. τύποι. Μέλλων α. τύψοιμι. τύψοις. τύ-
ψοι. Μέλλων β. τυποῖμι. τυποῖς. τυποῖ. ¶ Ὑποτακτικὰ ἐνερ-
γητικά. Ἐνεστώς. Ἐὰν τύπτω. τύπτῃς. τύπτῃ. ἐὰν τύπτητον. τύ-
πτητον. ἐὰν τύπτωμεν. τύπτητε. τύπτωσι. Παρακείμενος.
Ἐὰν τετύφω. τετύφῃς. τετύφῃ. ἐὰν τετύφητον. τετύφητον. ἐὰν τετύ-
φωμεν. τετύφητε. τετύφωσι. Καὶ μέσος διὰ π. Ἐὰν τετύπω.
τετύπῃς. τετύπῃ. ἐὰν τετύπητον. τετύπητον. ἐὰν τετύπωμεν. τε-
τύπητε. τετύπωσιν. Ἀόριστος α. Ἐὰν τύψω. τύψῃς. τύψῃ. Ἀό-
ριστος β. Ἐὰν τύπω. τύπῃς. τύπῃ. ¶ Ἀπαρέμφατα ἐνεργητικά.
Ἐνεστώς, τύπτειν. Παρακείμενος, τετυφέναι. Καὶ μέσος
διὰ π, τετυπέναι. Ἀόριστος α, τύψαι. Ἀόριστος β, τυ-
πεῖν. Μέλλων α, τύψειν. Μέλλων β, τυπεῖν. Σημείωσαι
ὅτι τοῦ πληθυντικοῦ πρώτου προσώπου τῶν ἐνεργητικῶν καὶ οὐδε-
τέρων ῥημάτων εἰς μεν λήγοντος, ἀπολείπει τὸ δυϊκὸν πρῶτον πρό-
σωπον. Ἔτι τοῦ πληθυντικοῦ τρίτου προσώπου λήγοντος εἰς ι ἢ
εἰς αν, τὰ δυϊκὰ δεύτερα καὶ τρίτα πρόσωπα ὅμοιά εἰσιν. ὅτε δὲ ἄλ
λως ἔχει, ἀνόμοια διατελοῦσιν. Ἔτι μέλλοντες ἐν τοῖς προστα-
κτικοῖς καὶ ὑποτακτικοῖς οὐκ εἰσίν. οἱ ἀόριστοι δὲ, τὴν τῶν μελλόν-
των σημασίαν ἔχουσι. ¶ Περὶ μετοχῆς.

Μετοχή ἐστι μέρος λόγου κλιτὸν, τῆς ἰδιότητος τοῦ ὀνόματος καὶ τοῦ
ῥήματος μετέχον. Παρέπεται δὲ αὐτῇ, ὀκτώ. γένος. εἶδος. σχῆμα.
ἀριθμός. πτῶσις. χρόνος. διάθεσις. καὶ συζυγία.

¶ Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ τύπτων, τοῦ τύπτοντος. Ἡ τύπτουσα, τῆς τυπτούσης. Τὸ τύ-
πτον, τοῦ τύπτοντος. Παρακείμενος, καὶ ὑπερσυντέλικος.
Ὁ τετυφὼς, τοῦ τετυφότος. Ἡ τετυφυῖα, τῆς τετυφυίας. Τὸ τε-
τυφὸς, τοῦ τετυφότος. Καὶ μέσος διὰ π, ὁ τετυπὼς, τοῦ τετυπό-
τος. Ἡ τετυπυῖα, τῆς τετυπυίας. Τὸ τετυπὸς, τοῦ τετυπότος.
Ἀόριστος α. Ὁ τύψας, τοῦ τύψαντος. Ἡ τύψασα, τῆς τυψάσης.
Τὸ τύψαν, τοῦ τύψαντος. Ἀόριστος β. Ὁ τυπὼν, τοῦ τυπόντος.
Ἡ τυποῦσα,

ἡ τυποῦσα, τῆς τυπούσης. τὸ τυπὸν, τοῦ τυπόντος. // μέλλων α. ὁ τύψων, τοῦ τύψοντος. ἡ τύψουσα, τῆς τυψούσης. τὸ τύψον, τοῦ τύψοντος. // μέλλων β. ὁ τυπῶν, τοῦ τυποῦντος. ἡ τυποῦσα, τῆς τυπούσης. τὸ τυποῦν, τοῦ τυποῦντος. ¶ Δεῖ δὲ εἰδέναι ὅτι αἱ μετοχαὶ ἐνεργητικαὶ καὶ οὐδέτεραι ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει, κατὰ τὴν πέμπτην ἁπλῆν κλίνονται κλίσιν. αἱ δὲ θηλυκαὶ, κατὰ τὴν δευτέραν.

¶ Ὁριστικὰ παθητικά. Ἐνεστώς. passiuū

// τύπτομαι, τύπτῃ, τύπτεται. τυπτόμεθον, τύπτεσθον, τύπτεσθον. τυπτόμεθα, τύπτεσθε, τύπτονται. // Παρατατικός. ἐτυπτόμην, ἐτύπτου, ἐτύπτετο. ἐτυπτόμεθον, ἐτύπτεσθον, ἐτυπτέσθην. ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο. // Παρακείμενος. Τέτυμμαι, τέτυψαι, τέτυπται. τετύμμεθον, τέτυφθον, τέτυφθον. τετύμμεθα, τέτυφθε. τετυμμένοι εἰσὶ, καὶ ἰωνικῶς, τετύφαται. μετ' ὀλίγον μέλλων. τετύψομαι, τετύψῃ, τετύψεται. // Ὑπερσυντέλικος. ἐτετύμμην, ἐτέτυψο, ἐτέτυπτο. ἐτετύμμεθον, ἐτετύφθον, ἐτετύφθην. ἐτετύμμεθα, ἐτέτυφθε. τετυμμένοι ἦσαν, καὶ ἰωνικῶς, ἐτετύφατο. ¶ Σημείωσαι δὲ ὅτι τὸ ἐνικοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, πρὸ τοῦ τ σύμφωνον ἔχοντος, διὰ τὴν ἀσυνταξίαν ὃ γίνεται τρίτον πρόσωπον πληθυντικόν. ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. // Ἀόριστος α. ἐτύφθην, ἐτύφθης, ἐτύφθη. ἐτύφθητον, ἐτυφθήτην. ἐτύφθημεν, ἐτύφθητε, ἐτύφθησαν. // Καὶ δεύτερος διὰ τοῦ π. ἐτύπην, ἐτύπης, ἐτύπη. ἐτύπητον, ἐτυπήτην. ἐτύπημεν, ἐτύπητε, ἐτύπησαν. // Μέλλων α. τυφθήσομαι, τυφθήσῃ, τυφθήσεται. καὶ β διὰ τοῦ π. τυπήσομαι, τυπήσῃ, τυπήσεται. // Μέσος ἀόριστος πρῶτος. ἐτυψάμην, ἐτύψω, ἐτύψατο. ἐτυψάμεθον, ἐτύψασθον, ἐτυψάσθην. ἐτυψάμεθα, ἐτύψασθε, ἐτύψαντο. // Μέσος ἀόριστος δεύτερος. ἐτυπόμην, ἐτύπου, ἐτύπετο. ἐτυπόμεθον, ἐτύπεσθον, ἐτυπέσθην. ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο. // Μέσος μέλλων α. τύψομαι, τύψῃ, τύψεται. // Μέσος μέλλων β. τυποῦμαι, τυπῇ, τυπεῖται.

¶ Προστακτικὰ παθητικά. Ἐνεστώς.

τύπτου, τυπτέσθω. τύπτεσθον, τυπτέσθων. τύπτεσθε, τυπτέσθωσαν. Παρακείμενος, καὶ ὑπερσυντέλικος. τέτυψο, τετύφθω. τέτυφθον, τετύφθων. τέτυφθε, τετύφθωσαν. // Ἀόριστος πρῶτος. τύφθητι. τυφθήτω. τύφθητον, τυφθήτων. τύφθητε, τυφθήτωσαν. Καὶ δεύτερος διὰ τοῦ π. τύπηθι, τυπήτω. τύπητον, τυπήτων. τύπητε, τυπήτωσαν.

Μέσος ἀόριστος πρῶτος. τύψαι, τυψάσθω. τύψασθον, τυψάσθων. τύψασθε, τυψάσθωσαν. μέσος ἀόριστος β. τυποῦ, τυπέσθω. τύπεσθον, τυπέσθων. τύπεσθε, τυπέσθωσαν. Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Τυπτοίμην, τύπτοιο, τύπτοιτο. τυπτοίμεθον, τύπτοισθον, τυπτοίσθην. τυπτοίμεθα, τύπτοισθε, τύπτοιντο. Παρακείμενος. Τετυμμένος εἴην, εἴης, εἴη. τετυμμένω εἴητον, εἰήτην. τετυμμένοι εἴημεν, εἴητε, εἴησαν. Μετ' ὀλίγον μέλλων. Τετυψοίμην, τετύψοιο, τετύψοιτο. Ἀόριστος α. Τυφθείην, τυφθείης, τυφθείη. τυφθείητον, τυφθειήτην. τυφθείημεν, τυφθείητε, τυφθείησαν. Καὶ δεύτερος διὰ π. Τυπείην, τυπείης, τυπείη. τυπείητον, τυπειήτην. τυπείημεν, τυπείητε, τυπείησαν. Μέλλων α. Τυφθησοίμην, τυφθήσοιο, τυφθήσοιτο. Μέλλων β. Τυπησοίμην, τυπήσοιο, τυπήσοιτο. Μέσος ἀόριστος α. Τυψαίμην, τύψαιο, τύψαιτο. τυψαίμεθον, τύψαισθον, τυψαίσθην. Τυψαίμεθα, τύψαισθε, τύψαιντο. Μέσος ἀόριστος β. Τυποίμην, τύποιο, τύποιτο. Μέσος μέλλων α. Τυψοίμην, τύψοιο, τύψοιτο. Μέσος μέλλων β. Τυποίμην, τυποῖο, τυποῖτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν τύπτωμαι, τύπτῃ, τύπτηται. ἐὰν τυπτώμεθον, τύπτησθον, τύπτησθον. ἐὰν τυπτώμεθα, τύπτησθε, τύπτωνται. Παρακείμενος. Τετυμμένος ἐὰν ὦ, ᾖς, ᾖ. τετυμμένω ἐὰν ἦτον, ἦτον. τετυμμένοι ἐὰν ὦμεν, ἦτε, ὦσιν. Ἀόριστος α. Ἐὰν τυφθῶ, τυφθῇς, τυφθῇ. ἐὰν τυφθῆτον, τυφθῆτον. ἐὰν τυφθῶμεν, τυφθῆτε, τυφθῶσι. Καὶ β διὰ π. Ἐὰν τυπῶ, τυπῇς, τυπῇ. ἐὰν τυπῆτον, τυπῆτον. ἐὰν τυπῶμεν, τυπῆτε, τυπῶσι. Μέσος ἀόριστος α. Ἐὰν τύψωμαι, τύψῃ, τύψηται. Μέσος ἀόριστος β. Ἐὰν τύπωμαι, τύπῃ, τύπηται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Τύπτεσθαι. Παρακείμενος, τετύφθαι. Μετ' ὀλίγον μέλλων, τετύψεσθαι. Ἀόριστος α, τυφθῆναι. Καὶ β διὰ π, τυπῆναι. Μέλλων α, τυφθήσεσθαι. Μέλλων β, τυπήσεσθαι. Μέσος ἀόριστος α, τύψασθαι. Μέσος ἀόριστος β, τυπέσθαι. Μέσος μέλλων α, τύψεσθαι. Μέσος μέλλων β, τυπεῖσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ τυπτόμενος, τοῦ τυπτομένου. Ἡ τυπτομένη, τῆς τυπτομένης. Τὸ τυπτόμενον, τοῦ τυπτομένου. Παρακείμενος. Ὁ τετυμμένος, τοῦ τετυμμένου. Ἡ τετυμμένη, τῆς τετυμμένης. Τὸ τετυμμένον, τοῦ τετυμμένου. Μετ' ὀλίγον μέλλων. Ὁ τετυψόμενος, ἡ τετυψο-

μένη, τὸ τετυψόμενον. Ἀόριστος α. ὁ τυφθεὶς, τοῦ τυφθέντος. ἡ τυφθεῖσα, τῆς τυφθείσης. τὸ τυφθὲν, τοῦ τυφθέντος. Καὶ δεύτερος διὰ τοῦ π. ὁ τυπεὶς, τοῦ τυπέντος. ἡ τυπεῖσα, τῆς τυπείσης. τὸ τυπὲν, τοῦ τυπέντος. Μέλλων α. ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον. Καὶ δεύτερος διὰ τοῦ π. ὁ τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον. Μέσος ἀόριστος α. ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον. Μέσος ἀόριστος β. ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον. Μέσος μέλλων α. ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον. Μέσος μέλλων β. ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον. Σημείωσαι ὅτι αἱ μετοχαὶ παθητικαὶ, καὶ κοιναὶ, καὶ ἀποθετικαὶ, ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει κλίνονται κατὰ τὴν τετάρτην ἁπλῶν κλίσιν, χωρὶς τοῦ πρώτου καὶ δευτέρου ἀορίστου, περιττοσυλλάβως κλινομένων ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει. αἱ θηλυκαὶ δὲ, κατὰ τὴν δευτέραν ἁπλῶν. Καὶ περὶ μὲν τῆς κλίσεως τῶν βαρυτόνων, ἅλις. νῦν δὲ περὶ τῶν περισπωμένων λέγωμεν.

Περὶ τῶν περισπωμένων ῥημάτων.

perispomena verba

Τὰ περισπώμενα ῥήματα ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν γίνεται. οἷον, ἀπὸ τοῦ ποιέω, ποιῶ. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι, τρεῖς. ὧν ἡ πρώτη, διὰ τοῦ εω προφέρεται. οἷον, ποιέω, ποιῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ πάντων τῶν παρηγμένων, πλὴν τοῦ παρατατικοῦ, τὸ η ἔχει. οἷον, πεποίηκα, ἐπεποιήκειν. ἐποίησα, ποιήσω. πλὴν τινῶν διὰ τοῦ εσω τὸν μέλλοντα ποιούντων. οἷον, τελῶ, τελέσω. ὀλῶ, ὀλέσω. φρονῶ, φρονέσω, καὶ φρονήσω. αἰνῶ, αἰνέσω, καὶ αἰνήσω. ἀρκῶ, ἀρκέσω. καλῶ, καλέσω. φορῶ, φορέσω, καὶ φορήσω. πονῶ, πονέσω, καὶ πονήσω.

Ὁριστικὴ ἐνεργητική. Ἐνεστώς.

Ποιέω, ῶ. ποιέεις, εῖς. ποιέει, εῖ. ποιέετον, εῖτον. ποιέετον, εῖτον. ποιέομεν, οῦμεν. ποιέετε, εῖτε. ποιέουσι, οῦσι. Παρατατικός. Ἐποίεον, ουν. ἐποίεες, εις. ἐποίεε, ει. ἐποιέετον, εῖτον. ἐποιεέτην, είτην. ἐποιέομεν, οῦμεν. ἐποιέετε, εῖτε. ἐποίεον, ουν. Παρακείμενος. Πεποίηκα, πεποίηκας, πεποίηκε. Ὑπερσυντέλικος. Ἐπεποιήκειν, ἐπεποιήκεις, ἐπεποιήκει. Ἀόριστος α. Ἐποίησα, ἐποίησας, ἐποίησε. Μέλλων, Ποιήσω, ποιήσεις, ποιήσει.

Προστακτικὴ ἐνεργητική. Ἐνεστώς.

Ποίεε, ει. ποιεέτω, είτω. ποιέετον, εῖτον. ποιεέτων, είτων. ποιέετε, εῖτε. ποιεέτωσαν, είτωσαν. Παρακείμενος. Πεποίηκε, πεποιηκέτω. Ἀόριστος. Ποίησον, ποιησάτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποιέοιμι, οῖμι. ποιέοις, οῖς. ποιέοι, οῖ. ποιέοιτον, οῖτον. ποιεοίτην, οίτην. ποιέοιμεν, οῖμεν. ποιέοιτε, οῖτε. ποιέοιεν, οῖεν. Παρακείμενος. Πεποιήκοιμι, πεποιήκοις, πεποιήκοι. Ἀόριστος. Ποιήσαιμι, ποιήσαις, ποιήσαι. Καὶ αἰολικῶς, Ποιήσεια, ποιήσειας, ποιήσειε. Μέλλων. Ποιήσοιμι, ποιήσοις, ποιήσοι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν ποιέω, ῶ. ποιέῃς, ῇς. ποιέῃ, ῇ. ἐὰν ποιέητον, ῆτον. ποιέητον, ῆτον. ἐὰν ποιέωμεν, ῶμεν. ποιέητε, ῆτε. ποιέωσι, ῶσι. Παρακείμενος. Ἐὰν πεποιήκω, πεποιήκῃς, πεποιήκῃ. Ἀόριστος α. Ἐὰν ποιήσω, ποιήσῃς, ποιήσῃ. Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Ποιέειν, εῖν. Παρακείμενος. Πεποιηκέναι. Ἀόριστος α. Ποιῆσαι. Μέλλων. Ποιήσειν. ¶ Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ ποιέων, ῶν. τοῦ ποιέοντος, οῦντος. Ἡ ποιέουσα, οῦσα. τῆς ποιεούσης, ούσης. Τὸ ποιέον, οῦν. τοῦ ποιέοντος, οῦντος. Παρακείμενος. Ὁ πεποιηκὼς, τοῦ πεποιηκότος. Ἡ πεποιηκυῖα, τῆς πεποιηκυίας. Τὸ πεποιηκὸς, τοῦ πεποιηκότος. Ἀόριστος πρῶτος. Ὁ ποιήσας, Ἡ ποιήσασα, Τὸ ποιῆσαν. Μέλλων. Ὁ ποιήσων, Ἡ ποιήσουσα, Τὸ ποιῆσον.

passiu ¶ Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Ποιέομαι, οῦμαι. ποιέῃ, ῇ. ποιέεται, εῖται. ποιεόμεθον, ούμεθον. ποιέεσθον, εῖσθον. ποιέεσθον, εῖσθον. ποιεόμεθα, ούμεθα. ποιέεσθε, εῖσθε. ποιέονται, οῦνται. Παρατατικός. Ἐποιεόμην, ούμην. ἐποιέου, οῦ. ἐποιέετο, εῖτο. ἐποιεόμεθον, ούμεθον. ἐποιέεσθον, εῖσθον. ἐποιεέσθην, είσθην. ἐποιεόμεθα, ούμεθα. ἐποιέεσθε, εῖσθε. ἐποιέοντο, οῦντο. Παρακείμενος. Πεποίημαι, πεποίησαι, πεποίηται. πεποιήμεθον, πεποίησθον, πεποίησθον. πεποιήμεθα, πεποίησθε, πεποίηνται. Μετ' ὀλίγον μέλλων. Πεποιήσομαι, πεποιήσῃ, πεποιήσεται. Ὑπερσυντέλικος. Ἐπεποιήμην, ἐπεποίησο, ἐπεποίητο. Ἀόριστος πρῶτος. Ἐποιήθην, ἐποιήθης, ἐποιήθη. Μέλλων α. Ποιηθήσομαι, ποιηθήσῃ, ποιηθήσεται. Μέσος ἀόριστος πρῶτος. Ἐποιησάμην, ἐποιήσω, ἐποιήσατο. Μέσος μέλλων α. Ποιήσομαι, ποιήσῃ, ποιήσεται.

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Ποιέου, οῦ. ποιεέσθω, είσθω. ποιέεσθον, εῖσθον. ποιεέσθων, είσθων. ποιέεσθε, εῖσθε. ποιεέσθωσαν, είσθωσαν. Παρακείμενος. Πεποίησο, πεποιήσθω. Ἀόριστος α. Ποιήθητι, ποιηθήτω. Μέσος ἀόριστος α. Ποίησαι, ποιησάσθω. Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Ποιεοίμην, οίμην. ποιέοιο, οῖο. ποιέοιτο, οῖτο. ποιεοίμεθον, οίμεθον.

ποιέοισθον, οῖσθον. ποιεοίσθην, οίσθην. ποιεοίμεθα, οίμεθα. ποιέοισθε, οῖσθε. ποιέοιντο, οῖντο. Παρακείμενος. Πεποιήμην, πεποιῇο, πεποιῇτο. Μετ' ὀλίγον μέλλων. Πεποιησοίμην, πεποιήσοιο, πεποιήσοιτο. Ἀόριστος πρῶτος. Ποιηθείην, ποιηθείης, ποιηθείη. Μέλλων α. Ποιηθησοίμην, ποιηθήσοιο, ποιηθήσοιτο. Μέσος ἀόριστος πρῶτος. Ποιησαίμην, ποιήσαιο, ποιήσαιτο. Μέσος μέλλων πρῶτος. Ποιησοίμην, ποιήσοιο, ποιήσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν ποιέωμαι, ῶμαι. ποιέῃ, ῇ. ποιέηται, ῆται. ἐὰν ποιεώμεθον, ώμεθον. ποιέησθον, ῆσθον. ποιέησθον, ῆσθον. ἐὰν ποιεώμεθα, ώμεθα. ποιέησθε, ῆσθε. ποιέωνται, ῶνται. Παρακείμενος. Ἐὰν πεποιῶμαι, πεποιῇ, πεποιῆται. Ἀόριστος α. Ἐὰν ποιηθῶ, ποιηθῇς, ποιηθῇ. Μέσος ἀόριστος πρῶτος. Ἐὰν ποιήσωμαι, ποιήσῃ, ποιήσηται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Ποιέεσθαι, εῖσθαι. Παρακείμενος, Πεποιῆσθαι. Μετ' ὀλίγον μέλλων, Πεποιήσεσθαι. Ἀόριστος α, Ποιηθῆναι. Μέλλων α, Ποιηθήσεσθαι. Μέσος ἀόριστος α, Ποιήσασθαι. Μέσος μέλλων α, Ποιήσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ ποιεόμενος, ούμενος. τοῦ ποιεομένου, ουμένου. Ἡ ποιεομένη, ουμένη. τῆς ποιεομένης, ουμένης. Τὸ ποιεόμενον, ούμενον. τοῦ ποιεομένου, ουμένου. Παρακείμενος. Ὁ πεποιημένος, Ἡ πεποιημένη, Τὸ πεποιημένον. Μετ' ὀλίγον μέλλων. Ὁ πεποιησόμενος, Ἡ πεποιησομένη, Τὸ πεποιησόμενον. Ἀόριστος πρῶτος. Ὁ ποιηθείς, Ἡ ποιηθεῖσα, Τὸ ποιηθέν. Μέλλων α. Ὁ ποιηθησόμενος, Ἡ ποιηθησομένη, Τὸ ποιηθησόμενον. Μέσος ἀόριστος πρῶτος. Ὁ ποιησάμενος, Ἡ ποιησαμένη, Τὸ ποιησάμενον. Μέσος μέλλων πρῶτος. Ὁ ποιησόμενος, Ἡ ποιησομένη, Τὸ ποιησόμενον.

Περὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων.

Ἡ δευτέρα συζυγία τῶν περισπωμένων διὰ τοῦ αω προφέρεται. οἷον, βοάω, ῶ. δράω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ α ἔχει. οἷον, βοήσω, δράσω. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Βοάω, ῶ. βοάεις, ᾷς. βοάει, ᾷ. βοάετον, ᾶτον. βοάετον, ᾶτον. βοάομεν, ῶμεν. βοάετε, ᾶτε. βοάουσι, ῶσι. Παρατατικός. Ἐβόαον, ων. ἐβόαες, ας. ἐβόαε, α. ἐβοάετον, ᾶτον. ἐβοαέτην, άτην. ἐβοάομεν, ῶμεν. ἐβοάετε, ᾶτε. ἐβόαον, ων. Παρακείμενος. Βεβόηκα, βεβόηκας, βεβόηκε. Ὑπερσυντέλικος. Ἐβεβοήκειν,

ἐβεβοήκεις, ἐβεβοήκει. Ἀόριστος α. Ἐβόησα, ἐβόησας, ἐβόησε. Μέλλων. Βοήσω, σεις, σει. Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Βόαε, α. βοαέτω, άτω. βοάετον, ᾶτον. βοαέτων, άτων. βοάετε, ᾶτε. βοαέτωσαν, άτωσαν. Παρακείμενος. Βεβόηκε, βεβοηκέτω. Ἀόριστος α. Βόησον, βοησάτω. Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Βοάοιμι, ῷμι. βοάοις, ῷς. βοάοι, ῷ. βοάοιτον, ῷτον. βοαοίτην, ῴτην. βοάοιμεν, ῷμεν. βοάοιτε, ῷτε. βοάοιεν, ῷεν. Παρακείμενος. Βεβοήκοιμι, βεβοήκοις, κοι. Ἀόριστος α. Βοήσαιμι, βοήσαις, βοήσαι. Αἰολικῶς. Βοήσεια, βοήσειας, ειε. Μέλλων. Βοήσοιμι, βοήσοις, σοι. Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν βοάω, ῶ. βοάῃς, ᾷς. βοάῃ, ᾷ. ἐὰν βοάητον, ᾶτον. βοάητον, ᾶτον. ἐὰν βοάωμεν, ῶμεν. βοάητε, ᾶτε. βοάωσι, ῶσι. Παρακείμενος.

Ἐὰν βεβοήκω, κῃς, κῃ. Ἀόριστος α. Ἐὰν βοήσω, σῃς, σῃ.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Βοάειν, ᾶν. Παρακείμενος. Βεβοηκέναι. Ἀόριστος α. Βοῆσαι. Μέλλων. Βοήσειν. Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ βοάων, ῶν. τοῦ βοάοντος, ῶντος. ἡ βοάουσα, ῶσα. τῆς βοαούσης, ώσης. τὸ βοάον, ῶν. τοῦ βοάοντος, ῶντος. Παρακείμενος. Ὁ βεβοηκώς. ἡ βεβοηκυῖα. τὸ βεβοηκός. Ἀόριστος α. Ὁ βοήσας, ἡ βοήσασα, τὸ βοῆσαν. Μέλλων. Ὁ βοήσων, ἡ βοήσουσα,
passim τὸ βοῆσον. Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Βοάομαι, ῶμαι. βοάῃ, ᾷ. βοάεται, ᾶται. βοαόμεθον, ώμεθον. βοάεσθον, ᾶσθον. βοάεσθον, ᾶσθον. βοαόμεθα, ώμεθα. βοάεσθε, ᾶσθε. βοάονται, ῶνται. Παρατατικός. Ἐβοαόμην, ώμην. ἐβοάου, ῶ. ἐβοάετο, ᾶτο. ἐβοαόμεθον, ώμεθον. ἐβοάεσθον, ᾶσθον. ἐβοαέσθην, άσθην. ἐβοαόμεθα, ώμεθα. ἐβοάεσθε, ᾶσθε. ἐβοάοντο, ῶντο. Παρακείμενος. Βεβόημαι, βεβόησαι, ται. Μετ᾽ ὀλίγον μέλλων.

Βεβοήσομαι, βεβοήσῃ, σεται. Ὑπερσυντέλικος. Ἐβεβοήμην, ἐβεβόησο, ἐβεβόητο. Ἀόριστος α. Ἐβοήθην, ἐβοήθης, θη. Μέλλων α. Βοηθήσομαι, βοηθήσῃ, ται. Μέσος ἀόριστος α. Ἐβοησάμην, ἐβοήσω, το. Μέσος μέλλων α. Βοήσομαι, βοήσῃ, εται. Προστακτικὰ παθητικά. Ἐνεστώς.

Βοάου, ῶ. βοαέσθω, άσθω. βοάεσθον, ᾶσθον. βοαέσθων, άσθων. βοάεσθε, ᾶσθε. βοαέσθωσαν, άσθωσαν. Παρακείμενος. Βεβόησο, βεβοήσθω. Ἀόριστος α. Βοήθητι, βοηθήτω. Μέσος ἀόριστος α. Βόησαι, βοησάσθω. Εὐκτικὰ παθητικά. Ἐνεστώς.

βοαοίμην, ῴμην. βοαοῖο, ῷο. βοαοῖτο, ῷτο. βοαοίμεθον, ῴμεθον.
βοαοῖσθον, ῷσθον. βοαοίσθην, ῴσθην. βοαοίμεθα, ῴμεθα. βοαοῖσθε,
ῷσθε. βοαοῖντο, ῷντο. Παρακείμενος. βεβοήμην, βεβοῇο, βεβοῇ
το. Μετ' ὀλίγον μέλλων. βεβοησοίμην, βεβοήσοιο, βεβοήσοιτο.
Ἀόριστος α. βοηθείην, βοηθείης, βοηθείη. Μέλλων α. βοηθησοί-
μην, βοηθήσοιο, βοηθήσοιτο. Μέσος ἀόριστος α. βοησαίμην, βοή
σαιο, σαιτο. Μέσος μέλλων α. βοησοίμην, βοήσοιο, σοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν βοάωμαι, ῶμαι. βοάῃ, ᾷ. βοάηται, ᾶται. ἐὰν βοαώμεθον,
ώμεθον. βοάησθον, ᾶσθον. βοάησθον, ᾶσθον. ἐὰν βοαώμεθα, ώμεθα.
βοάησθε, ᾶσθε. βοάωνται, ῶνται. Παρακείμενος. Ἐὰν βεβοῶ-
μαι, βεβοῇ, βεβοῆται. Ἀόριστος α. Ἐὰν βοηθῶ, βοηθῇς, ῇ. Μέ
σος ἀόριστος α. Ἐὰν βοήσωμαι, βοήσῃ, σηται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς,

βοάεσθαι, ᾶσθαι. Παρακείμενος, βεβοῆσθαι. Μετ' ὀλίγον μέλ
λων, βεβοήσεσθαι. Ἀόριστος α, βοηθῆναι. Μέλλων α, βο
ηθήσεσθαι. Μέσος ἀόριστος α, βοήσασθαι. Μέσος μέλλων α, βοή
σεσθαι. Μετοχαὶ παθητικαί. Ἐνεστώς. principia

Ὁ βοαόμενος, ώμενος. τοῦ βοαομένου, ωμένου. Ἡ βοαομένη,
ωμένη. τῆς βοαομένης, ωμένης. Τὸ βοαόμενον, ώμενον. τοῦ βοαομέ-
νου, ωμένου. Παρακείμενος. Ὁ βεβοημένος, Ἡ βεβοημένη, Τὸ
βεβοημένον. Μετ' ὀλίγον μέλλων. Ὁ βεβοησόμενος, Ἡ βεβοησο-
μένη, Τὸ βεβοησόμενον. Ἀόριστος α. Ὁ βοηθείς, Ἡ βοηθεῖσα, Τὸ
βοηθέν. Μέλλων α. Ὁ βοηθησόμενος, Ἡ βοηθησομένη, Τὸ βοηθησό
μενον. Μέσος ἀόριστος α. Ὁ βοησάμενος, Ἡ βοησαμένη, Τὸ βοησά
μενον. Μέσος μέλλων α. Ὁ βοησόμενος, Ἡ βοησομένη, Τὸ βοησό
μενον. Περὶ τῆς τρίτης συζυγίας. 3

Ἡ τρίτη συζυγία τῶν περισπωμένων, διὰ τοῦ οω προφέρεται. οἷον,
χρυσόω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἔχει. οἷον, χρυ
σώσω. πλὴν τοῦ ἀρόω, ἀρόσω. ὀμόω, ὀμόσω. ἐνόω, ἐνόσω. βόω, βόσω.
ὀνόω, ὀνόσω. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Χρυσόω, ῶ. χρυσόεις, οῖς. χρυσόει, οῖ. χρυσόετον, οῦτον. χρυσόετον,
οῦτον. χρυσόομεν, οῦμεν. χρυσόετε, οῦτε. χρυσόουσι, οῦσι. Παρα
τατικός. ἐχρύσοον, ουν. ἐχρύσοες, ους. ἐχρύσοε, ου. ἐχρυσόετον,
οῦτον. ἐχρυσοέτην, ούτην. ἐχρυσόομεν, οῦμεν. ἐχρυσόετε, οῦτε. ἐχρύσοον,
ουν. Παρακείμενος. κεχρύσωκα, κας, κε. Ὑπερσυντέλικος. Ἐκε

χρυσώκειν, κεις, κει. Ἀόριστος α. Ἐχρύσωσα, ἐχρύσωσας, ἐχρύσω-
σε. Μέλλων. Χρυσώσω, χρυσώσεις, χρυσώσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Χρύσοε, ου. χρυσοέτω, ούτω. χρυσόετον, οῦτον. χρυσοέτων, ούτων. χρυσόε-
τε, οῦτε. χρυσοέτωσαν, ούτωσαν. Παρακείμενος. Κεχρύσωκε, κε-
χρυσωκέτω. Ἀόριστος α. Χρύσωσον, χρυσωσάτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Χρυσόοιμι, οῖμι. χρυσόοις, οῖς. χρυσόοι, οῖ. χρυσόοιτον, οῖτον. χρυσοοί-
την, οίτην. χρυσόοιμεν, οῖμεν. χρυσόοιτε, οῖτε. χρυσόοιεν, οῖεν. Παρα-
κείμενος. Κεχρυσώκοιμι, κεχρυσώκοις, κεχρυσώκοι. Ἀόριστος α.
Χρυσώσαιμι, χρυσώσαις, χρυσώσαι. Αἰολικῶς, χρυσώσεια,
σειας, σειε. Μέλλων. Χρυσώσοιμι, χρυσώσοις, χρυσώσοι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν χρυσόω, ῶ. χρυσόῃς, οῖς. χρυσόῃ, οῖ. ἐὰν χρυσόητον, ῆτον. χρυσό-
ητον, ῆτον. ἐὰν χρυσόωμεν, ῶμεν. χρυσόητε, ῆτε. χρυσόωσι, ῶσι. Παρα-
κείμενος. Ἐὰν κεχρυσώκω, κεχρυσώκῃς, κεχρυσώκῃ. Ἀόριστος α.
Ἐὰν χρυσώσω, χρυσώσῃς, χρυσώσῃ. Ἀπαρέμφατα ἐνεργητικά. Ἐνε-
Χρυσόειν, οῦν. Παρακείμενος, κεχρυσωκέναι. Ἀόριστος α, (στώς.
Χρυσῶσαι. Μέλλων, χρυσώσειν. ¶ Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.
Ὁ χρυσόων, ῶν. τοῦ χρυσόοντος, οῦντος. Ἡ χρυσόουσα, οῦσα. τῆς χρυσοού-
σης, ούσης. Τὸ χρυσόον, οῦν. τοῦ χρυσόοντος, οῦντος. Παρακείμενος.
Ὁ κεχρυσωκώς, τοῦ κεχρυσωκότος. Ἡ κεχρυσωκυῖα, τῆς κεχρυσωκυίας.
Τὸ κεχρυσωκός, τοῦ κεχρυσωκότος. Ἀόριστος α. Ὁ χρυσώσας, τοῦ
χρυσώσαντος. Ἡ χρυσώσασα, τῆς χρυσωσάσης. Τὸ χρυσῶσαν, τοῦ χρυσώ-
σαντος. Μέλλων. Ὁ χρυσώσων, τοῦ χρυσώσοντος. Ἡ χρυσώσουσα,
τῆς χρυσωσούσης. Τὸ χρυσῶσον, τοῦ χρυσώσοντος.

¶ Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Χρυσόομαι, οῦμαι. χρυσόῃ, οῖ. χρυσόεται, οῦται. χρυσοόμεθον, ούμε-
θον. χρυσόεσθον, οῦσθον. χρυσόεσθον, οῦσθον. χρυσοόμεθα, ούμεθα. χρυ-
σόεσθε, οῦσθε. χρυσόονται, οῦνται. Παρατατικός. Ἐχρυσοόμην,
ούμην. ἐχρυσόου, οῦ. ἐχρυσόετο, οῦτο. ἐχρυσοόμεθον, ούμεθον. ἐχρυσοέ-
σθον, ούσθον. ἐχρυσοέσθην, ούσθην. ἐχρυσοόμεθα, ούμεθα. ἐχρυσόεσθε,
οῦσθε. ἐχρυσόοντο, οῦντο. Παρακείμενος. Κεχρύσωμαι, κεχρύ-
σωσαι, ωται. Μετ' ὀλίγον μέλλων. Κεχρυσώσομαι, κεχρυσώ-
σῃ, κεχρυσώσεται. Ὑπερσυντέλικος. Ἐκεχρυσώμην, ἐκεχρύ-
σωσο, ἐκεχρύσωτο. Ἀόριστος α. Ἐχρυσώθην, ἐχρυσώθης, ἐχρυσώ-

θῃ. μέλλων α. χρυσωθήσομαι, σῃ, σεται. μέσος ἀόριστος πρῶτος. ἐχρυσωσάμην, ἐχρυσώσω, ἐχρυσώσατο. μέσος μέλλων α. χρυσώσομαι, χρυσώσῃ, χρυσώσεται.

Προστακτικὰ παθητικά. ἐνεστώς.

χρυσόου, οῦ. χρυσοέσθω, ούσθω. χρυσόεσθον, οῦσθον. χρυσοέσθων, ούσθων. χρυσόεσθε, οῦσθε. χρυσοέσθωσαν, ούσθωσαν. Παρακείμενος. κεχρύσωσο, κεχρυσώσθω. Ἀόριστος α. χρυσώθητι, χρυσωθήτω. μέσος ἀόριστος α. χρύσωσαι, χρυσωσάσθω.

Εὐκτικὰ παθητικά. ἐνεστώς.

χρυσοοίμην, οίμην. χρυσόοιο, οῖο. χρυσόοιτο, οῖτο. χρυσοοίμεθον, οίμεθον. χρυσόοισθον, οῖσθον. χρυσοοίσθην, οίσθην. χρυσοοίμεθα, οίμεθα. χρυσόοισθε, οῖσθε. χρυσόοιντο, οῖντο. Παρακείμενος. κεχρυσώμην. κεχρύσωο. μετ' ὀλίγον μέλλων. κεχρυσωσοίμην, κεχρυσώσοιο, κεχρυσώσοιτο. Ἀόριστος α. χρυσωθείην, χρυσωθείης, χρυσωθείη. μέλλων α. χρυσωθησοίμην, χρυσωθήσοιο, χρυσωθήσοιτο. μέσος ἀόριστος πρῶτος. χρυσωσαίμην, χρυσώσαιο, χρυσώσαιτο. μέσος μέλλων πρῶτος. χρυσωσοίμην, χρυσώσοιο, χρυσώσοιτο.

Ὑποτακτικὰ παθητικά. ἐνεστώς.

ἐὰν χρυσόωμαι, ῶμαι. χρυσόῃ, οῖ. χρυσόηται, ῶται. ἐὰν χρυσοώμεθον, ώμεθον. χρυσόησθον, ῶσθον. χρυσόησθον, ῶσθον. ἐὰν χρυσοώμεθα, ώμεθα. χρυσόησθε, ῶσθε. χρυσόωνται, ῶνται. Παρακείμενος. ἐὰν κεχρυσῶμαι, κεχρυσῷ, κεχρυσῶται. Ἀόριστος α. ἐὰν χρυσωθῶ, χρυσωθῇς, χρυσωθῇ. μέσος ἀόριστος α. ἐὰν χρυσώσωμαι, χρυσώσῃ, χρυσώσηται.

Ἀπαρέμφατα παθητικά. ἐνεστώς,

χρυσόεσθαι, οῦσθαι. Παρακείμενος, κεχρυσῶσθαι. μετ' ὀλίγον μέλλων, κεχρυσώσεσθαι. Ἀόριστος α, χρυσωθῆναι. μέλλων α, χρυσωθήσεσθαι. μέσος ἀόριστος α, χρυσώσασθαι. μέσος μέλλων α, χρυσώσεσθαι.

Μετοχαὶ παθητικαί. ἐνεστώς.

ὁ χρυσοόμενος, ούμενος. τοῦ χρυσοομένου, ουμένου. ἡ χρυσοομένη, ουμένη. τῆς χρυσοομένης, ουμένης. τὸ χρυσοόμενον, ούμενον. τοῦ χρυσοομένου, ουμένου. Παρακείμενος. ὁ κεχρυσωμένος. ἡ κεχρυσωμένη. τὸ κεχρυσωμένον. μετ' ὀλίγον μέλλων. ὁ κεχρυσωσόμενος. ἡ κεχρυσωσομένη. τὸ κεχρυσωσόμενον. Ἀόριστος α. ὁ χρυσωθείς. ἡ χρυσωθεῖσα. τὸ χρυσωθέν. μέλλων α. ὁ χρυσωθησόμενος. ἡ χρυσωθησομένη. τὸ χρυσωθησόμενον. μέσος ἀόριστος α. ὁ χρυσωσάμενος. ἡ χρυσωσαμένη. τὸ χρυσωσάμενον. μέσος

μέλλων α. ὁ χρυσωσόμενος. ἡ χρυσωσομένη. τὸ χρυσωσόμενον. Δεῖ δὲ εἰδέναι ὅτι σπανίως εὑρίσκονται μέσοι παρακείμενοι καὶ δεύτεροι ἀόριστοι ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων. οἷον, κτυπῶ, ἔκτυπα, ἔκτυπον. δουπῶ, δέδουπα, ἔδουπον. μυκῶ, μέμυκα, ἔμυκον. χραισμῶ, ἔχραισμον. ὀλισθῶ, ὤλισθον. ἁμαρτῶ, ἥμαρτον. βλαστῶ, ἔβλαστον. ἀλαλκῶ, ἤλαλκον. ἐπὶ δὲ τῆς τρίτης, οὐδαμῶς.

Εἰς μι

Περὶ τῶν εἰς μι ῥημάτων.

Τὰ εἰς μι ῥήματα, ἀπὸ τῶν περισπωμένων ῥημάτων γίνονται. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι, τέσσαρες. ὧν ἡ πρώτη, ἀπὸ τῆς πρώτης τῶν περισπωμένων γίνεται. οἷον, τιθέω, ῶ, τίθημι. ἔχει δὲ τὸ η ἀντὶ τῆς παραληγούσης τοῦ ἐνεργητικοῦ. τὸ ε δὲ, ἀντὶ τοῦ παθητικοῦ. οἷον, τίθημι, τίθεμαι. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Τίθημι. τίθης. τίθησι. τίθετον. τίθετον. τίθεμεν. τίθετε. τιθεῖσι, καὶ ἰωνικῶς, τιθέασι. Παρατατικός. Ἐτίθην, ἐτίθης, ἐτίθη. ἐτίθετον, ἐτιθέτην. ἐτίθεμεν, ἐτίθετε, ἐτίθεσαν. Παρακείμενος. τέθεικα, τέθεικας, τέθεικε. Ὑπερσυντέλικος. Ἐτεθείκειν, ἐτεθείκεις, ἐτεθείκει. γράφονται δὲ διὰ τῆς ει διφθόγγου ἔθει βοιωτικῷ. Ἀόριστος α. Ἔθηκα, ἔθηκας, κε, ἀντὶ ἔθησα ἔξω τοῦ κανόνος. ὁμοίως καὶ ἔδωκα, καὶ ἧκα, καὶ ἤνεγκα, καὶ εἶπα. ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸ σύμφωνον τοῦ οἰκείου μέλλοντος. Ἀόριστος β. Ἔθην, ἔθης, ἔθη. ἔθετον, ἐθέτην. ἔθεμεν, ἔθετε, ἔθεσαν. Μέλλων. Θήσω, θήσεις, θήσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς,

τίθετι, τιθέτω. τίθετον, τιθέτων. τίθετε, τιθέτωσαν. Παρακείμενος. τέθεικε, τεθεικέτω. Ἀόριστος β. Θέτι, ἢ θὲς, θέτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς,

τιθείην, τιθείης, τιθείη. τιθείητον, τιθειήτην. τιθείημεν, τιθείητε, τιθείησαν, καὶ τιθεῖεν. Παρακείμενος. τεθείκοιμι, τεθείκοις, τεθείκοι. Ἀόριστος β. Θείην, θείης, θείη. Μέλλων. Θήσοιμι, οις, οι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν τιθῶ, τιθῇς, τιθῇ. ἐὰν τιθῆτον, τιθῆτον. ἐὰν τιθῶμεν, τιθῶτε, τιθῶσι. Παρακείμενος. Ἐὰν τεθείκω, τεθείκῃς, τεθείκῃ. Ἀόριστος β. Ἐὰν θῶ, θῇς, θῇ. Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς, τιθέναι. Παρακείμενος, τεθεικέναι. Ἀόριστος β, θεῖναι. Μέλλων, θήσειν. Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

ὁ τιθεὶς, τοῦ τιθέντος. ἡ τιθεῖσα, τῆς τιθείσης. τὸ τιθὲν, τοῦ τιθέντος. Παρακείμενος. ὁ τεθεικώς. ἡ τεθεικυῖα. τὸ τεθεικός.

Ἀόριστος β. ὁ θείς. ἡ θεῖσα. τὸ θέν. Μέλλων. ὁ θήσων. ἡ θήσουσα. τὸ θῆσον.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Τίθεμαι, τίθεσαι, τίθεται. τιθέμεθον, τίθεσθον, τίθεσθον. τιθέμεθα, τίθεσθε, τίθενται. Παρατατικός. Ἐτιθέμην, ἐτίθεσο, καὶ ἐτίθου, ἐτίθετο. ἐτιθέμεθον, ἐτίθεσθον, ἐτιθέσθην. ἐτιθέμεθα, ἐτίθεσθε, ἐτίθεντο. Παρακείμενος. Τέθειμαι. τέθεισαι. τέθειται. Μετ' ὀλίγον μέλλων. Τεθείσομαι, τεθείσῃ, σεται. Ὑπερσυντέλικος. Ἐτεθείμην, ἐτέθεισο, ἐτέθειτο. Ἀόριστος α. Ἐτέθην, ἐτέθης, θη. Μέλλων α. Τεθήσομαι, τεθήσῃ, σεται. Μέσος ἀόριστος β. Ἐθέμην, ἔθεσο, καὶ ἔθου, ἔθετο. Μέσος μέλλων α. Θήσομαι, θήσῃ, σεται.

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Τίθεσο, καὶ τίθου, τιθέσθω. τίθεσθον, τιθέσθων. τίθεσθε, τιθέσθωσαν. Παρακείμενος. Τέθεισο, τεθείσθω. Ἀόριστος α. Τέθητι, τεθήτω. Μέσος ἀόριστος β. Θέσο, καὶ θοῦ, θέσθω.

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Τιθείμην, τιθεῖο, τιθεῖτο. τιθείμεθον, τιθεῖσθον, τιθείσθην. τιθείμεθα, τιθεῖσθε, τιθεῖντο. Παρακείμενος. Τεθείμην, τεθεῖο, τεθεῖτο. Μετ' ὀλίγον μέλλων. Τεθεισοίμην, τεθείσοιο, το. Ἀόριστος α. Τεθείην, τεθείης, τεθείη. Μέλλων α. Τεθεισοίμην, σοιο, σοιτο. Μέσος ἀόριστος β. Θείμην, θεῖο, θεῖτο. Μέσος μέλλων α. Θησοίμην, θήσοιο, θήσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν τιθῶμαι, τιθῇ, τιθῆται. ἐὰν τιθώμεθον, τιθῆσθον, τιθῆσθον. ἐὰν τιθώμεθα, τιθῆσθε, τιθῶνται. Παρακείμενος. Ἐὰν τεθῶμαι, τεθῇ, τεθῆται. Ἀόριστος α. Ἐὰν τεθῶ, τεθῇς, τεθῇ. Μέσος ἀόριστος β. Ἐὰν θῶμαι, θῇ, θῆται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς,

Τίθεσθαι. Παρακείμενος, Τεθεῖσθαι. Μετ' ὀλίγον μέλλων, Τεθείσεσθαι. Ἀόριστος α, Τεθῆναι. Μέλλων α, Τεθήσεσθαι. Μέσος ἀόριστος β, Θέσθαι. Μέσος μέλλων α, Θήσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ τιθέμενος. ἡ τιθεμένη. τὸ τιθέμενον. Παρακείμενος. Ὁ τεθειμένος, ἡ τεθειμένη. τὸ τεθειμένον. Μετ' ὀλίγον μέλλων. Ὁ τεθεισόμενος. ἡ τεθεισομένη. τὸ τεθεισόμενον. Ἀόριστος α. Ὁ τεθείς. ἡ τεθεῖσα. τὸ τεθέν. Μέλλων α. Ὁ τεθησόμενος. ἡ τεθησομένη. τὸ τεθησόμενον. Μέσος ἀόριστος β. Ὁ θέμενος. ἡ θεμένη. τὸ θέμενον. Μέσος μέλλων α. Ὁ θησόμενος. ἡ θησομένη. τὸ θησόμενον.

2a. Εἰς μι

Περὶ τῆς δευτέρας συζυγίας τῶν εἰς μι.

Δευτέρα συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων. οἷον, ἱστάω, ῶ, ἵστημι. ἔχει δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, τὸ α δὲ, ἐν τῇ τοῦ παθητικοῦ. οἷον, ἵστημι, ἵσταμαι.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἵστημι. ἵστης. ἵστησι. ἵστατον. ἵστατον. ἵσταμεν. ἵστατε. ἱστᾶσι. Παρατατικός. Ἵστην, ἵστης, ἵστη. ἵστατον, ἱστάτην. ἵσταμεν, ἵστατε, ἵστασαν. Παρακείμενος. Ἕστακα, ἕστακας, ἕστακε, καὶ οὐχ ἕστηκα, εἰς διαφορὰν τοῦ ἕστηκα, ἀπὸ τοῦ ἑστήκω γινομένου. ὁμοίως καὶ ὁ ὑπερσυντέλικος, ἑστάκειν, ἑστάκεις, ἑστάκει. Ἀόριστος α. Ἔστησα, ἔστησας, ἔστησε. Ἀόριστος δεύτερος. Ἔστην, ἔστης, ἔστη. ἔστητον, ἐστήτην. ἔστημεν, ἔστητε. ἔστησαν. Μέλλων. Στήσω, στήσεις, στήσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἵσταθι, ἱστάτω. ἵστατον, ἱστάτων. ἵστατε, ἱστάτωσαν. Παρακείμενος. Ἕστακε, ἑστακέτω. Ἀόριστος α. Στῆσον, στησάτω. Ἀόριστος β. Στῆθι, στήτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἱσταίην, ἱσταίης, ἱσταίη. ἱσταίητον, ἱσταιήτην. ἱσταίημεν, ἱσταίητε, ἱσταίησαν, καὶ ἱσταῖεν. Παρακείμενος. Ἑστάκοιμι. ἑστάκοις, ἑστάκοι. Ἀόριστος πρῶτος. Στήσαιμι, στήσαις, στήσαι. Αἰολικῶς, στήσεια, στήσειας, στήσειε. Ἀόριστος β. Σταίην, σταίης, σταίη. Μέλλων. Στήσοιμι, στήσοις, στήσοι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν ἱστῶ, ἱστᾷς, ἱστᾷ. ἐὰν ἱστᾶτον, ἱστᾶτον. ἐὰν ἱστῶμεν, ἱστᾶτε, ἱστῶσι. Παρακείμενος. Ἐὰν ἑστάκω, ἑστάκῃς, ἑστάκῃ. Ἀόριστος α. Ἐὰν στήσω, στήσῃς, στήσῃ. Ἀόριστος β. Ἐὰν στῶ, στῇς, στῇ.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστὼς,

Ἱστάναι. Παρακείμενος, Ἑστακέναι. Ἀόριστος α, Στῆσαι. Ἀόριστος β, Στῆναι. Μέλλων, Στήσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ ἱστὰς, τοῦ ἱστάντος. Ἡ ἱστᾶσα, τῆς ἱστάσης. Τὸ ἱστὰν, τοῦ ἱστάντος. Παρακείμενος. Ὁ ἑστακώς. Ἡ ἑστακυῖα. Τὸ ἑστακός. Ἀόριστος α. Ὁ στήσας. Ἡ στήσασα. Τὸ στῆσαν. Ἀόριστος β. Ὁ στάς. Ἡ στᾶσα. Τὸ στάν. Μέλλων. Ὁ στήσων. Ἡ στήσουσα. Τὸ στῆσον.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Ἵσταμαι, ἵστασαι, ἵσταται. ἱστάμεθον, ἵστασθον, ἵστασθον. ἱστάμεθα, ἵστασθε, ἵστανται. Παρατατικός. Ἱστάμην, ἵστασο, καὶ ἵστω, ἵστατο. ἱστάμεθον, ἵστασθον, ἱστάσθην. ἱστάμεθα, ἵστασθε, ἵσταντο. Παρακείμενος. Ἕσταμαι, ἕστασαι, ἕσταται. Μετ᾽ ὀλίγον μέλλων. Ἑστάσομαι, ἑστάσῃ, ἑστάσεται. Ὑπερσυντέλικος. Ἑστάμην, ἕστασο, ἕστατο.

Ἀόριστος α. ἐστάθην, ἐστάθης, ἐστάθη. Μέλλων α. σταθήσομαι, σταθήσῃ, σταθήσεται. Μέσος ἀόριστος α. ἐστησάμην, ἐστήσω, ἐστήσατο. Μέσος μέλλων α. στήσομαι, στήσῃ, στήσεται.

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Ἵστασο, καὶ ἵστω, ἱστάσθω. ἵστασθον, ἱστάσθων. ἵστασθε, ἱστάσθωσαν. Παρακείμενος. ἕστασο, ἑστάσθω. Ἀόριστος α. στάθητι, σταθήτω. Μέσος ἀόριστος α. στῆσαι, στησάσθω.

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Ἱσταίμην, ἱσταῖο, ἱσταῖτο. ἱσταίμεθον, ἱσταῖσθον, ἱσταίσθην. ἱσταίμεθα, ἱσταῖσθε, ἱσταῖντο. Παρακείμενος. ἑσταίμην, ἑσταῖο, ἑσταῖτο. Μετ' ὀλίγον μέλλων. ἑστασοίμην, ἑστάσοιο, ἑστάσοιτο. Ἀόριστος α. σταθείην, σταθείης, σταθείη. Μέσος ἀόριστος α. στησαίμην, στήσαιο, στήσαιτο. Μέλλων α. σταθησοίμην, σοιο, σοιτο. Μέσος μέλλων α. στησοίμην, στήσοιο, στήσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν ἱστῶμαι, ἱστῇ, ἱστῆται. ἐὰν ἱστώμεθον, ἱστῆσθον, ἱστῆσθον. ἐὰν ἱστώμεθα, ἱστῆσθε, ἱστῶνται. Παρακείμενος. ἐὰν ἑστῶμαι, ἑστῇ, ἑστῆται. Ἀόριστος α. ἐὰν σταθῶ, σταθῇς, σταθῇ. Μέσος ἀόριστος α. ἐὰν στήσωμαι, στήσῃ. Ἀπαρέμφατα παθητικά. Ἐνεστώς. ἵστασθαι. Παρακείμενος, ἑστάσθαι. Μετ' ὀλίγον μέλλων, ἑστάσεσθαι. Ἀόριστος α, σταθῆναι. Μέλλων α, σταθήσεσθαι. Μέσος ἀόριστος α, στήσασθαι. Μέσος μέλλων α, στήσεσθαι. Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ ἱστάμενος. ἡ ἱσταμένη. τὸ ἱστάμενον. Παρακείμενος. ὁ ἑσταμένος. ἡ ἑσταμένη. τὸ ἑσταμένον. Ἀόριστος α. ὁ σταθείς. ἡ σταθεῖσα. τὸ σταθέν. Μέλλων πρῶτος. ὁ σταθησόμενος. ἡ σταθησομένη. τὸ σταθησόμενον. Μέσος ἀόριστος α. ὁ στησάμενος. ἡ στησαμένη. τὸ στησάμενον. Μέσος μέλλων α. ὁ στησόμενος. ἡ στησομένη. τὸ στησόμενον. Περὶ τῆς τρίτης συζυγίας τῶν εἰς μι. γ΄ εἰς μι.

Ἡ τρίτη συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς τρίτης τῶν περισπωμένων. οἷον, διδόω, ῶ, δίδωμι. ἔχει δὲ τὸ ω μέγα ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ. τὸ ο δὲ μικρὸν, ἐν τῇ τοῦ παθητικοῦ. οἷον, δίδωμι, δίδομαι. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Δίδωμι, δίδως, δίδωσι. δίδοτον, δίδοτον. δίδομεν, δίδοτε, διδοῦσι. καὶ ἰωνικῶς, διδόασι. Παρατατικός. ἐδίδων, ἐδίδως, ἐδίδω. ἐδίδοτον, ἐδιδότην. ἐδίδομεν, ἐδίδοτε, ἐδίδοσαν. Παρα-

κείμενος. Δέδωκα, δέδωκας, δέδωκε. Ὑπερσυντέλικος. Ἐδε-
δώκειν, ἐδεδώκεις, ἐδεδώκει. Ἀόριστος α. Ἔδωκα, ἔδωκας, ἔδωκε.
Ἀόριστος β. Ἔδων, ἔδως, ἔδω. ἔδοτον, ἐδότην. ἔδομεν, ἔδοτε, ἔδοσαν.
Μέλλων. Δώσω, δώσεις, δώσει. Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.
Δίδοθι. διδότω. δίδοτον, διδότων. δίδοτε, διδότωσαν. Παρακεί-
μενος. Δέδωκε, δεδωκέτω. Ἀόριστος β. Δόθι, ἢ δός, δότω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Διδοίην, διδοίης, διδοίη. διδοίητον, διδοιήτην. διδοίημεν, διδοίη-
τε, διδοίησαν, καὶ διδοῖεν. Παρακείμενος. Δεδώκοιμι, δεδώκοις,
κοι. Ἀόριστος β. Δοίην, δοίης, δοίη. Μέλλων. Δώσοιμι, δώσοις,
σοι. Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.
Ἐὰν διδῶ, διδῷς, διδῷ. ἐὰν διδῶτον, διδῶτον. ἐὰν διδῶμεν, διδῶ-
τε, διδῶσι. Παρακείμενος. Ἐὰν δεδώκω, δεδώκῃς, κῃ. Ἀόριστος
β. Ἐὰν δῶ. δῷς, δῷ. Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς,
Διδόναι. Παρακείμενος, Δεδωκέναι. Ἀόριστος β, Δοῦναι.
Μέλλων, Δώσειν. Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.
Ὁ διδούς, ἡ διδοῦσα, τὸ διδόν. Παρακείμενος. Ὁ δεδωκώς,
ἡ δεδωκυῖα, τὸ δεδωκός. Ἀόριστος β. Ὁ δούς, ἡ δοῦσα, τὸ δόν.
Μέλλων. Ὁ δώσων. ἡ δώσουσα. τὸ δῶσον.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Δίδομαι, δίδοσαι, καὶ δίδου, δίδοται. διδόμεθον, δίδοσθον, δίδοσθον.
διδόμεθα, δίδοσθε, δίδονται. Παρατατικός. Ἐδιδόμην, ἐδίδο-
σο, καὶ ἐδίδου, ἐδίδοτο. ἐδιδόμεθον, ἐδίδοσθον, ἐδιδόσθην. ἐδιδό-
μεθα, ἐδίδοσθε, ἐδίδοντο. Παρακείμενος. Δέδομαι, δέδοσαι,
δέδοται. Μετ᾽ ὀλίγον μέλλων. Δεδόσομαι, δεδόσῃ, δεδόσεται.
Ὑπερσυντέλικος. Ἐδεδόμην, ἐδέδοσο, ἐδέδοτο. Ἀόριστος α.
Ἐδόθην, ἐδόθης, θη. Μέλλων α. Δοθήσομαι, σῃ, σεται.
Μέσος ἀόριστος β. Ἐδόμην, ἔδοσο, καὶ ἔδου, ἔδοτο. Μέσος μέλλων
α. Δόσομαι, σῃ, σεται. Προστακτικὰ παθητικά. Ἐνεστώς.
Δίδοσο, καὶ δίδου, διδόσθω. δίδοσθον, διδόσθων. δίδοσθε, διδόσθω-
σαν. Παρακείμενος. Δέδοσο, δεδόσθω. Ἀόριστος α. Δόθητι,
δοθήτω. Μέσος ἀόριστος β. Δόσο, καὶ δοῦ, δόσθω.

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Διδοίμην, διδοῖο, διδοῖτο. διδοίμεθον, διδοίσθον, διδοίσθην. διδοί-
μεθα, διδοῖσθε, διδοῖντο. Παρακείμενος. Δεδοίμην, δεδοῖο, δε-
δοῖτο. Μετ᾽ ὀλίγον μέλλων. Δεδοσοίμην, δεδόσοιο, δεδόσοιτο.

Ἀόριστος α. Δοθείην, δοθείης, δοθείη. Μέλλων α. Δοθησοίμην, σοιο, σοιτο. Μέσος ἀόριστος β. Δοίμην, δοῖο, δοῖτο. Μέσος μέλλων α. Δοσοίμην, δόσοιο, δόσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν διδῶμαι, διδῷ, διδῶται. ἐὰν διδώμεθον, διδῶσθον, διδῶσθον. ἐὰν διδώμεθα, διδῶσθε, διδῶνται. Παρακείμενος. Ἐὰν δεδῶμαι, δεδῷ, δεδῶται. Ἀόριστος α. Ἐὰν δοθῶ, ῇς, ῇ. Μέσος ἀόριστος β. Ἐὰν δῶμαι, δῷ, δῶται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς,

Δίδοσθαι. Παρακείμενος, Δεδόσθαι. Μετ' ὀλίγον μέλλων, Δεδόσεσθαι. Ἀόριστος α, Δοθῆναι. Μέλλων α, Δοθήσεσθαι. Μέσος ἀόριστος β', Δόσθαι. Μέσος μέλλων α, Δόσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ διδόμενος. ἡ διδομένη. τὸ διδόμενον. Παρακείμενος. Ὁ δεδομένος. ἡ δεδομένη. τὸ δεδομένον. Μετ' ὀλίγον μέλλων, ὁ δεδοσόμενος. ἡ δεδοσομένη. τὸ δεδοσόμενον. Ἀόριστος α. Ὁ δοθείς, ἡ δοθεῖσα, τὸ δοθέν. Μέλλων α. Ὁ δοθησόμενος. ἡ δοθησομένη. τὸ δοθησόμενον. Μέσος ἀόριστος β. Ὁ δόμενος. ἡ δομένη. τὸ δόμενον. Μέσος μέλλων α, ὁ δοσόμενος. ἡ δοσομένη. τὸ δοσόμενον. Περὶ τῆς τετάρτης συζυγίας τῶν εἰς μι. δ εἰς μι.

Ἡ τετάρτη συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ῥημάτων εἰς νω ληγόντων. οἷον, ζευγνύω, ζεύγνυμι. ἔχει δὲ καὶ αὕτη τὴν παραλήγουσαν τοῦ ἐνεργητικοῦ, καὶ παθητικοῦ. οἷον, ζεύγνυμι, ζεύγνυμαι. Ὁριστικὰ ἐνεργητικά, Ἐνεστώς. Ζεύγνυμι, ζεύγνυς, ζεύγνυσι. ζεύγνυτον, ζεύγνυτον. ζεύγνυμεν, ζεύγνυτε, ζευγνῦσι, καὶ ἰωνικῶς, ζευγνύασι. Παρατατικός. Ἐζεύγνυν, ἐζεύγνυς, ἐζεύγνυ. ἐζεύγνυτον, ἐζευγνύτην. ἐζεύγνυμεν, ἐζεύγνυτε, ἐζεύγνυσαν. Οἱ δὲ ἄλλοι χρόνοι, ἐξέλιπον. τὰ γὰρ τῆς τετάρτης μέχρι παρατατικοῦ κλίνονται. Προστακτικόν. Ζεύγνυθι, ζευγνύτω. Ἀπαρέμφατον, ζευγνύναι. Μετοχή. Ὁ ζευγνύς. ἡ ζευγνῦσα. τὸ ζευγνύν.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Ζεύγνυμαι, ζεύγνυσαι, ζεύγνυται. ζευγνύμεθον, ζεύγνυσθον, ζεύγνυσθον. ζευγνύμεθα, ζεύγνυσθε, ζεύγνυνται. Παρατατικός. Ἐζευγνύμην, ἐζεύγνυσο, ἐζεύγνυτο. ἐζευγνύμεθον, ἐζεύγνυσθον, ἐζευγνύσθην. ἐζευγνύμεθα, ἐζεύγνυσθε, ἐζεύγνυντο. Προστακτικόν.

ζεύγνυσο, ζευγνύσθω. ζεύγνυσθον, ζευγνύσθων. ζεύγνυσθε, ζευγνύσθωσαν. Ἀπαρέμφατον, ζεύγνυσθαι. Μετοχαί. ὁ ζευγνύμενος. ἡ ζευγνυμένη. τὸ ζευγνύμενον.

Ὑπαρκτικὸν ῥῆμα. Ἐνεστώς.

Εἰμί. εἶ. ἐστί. ἐστόν. ἐστόν. ἐσμέν. ἐστέ. εἰσί. Παρατατικὸς, καὶ παρακείμενος. Ἦν, ἦς, ἦν. ἦτον, ἤτην. ἦμεν, ἦτε, ἦσαν. Ὑπερσυντέλικος. Ἤμην, ἦσο, ἦτο. Μέλλων. Ἔσομαι, ἔσῃ, ἔσεται, καὶ ἔσται. ἐσόμεθον, ἔσεσθον, ἔσεσθον. ἐσόμεθα, ἔσεσθε, ἔσονται. Προστακτικόν. Ἔσο, ἔστω. ἔστον, ἔστων. ἔστε, ἔστωσαν, καὶ ἔστων. Εὐκτικόν. Εἴην, εἴης, εἴη. εἴητον, εἰήτην. εἴημεν, εἴητε, εἴησαν, καὶ εἶεν. Μέλλων. Ἐσοίμην, ἔσοιο, ἔσοιτο. ἐσοίμεθον, ἔσοισθον, ἐσοίσθην. ἐσοίμεθα, ἔσοισθε, ἔσοιντο. Ὑποτακτικόν. Ἐὰν ὦ, ᾖς, ᾖ. ἐὰν ἦτον, ἦτον. ἐὰν ὦμεν, ἦτε, ὦσι. Ἀπαρέμφατον, εἶναι. Μέλλων, ἔσεσθαι. Μετοχαί. ὁ ὢν, τοῦ ὄντος. ἡ οὖσα, τῆς οὔσης. τὸ ὄν, τοῦ ὄντος. Μέλλων. ὁ ἐσόμενος, τοῦ ἐσομένου. ἡ ἐσομένη, τῆς ἐσομένης. τὸ ἐσόμενον, τοῦ ἐσομένου. Ἀλλὰ περὶ μὲν τῆς κλίσεως τῶν ῥημάτων, ἅλις.

νῦν δὲ περὶ τῆς συγγενείας τῶν χρόνων, καὶ μεταβολῆς τῶν φωνηέντων, καὶ διφθόγγων, καὶ σχηματισμοῦ τῶν χρόνων, καὶ τινων ἀναγκαίων κανόνων λέγωμεν.

ΠΕΡῚ ΤΗ͂Σ ΣΥΓΓΕΝΕΊΑΣ ΤΩ͂Ν ΧΡΌΝΩΝ, ΚΑῚ ΜΕΤΑΒΟΛΙΚΩ͂Ν ΚΑῚ ἈΜΕΤΑΒΌΛΩΝ ΦΩΝΗΈΝΤΩΝ, ΚΑῚ ΔΙΦΘΌΓΓΩΝ, ΚΑῚ ΠΕΡῚ ΣΧΗΜΑΤΙΣΜΟΥ͂ ΤΩ͂Ν ΧΡΌΝΩΝ, ΚΑΊ ΤΙΝΩΝ ΚΑΝΌΝΩΝ ἈΝΑΓΚΑΊΩΝ.

Περὶ τῆς συγγενείας τῶν χρόνων.

τ ριῶν ὄντων τῶν ἀρκτικῶν χρόνων, δηλονότι, ἐνεστῶτος, παρακειμένου, καὶ μέλλοντος, ἀφ' ὧν γίνονται ἄλλοι τρεῖς, παρατατικὸς, ὑπερσυντέλικος, καὶ ἀόριστος, τρεῖς συγγένειαι τῶν ἓξ φαίνονται χρόνων. ἐνεστῶτος, καὶ παρατατικοῦ. παρακειμένου, καὶ ὑπερσυντελίκου. μέλλοντος, καὶ ἀορίστου. ὅθεν καὶ ὁ παρατατικὸς ἐκ τοῦ ἐνεστῶτος φυλάττει σύμφωνον. οἷον, γράφω, ἔγραφον. ὁ ὑπερσυντέλικος, τοῦ παρακειμένου. οἷον, γέγραφα, ἐγεγράφειν. ὁ ἀόριστος, τοῦ μέλλοντος. οἷον, γράψω, ἔγραψα. εἰσὶ δὲ τελικὰ τῶν μελλόντων τρία, ψ, ξ, σ, πλὴν τῶν ἀμεταβόλων. καὶ τρία τῶν παρακειμένων, φ, χ, κ. ὅθεν εἰ μὲν ὁ μέλλων τὸ ψ ἔχει, ὁ παρακείμενος τὸ φ. οἷον, γράψω, γέγραφα. εἰ δὲ ὁ μέλλων τὸ ξ, ὁ παρακείμενος τὸ χ. οἷον, λέξω, λέλεχα. εἰ δὲ ὁ μέλλων τὸ σ, ὁ παρακείμενος τὸ κ. οἷον, πλήσω, πέπληκα. καὶ τὰ εἰς ἀμετάβολον δὲ, καὶ ἔτι τὰ συνῃρημένα, καὶ εἰς μι, εἰς κα ποιοῦσι τὸν παρακείμενον.

Περὶ παντὸς ῥήματος.

Πᾶν δὴ ῥῆμα ἢ ἀπὸ φωνήεντος ἄρχεται, ἢ διφθόγγου, ἢ συμφώνου. εἰ μὲν ἀπὸ φωνήεντος, ἢ μεταβολικοῦ, ἢ ἀμεταβόλου.

Περὶ τῶν ἀπὸ ἀμεταβόλων φωνηέντων ἀρχομένων.

Εἰ μὲν ἀπὸ ἀμεταβόλου, δηλονότι, η, ι, υ, ω, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρῳχημένοις. οἷον, ἠχέω, ἤχεον, ἤχηκα, ἠχήκειν, ἤχησα. ἰσχύω, ἴσχυον. ἴσχυκα. ἰσχύκειν. ἴσχυσα. ὑβρίζω, ὕβριζον. ὕβρικα. ὑβρίκειν. ὕβρισα. ὠφελέω, ῶ, ὠφέλεον, ουν. ὠφέληκα. ὠφελήκειν. ὠφέλησα. ταῦτα γὰρ καὶ ἀμετάβολα προσηγόρευνται, ὡς μὴ τρεπόμενα. Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ, ἤγουν τρεπτοῦ, δηλονότι, α, ε, ο, γίνεται τροπὴ ἐν τοῖς παρῳχημένοις, ἣν χρονικὴν αὔξησιν καλοῦμεν. καὶ εἰ μὲν ἄρχεται ἀπὸ τοῦ α, τρέπεται κοινῶς τὸ α εἰς η, οἷον, ἀνύω, ἤνυον. ἤνυκα. ἠνύκειν. ἤνυσα. ἐξαιρεῖται δὲ ἀηθέσσω, ἀήθεσσον, καὶ ἀηδίζομαι, ἀηδιζόμην, διὰ τὴν ἐπαλληλίαν

τοῦ δύο ἦν. καὶ ἄω, τὸ πνέω, ἆον, ἵνα μὴ συμπέσῃ τῷ ἦον. καὶ ἀΐω, τὸ ἀκούω, ἄϊον, ἵνα μὴ συμπέσῃ τῷ ἤϊον, τῷ ἐπορευόμην. Εἰ δὲ ἀπὸ τοῦ ε ἄρχεται, ὁμοίως τρέπεται τὸ ε εἰς η. οἷον, ἐλεέω, ῶ. ἠλέεον, ουν. ἠλέηκα. ἠλεήκειν. ἠλέησα. πλὴν τῶν σεσημειωμένων. ἐν οἷς μόνον τὸ ε, προσλαμβάνει καὶ ι. οἷον, ἔχω, εἶχον. ἕπω, εἷπον. ἕλω, εἷλον. ἑστήκω, εἱστήκειν. ἕπομαι, εἱπόμην. ἐάω, ῶ, εἴαον, ων. ἑστιῶ, εἱστίων. ἑρπύζω, εἵρπυζον. ἕρπω, εἷρπον. ἕλκω, εἷλκον. ἑλκύω, εἵλκυον. ἐρύω, εἴρυον. ἐθίζω, εἴθιζον. ἔθω, εἴωθα. ἕω, εἷμαι. ἐργάζομαι, εἰργαζόμην. Εἰ δὲ ἀπὸ τοῦ ο, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα. οἷον, ὀνομάζω, ὠνόμαζον. ὠνόμακα. ὠνομάκειν. ὠνόμασα. παρὰ ποιηταῖς δὲ τὰ τοιαῦτα ἀναύξητα, εἴτε ἄτρεπτα μένουσι διὰ τὸ μέτρον ἔθει ἰωνικῷ. οἷον, ἄκουσεν, ἀντὶ ἤκουσεν. ἔλαυνεν, ἀντὶ ἤλαυνεν. ὀνόμηνεν, ἀντὶ ὠνόμηνε.

Περὶ τοῦ ἀττικοῦ παρακειμένου.

Ὅτι δὴ τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν μεταβολικῶν τούτων φωνηέντων, οἱ ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐνεργητικὸν, καὶ παθητικὸν, καὶ μέσον, τὰ ἀρχικὰ δύο γράμματα τοῦ ἐνεστῶτος προστιθέντες τῷ κοινῷ παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν συστέλλοντες τῆς δευτέρας συλλαβῆς, εἰ μακρὰ εἴη. οἷον, ἀκούω, ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. ἀλείφω, ἤλειφα κοινῶς, καὶ ἀλήλιφα ἀττικῶς. ἐλεύθω, ἤλευθα κοινῶς, καὶ ἐλήλυθα ἀττικῶς μέσος παρακείμενος. ἐνέγκω, ἤνεγκα κοινῶς, καὶ ἐνήνοχα ἀττικῶς. ὀμῶ, ὤμοκα κοινῶς, καὶ ὀμώμοκα ἀττικῶς. ὀλέω, ῶ, ὤλεκα, καὶ ὀλώλεκα. ὀρύσσω, ὤρυχα, καὶ ὀρώρυχα. ὄλλω, ὦλα μέσος παρακείμενος. καὶ ἀττικῶς, ὄλωλα. ὁμοίως καὶ ἐν τοῖς παθητικοῖς. οἷον, ἤλειμμαι, ἀλήλιμμαι. ἤρεισμαι, ἐρήρεισμαι. ἐν ἐνίοις δὲ μόνον προστιθέασιν ε. οἷον, ὦσμαι, ἔωσμαι. ὤνημαι, ἑώνημαι. ὠνούμην, ἐωνούμην. ὥρακα, ἑώρακα. ἑώρων. ἀνῷγα, ἀνέῳγα. τὸ δὲ ξυνέηκε, καὶ ἔειπε, ποιητικά. εὕρηται δὲ καί τινα ὧν ἡ τρίτη συλλαβὴ οὐ συστέλλεται. οἷον, ἀλάλημαι. ἐρήρεικα, ἀπὸ τοῦ ἐρείδω. καὶ ὤρηκα, ὀρώρηκα, ἀπὸ τοῦ ὀρῶ.

Περὶ τῶν ἀπὸ διφθόγγων ἀρχομένων ῥημάτων.

Εἰ δὲ ἀπὸ διφθόγγου ἄρχεται τὸ ῥῆμα, ἢ ἀπὸ τρεπτῆς, ἢ ἀπὸ ἀτρέπτου. εἰ μὲν ἀπὸ ἀτρέπτου, δηλονότι, ευ, ει, ου, οὐδεμία τροπὴ γίνεται. οἷον, εὕδω, εὗδον, καὶ ηὗδον ἀττικῶς. εἰκάζω, εἴκαζον. οὐρέω, ῶ, οὔρεον, ουν. εἰ δὲ ἀπὸ τρεπτῆς, δηλονότι, αι, αυ, οι, γίνεται ἡ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων. εἰ μὲν ἀπὸ τοῦ αι, τρέπεται τὸ α εἰς η, καὶ τὸ ι ὑπογράφεται. ὅθεν καὶ τὸ ῃ δίφθογγος λέγεται καταχρηστική. οἷον, αἴρω, ἦρον, ἦρκα, ἤρκειν. εἰ δὲ ἀπὸ τοῦ αυ, τρέπεται τὸ α εἰς η. οἷον, αὐλέω, ῶ, ηὔλεον, ουν. ηὔληκα. ηὐλή-

κειν. ἠύλησα. εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα, καὶ τὸ ι ὑπογράφεται. ὅθεν καὶ ἡ ῳ δίφθογγός ἐστι καταχρηστική. οἷον, οἰκτείρω, ᾤκτειρον, ᾤκτειρα. πλὴν τῶν σεσημειωμένων ἀτρέπτων. οἷον, οἰῶμαι, οἰώθη. οἰμῶ, οἴμησα. οἰνῶ, οἴνηκα. οἰνίζω, οἴνισα. οἰστρῶ, οἴστρωκα. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπησα. οἰωνοπολῶ, οἰωνοπόληκα. οἰακίζω, οἰάκικα. οἰακονομῶ, οἰακονόμησα. οἰακοστροφῶ, οἰακοστρόφησα. ἔνιοι δὲ καὶ τὸ οἰδαίνω, καὶ οἰκουρῶ, ἐσημειώσαντο.

Περὶ τῶν ἀπὸ συμφώνων ἀρχομένων ῥημάτων.

Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ ῥῆμα, ὁ παρατατικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσλαμβάνουσιν ε. ὅπερ συλλαβικὴν αὔξησιν καλοῦμεν. οἷον, γράφω, ἔγραφον. ἔγραψα. ἔγραφον.

Περὶ παρακειμένου, καὶ πότε ἀναδιπλασιάζεται.

Ὅτε δὲ ὁ παρατατικὸς τούτων ἄρχεται ἀπὸ μακρᾶς φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. οἷον, ἠγόραζον, ἠγόρακα. ἔφθειρον, ἔφθαρκα. ἔσπειρον, ἔσπαρκα. ὅτε δὲ ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς, ἀναδιπλασιάζεται ὁ παρακείμενος διὰ τοῦ συμφώνου τοῦ ἐνεστῶτος. οἷον, ἔτυπτον, τέτυφα. ἔλεγον, λέλεχα. ἔλειβον, λέλειφα. ἔγραφον, γέγραφα. ἔγλυφον, γέγλυφα. ἔπλυνον, πέπλυκα. πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ γνω, καὶ γρη. οἷον, γνωρίζω, ἐγνώριζον, ἐγνώρικα. γρηγορέω, ῶ, ἐγρηγόρηκα. διὰ γὰρ κακοφωνίαν οὐκ ἀναδιπλασιάζονται. καὶ τῶν ἀρχομένων ἀπὸ ρ. οἷον, ῥητορεύω, ἐρρητόρευκα. τὸ γὰρ ῥερυπωμένα, ἢ ἄλλα, ποιητικά. καὶ τῶν ἀρχομένων ἀπὸ διπλῶν, ζ, ξ, ψ. οἷον, ζῶ, ἔζηκα. ξέω, ἔξεκα. ψάλλω, ἔψαλκα. τὰ δὲ ἀπὸ δασέων, θ, φ, χ ἀρχόμενα, ἀναδιπλασιάζονται μὲν, τρέπονται δὲ τὰ δασέα εἰς ψιλά. ὧν τὸ θ εἰς τ τρέπεται. οἷον, θεωρέω, ῶ, τεθεώρηκα. τὸ φ, εἰς π. οἷον, φωνέω, ῶ, πεφώνηκα. τὸ χ, εἰς κ. οἷον, χωνεύω, κεχώνευκα. ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ λ, ἢ μ, οἱ ἀττικοὶ ποιοῦσι τὸν ἴδιον παρακείμενον, ἐκβολῇ τοῦ πρώτου λ ἢ μ, καὶ πλεονασμῷ τοῦ ι. οἷον, λήβω, λήψω, λέληφα κοινῶς, καὶ εἴληφα ἀττικῶς. λήχω, λήξω, λέληχα, καὶ εἴληχα. μείρομαι, μεροῦμαι, μέμερμαι, καὶ εἵμαρμαι. ὅθεν εἱμαρμένη. ὅτε δὲ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, βραχεῖαν ἔχει τὴν ἄρχουσαν, ἢ κοινήν. σεσημείωται δὲ πέπταμαι. πέπτωκα. κέκτημαι. μέμνημαι. εἰ γὰρ καὶ οὐκ ἔστιν ἄφωνον πρὸ ἀμεταβόλου, πλὴν ποιοῦσι κοινὴν συλλαβήν.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος δὲ λαμβάνει τὸ ε αὔξησιν. οἷον, γέγραφα,

ἐγεγράφειν. τέτυφα, ἐτετύφειν.

Περὶ τῆς αὐξήσεως τῶν συνθέτων ῥημάτων.

Τούτων οὕτως ἐχόντων, δεῖ εἰδέναι ὅτι ὅτε αἱ προθέσεις οὐδὲν πλέον τοῦ ῥήματος σημαίνουσιν ἐν τῇ συνθέσει, γίνεται ἡ συνήθης αὔξησις ἐν τῇ ἀρχῇ τοῦ ῥήματος πρὸ τῆς προθέσεως. οἷον, ἐνέπω, ἤνεπον. καθεύδω, ἐκάθευδον. καθαίρω, ἐκάθαιρον. ὅτε δὲ πλέον αὐτοῦ σημαίνουσι, γίνεται ἡ αὔξησις μετὰ τὴν πρόθεσιν ἐν ἀρχῇ τοῦ ῥήματος. οἷον, προακούω, προήκουον. ἐπομνύω, ἐπώμνυον. ἐπαινῶ, ἐπῄνουν. καταγράφω, κατέγραφον. ἐπιστέλλω, ἐπέστελλον. ἐν τούτοις δὲ εἰρημένης τῆς αὐξήσεως, ἀποβάλλεται τὸ φωνῆεν τῆς προθέσεως. τὰ δὲ ἀρχόμενα ἀπὸ προθέσεων, ἔθος ἀττικοῖς ἔξωθεν ποιοῦσι τὴν αὔξησιν. οἷον, ἀντιβολῶ, ἠντιβόλουν. ἀμφισβητῶ, ἠμφισβήτουν. τὸ δὲ ἐνοχλῶ, ἠνώχλουν, καὶ ἀνορθῶ, ἠνώρθουν, καὶ ἀνέχομαι, ἠνειχόμην, καὶ παροινῶ, ἐπαρῴνουν, καὶ πεπαρῴνηκα, καὶ διαιτῶ, δεδιῄτηκα, διπλῆν τὴν αὔξησιν ποιοῦσιν. ἔτι ἔνια τὰ ἀπὸ τοῦ δυς καὶ εὖ ἀρχόμενα, ἔσωθεν αὐξάνουσιν. οἷον, δυσαπιστῶ, δυσηπίστουν. δυσαρεστῶ, δυσηρέστουν. εὐορκῶ, εὐώρκουν. εὐεργετῶ, εὐηργέτουν. εὐαγγελίζομαι, εὐηγγελιζόμην. τούτων οὕτως εἰρημένων, σχηματιστέον ἂν εἴη καὶ τοὺς χρόνους εἰδικῶς, καί τινας κανόνας ἀναγκαιοτάτους ἐκδοτέον.

Περὶ τοῦ σχηματισμοῦ τῶν χρόνων.

Ἀπὸ τοῦ τύπτω, ὁ παρατατικὸς ἔτυπτον, τροπῇ τοῦ ω εἰς ον, προστιθεμένου τοῦ ε τῆς αὐξήσεως. ἢ ἀπὸ τοῦ τύπτοντος ἐκβολῇ τοῦ τος, καὶ προσθέσει τοῦ ε. φυλάττει δὲ πάντα τοῦ ἐνεστῶτος.

Περὶ παρακειμένου.

Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος, τροπῇ τοῦ ω εἰς α, καὶ τοῦ ψ εἰς φ. ὅθεν ὅτε ὁ μέλλων τὸ ψ ἔχει, ὁ παρακείμενος τὸ φ. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν τῷ μέλλοντι. οἷον, τύψω, τέτυφα. γράψω, γέγραφα. ποιήσω, πεποίηκα. δώσω, δέδωκα. πλὴν τῶν δισυλλάβων ῥημάτων τῆς πέμπτης συζυγίας τῷ ε παραληγόντων. ταῦτα γὰρ τὸ ε τοῦ μέλλοντος εἰς α τρέπουσιν ἐν τῷ παρακειμένῳ. οἷον, κείρω, κερῶ, κέκαρκα. σπείρω, σπερῶ, ἔσπαρκα. στέλλω, στελῶ, ἔσταλκα. κτείνω, κτενῶ, ἔκτακα. καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων. ταῦτα γὰρ τρέπουσι τὸ ε εἰς ο ἔθει ἀττικῷ. οἷον, λέγω, λέξω, λέλεχα κοινῶς, καὶ λέλοχα ἀττικῶς. πλέκω, πλέξω, πέπλεχα κοινῶς, καὶ πέπλοχα ἀττικῶς. πέμπω, πέμψω, πέπεμφα κοινῶς, καὶ πέπομφα ἀττικῶς. βρέχω, βρέξω, βέβρεχα

κοινῶς, καὶ βέβροχα ἀττικῶς. Ὁ δὲ παρακείμενος εἰς κα, μακρᾷ παραλήγων, εἰ ἀποβάλλει τὸ κ, συστέλλει τὴν παραλήγουσαν ἔθει ἰωνικῷ. οἷον, ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. τέθνηκα, τέθναα. δέδοικα, δέδια. γέγηκα, γέγαα.

Περὶ τοῦ μέσου.

Ὁ μέσος παρακείμενος, τέτυπα διὰ τοῦ π. περὶ οὗ ἰστέον ὅτι ὅτε ὁ ἐνεστὼς δι᾽ ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος. οἷον, λέγω, λέλεγα. πείθω, πέποιθα. λείπω, λέλοιπα. Ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος φυλάττει τὸ σύμφωνον τοῦ ῥηματικοῦ, ὅπερ ἀπὸ τοῦ ἐνεστῶτος παράγεται. οἷον, ἀπὸ τοῦ κλέπτω, κλοπὴ τὸ ῥηματικὸν, ὁ μέσος παρακείμενος, κέκλοπα. ἀπὸ τοῦ τύπτω, τύπος, μέσος παρακείμενος, τέτυπα. ἀπὸ τοῦ βλάπτω, βλάβη, βέβλαβα μέσος παρακείμενος. ὃς καὶ ἀπὸ τοῦ βλάβω γίνεται. εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἐκ τοῦ ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ μέσος παρακείμενος. οἷον, ἀπὸ τοῦ ῥέγκω, ῥόγκος, ὁ μέσος παρακείμενος, ἔῤῥογκα. Ὅτε δὲ ὁ ἐνεστὼς λήγων εἰς ζ ἢ εἰς δύο σσ εἰς ξ τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ γ ἔχει. οἷον, κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα. Ὅτε δὲ ὁ ἐνεστὼς εἰς ζω λήγων εἰς σ τὸν μέλλοντα ποιεῖ, τὸ δ ὁ μέσος παρακείμενος ἔχει. οἷον, φράζω, φράσω, πέφραδα. Ὅτε δὲ ὁ ἐνεστὼς καθαρῶς προφέρεται, καὶ ὁ μέσος παρακείμενος ὁμοίως. οἷον, ἀκούω, ἤκουα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ μέσος παρακείμενος τῷ πρώτῳ παρακειμένῳ. οἷον, τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. νένηκα, νένηθα. Ὅτε δὲ εὑρεθῇ ε ἐν δισυλλάβῳ μέλλοντι, εἰ μὴ μόνον, τρέπεται εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον, λέξω, λέλογα. τέξω, τέτοκα. γενῶ, γέγονα. σπερῶ, ἔσπορα. φθερῶ, ἔφθορα. Εἰ δὲ μετὰ τοῦ ι ἐν διφθόγγῳ εἴη, ὁμοίως τὸ ε τρέπεται εἰς ο, καὶ τὸ ι προσγράφεται. οἷον, πείθω, πείσω, πέπεικα, πέποιθα. εἴδω, εἴσω, εἶκα, οἶδα. εἴκω, εἴξω, οἶκα. καὶ ἀττικῶς, ἔοικα. Τὰ δὲ δισύλλαβα εἰς ἐν λ τηροῦσι τὸ ε καὶ ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον, μέλω, μελῶ, μέμελα, καὶ μέμηλα, τροπῇ τοῦ ε εἰς η. ὅθεν μεμηλώς. τελῶ, τέτελα. Ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος τὸ α ἀμετάβολον ἔχει. οἷον, κάμνω, κέκαμα. τέμνω, τέταμα. Ὅτε δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει, τρέπεται τὸ α εἰς η ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι ὑπογράφεται. οἷον, φαίνω, πέφηνα. χαίνω, κέχηνα. μαίνω, μέμηνα. δαίω, δέδηα. Ὅτε δὲ ὁ μέλλων περιττοσυλλαβεῖ τοῦ ἐνεστῶτος, τότε ὁ παρακείμενος τοῦ μέσου παρακειμένου.

οἷον, δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα. κτυπῶ, κτυπήσω, ἐκτύπηκα, ἔκτυπα. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα, ἤνωγα. ἔτι πολλάκις οἱ αὐτοί εἰσι πρῶτοι παρακείμενοι καὶ μέσοι. οἷον, γέγραφα. εἴληφα.

Περὶ ὑπερσυντελίκου.

ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου τροπῇ τοῦ α εἰς ειν, προστεθέντος τοῦ ε τῆς αὐξήσεως. οἷον, τέτυφα, ἐτετύφειν. τέτυπα, ἐτετύπειν. φυλάττει δὲ πάντα τὰ τοῦ παρακειμένου.

Περὶ ἀορίστου πρώτου.

ὁ πρῶτος ἀόριστος ἀπὸ τοῦ πρώτου μέλλοντος, τροπῇ τοῦ ω εἰς α. οἷον, τύψω, ἔτυψα. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν τῷ μέλλοντι. καὶ ἢ φύσει μακρὰ παραλήγει, οἷον, ἐποίησα, ἢ θέσει, οἷον, ἔπλεξα, ἢ φύσει καὶ θέσει, οἷον, ἤμειψα, ἢ θέσει παρὰ ποιηταῖς, οἷον, ἐτέλεσσα. ἔχει δὲ τελικὰ ἡμίφωνα ἑπτά. ψ, οἷον, ἔτυψα. ξ, οἷον, ἔλεξα. σ, οἷον, ἐποίησα. λ, οἷον, ἔστειλα. μ, οἷον, ἔνειμα. ν, οἷον, ἔκρινα. ρ, οἷον, ἔσπειρα. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέλλοντος. οἷον, λέξω, ἔλεξα. ποιήσω, ἐποίησα. σεσημείωται τὸ ἔδωκα, ἔθηκα, ἤνεγκα, ἧκα, εἶπα, ἔξω τοῦ κανόνος. τὸ δὲ εἶξον ἀντὶ εἶκον, Βοιωτῶν, τροπῇ τοῦ κ εἰς ξ. ὥσπερ τὸ εἴξασιν ἀντὶ ἐοίκασι. Σημείωσαι δὲ καὶ τοὺς τῆς πέμπτης συζυγίας ἀορίστους πρώτους φύσει μακρὰ παραλήγοντας. ὅτε ὁ μέλλων αὐτῶν περισπώμενος ἔχει ε, ὁ ἀόριστος προσλαμβάνει ι. οἷον, νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα. στελῶ, ἔστειλα. φθερῶ, ἔφθειρα. ὅτε δὲ τὸ α μόνον ἔχει ὁ μέλλων, τρέπει αὐτὸ εἰς η ὁ ἀόριστος. οἷον, ψαλῶ, ἔψηλα. ἀγαλῶ, ἤγηλα. ὅτε δὲ τὸ α ἀπὸ τῆς αι διφθόγγου τοῦ ἐνεστῶτος, ὁμοίως τρέπει αὐτὸ εἰς η, ἢ φυλάττει αὐτὸ μακρόν. οἷον, φαίνω, φανῶ, ἔφηνα. χαίνω, χανῶ, ἔχηνα. σημαίνω, σημανῶ, ἐσήμηνα, καὶ ἐσήμανα, καὶ ἐθέρμανα, καὶ ἐχλίανα τοῦ α μακροῦ ὄντος.

Περὶ δευτέρου ἀορίστου.

ὁ δεύτερος ἀόριστος εἰς ον λήγει. οἷον, ἔτυπον, φυλάττων τὸ σύμφωνον τοῦ μέσου παρακειμένου. ὅσα οὖν εἴρηται ἐπὶ αὐτοῦ, ταῦτα ἐπὶ τοῦ ἀορίστου δευτέρου ῥηθήσεται. ὅτε ὁ ἐνεστὼς διὰ ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος, καὶ δεύτερος ἀόριστος. οἷον, λείπω, λέλοιπα, ἔλιπον. ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται δι᾽ οὗ τὸ ῥηματικὸν ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος, καὶ δεύτερος ἀόριστος. οἷον, σκάπτω, σκαφή, ἔσκαφα, ἔσκαφον. βλάπτω, βλάβη, βέβλαβα, ἔβλαβον. ὅτε δὲ ὁ ἐνεστὼς εἰς ζω, ἢ εἰς σσω λήγων εἰς ξ τὸν μέλλοντα ποιεῖ, ὁ μέσος παρακείμενος καὶ δεύτερος ἀόριστος τὸ γ ἔχουσιν. οἷον,

κράζω, κράξω, κέκραγα, ἔκραγον. ὀρύσσω, ὀρύξω, ὤρυχα, ὤρυχον. ὅτι δὲ ὁ ἐνεστὼς εἰς ζω λήγων εἰς σω τὸν μέλλοντα ποιεῖ, τὸ δ ὁ μέσος παρακείμενος καὶ δεύτερος ἀόριστος ἔχουσιν. οἷον, φράζω, φράσω, πέφραδα, ἔφραδον. ὅτι δὲ ὁ μέσος παρακείμενος καθαρὸς προφέρεται, ὁμοίως καὶ ὁ ἀόριστος. οἷον, ἤκοα, ἤκοον. ἔτι ὅτι ὁ δεύτερος ἀόριστος ἀπὸ βαρυτόνου θέματος γινόμενος, ἰσοσυλλαβεῖ τῷ πρώτῳ. οἷον, ἔτυψα, ἔτυπον. ἤκουσα, ἤκουον. ἀπὸ δὲ περισπωμένου γινόμενος, ἐλαττοῦται. οἷον, δουπῶ, ἐδούπησα, ἔδουπον. μυκῶ, ἐμύκησα, ἔμυκον. χραισμῶ, ἐχραίσμησα, ἔχραισμον. ὀλισθῶ, ὠλίσθησα, ὤλισθον. κτυπῶ, ἐκτύπησα, ἔκτυπον. ἀνωγῶ, ἠνώγησα, ἤνωγον. ἔτι ὁ δεύτερος ἀόριστος δισύλλαβος καὶ ὑπερδισύλλαβος, εἴτε ἀπὸ βαρυτόνου, εἴτε περισπωμένου θέματος γίνεται, βραχυπαραληκτεῖ δίχρόνῳ παραλήγων. οἷον, ἔτυπον. ἔγραφον. ἔλιπον. καὶ εἰ μὲν ἐστὶν ἡ δίφθογγος ἐν τῷ ἐνεστῶτι, ἀποβάλλεται τὸ ε αὐτῆς ἐν τῷ δευτέρῳ. οἷον, φεύγω, ἔφυγον. τεύχω, ἔτυχον. ἐλεύθω, ἤλυθον. εἰ δὲ αυ, τὸ υ. οἷον, παύω, ἔπαον. ὁμοίως εἰ ἐστὶν ει, ἀποβάλλεται τὸ ε. οἷον, λείπω, ἔλιπον. πείθω, ἔπιθον. ὀφείλω, ὤφελον. ἔτι εἰ ἐστὶν αι, ἀποβάλλεται τὸ ι. οἷον, φαίνω, ἔφανον. καίω, ἔκαον. δαίω, ἔδαον. εἰ δὲ ἐστὶν η, τρέπεται εἰς α. οἷον, λήβω, ἔλαβον. πήθω, ἔπαθον. λήχω, ἔλαχον. φήγω, ἔφαγον. δήκω, ἔδακον. ὅτι δὲ ὁ μέσος παρακείμενος τὸ α ἀμετάβολον ἔχει ἀπὸ ἐνεστῶτος δύο ἀμετάβολα ἔχοντος γινόμενος, ὁμοίως καὶ ὁ δεύτερος ἀόριστος τὸ α ἔχει. οἷον, κάμνω, κέκαμα, ἔκαμον. δάμνω, δέδαμα, ἔδαμον. τάμνω, τέταμα, ἔταμον. ὅτι δὲ ἐν δισυλλάβοις ἐνεστῶσιν εὑρεθῇ τὸ ε, ἢ μόνον, ἢ μετὰ τοῦ ι, ἀμεταβόλου προηγουμένου ἢ ἐπιφερομένου, ὡς ἐπὶ τὸ πλεῖστον τρέπεται τὸ ε εἰς α ἐν τῷ δευτέρῳ ἀορίστῳ. οἷον, στέλλω, ἔσταλον. τέμνω, ἔταμον. δέρω, ἔδαρον. πέρθω, ἔπραθον, καὶ ἔπαρθον. δέρκω, ἔδρακον, καὶ ἔδαρκον. κλέπτω, ἔκλαπον. πλέκω, ἔπλακον. τρέπω, ἔτραπον. τρέφω, ἔτραφον. βρέχω, ἔβραχον. κείρω, ἔκαρον. φθείρω, ἔφθαρον. σπείρω, ἔσπαρον. τούτων οὕτως ἐχόντων, εὕρηνται ἀόριστοι δεύτεροι ἀπὸ περισπωμένων μακροπαραληκτοῦντες. οἷον, χραισμῶ, ἔχραισμον. ὀλισθῶ, ὤλισθον. βλαστῶ, ἔβλασον. ἀλαλκῶ, ἤλαλκον. ἀμαρτῶ, ἤμαρτον. δουπῶ, ἔδουπον. ἀνωγῶ, ἤνωγον. καὶ ἔτι ἀπὸ βαρυτόνων. οἷον, εἶπον. εἷλον. εἷλκον. εἶδον. ἧκον. εὗρον. ἦλθον. ἦγον. ἤνεγκον. ἔπληγον σωματικῶς, ἔπλαγον δὲ ψυχικῶς. ἔπεφνον.

Περὶ τοῦ πρώτου μέλλοντος.

ὁ μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεστῶτος, καὶ συνάρχεται αὐτῷ, οἷον, γράφω, γράψω, λέγω, λέξω, τὰς αὐτὰς συλλαβὰς ἔχων. τὰ δὲ εἰς ἐν λ λήγοντα βαρύτονα, περιτιθέντα μέλλοντα ποιοῦσιν. οἷον, μέλλω, μελλήσω. θέλω, θελήσω. ὀφείλω, ὀφειλήσω. ἔτι τὸ αὔξω, αὐξήσω ποιεῖ, καὶ ἕψω, ἑψήσω, καὶ ἀλέξω, ἀλεξήσω, ὅτι παρὰ τοῖς παλαιοῖς περισπώμενα ὄντα, οἱ ἀθηναῖοι βαρύτονα πεποιήκασι. φυλάττουσι μέντοι τὴν τῶν περισπωμένων κλίσιν. ἔτι πάντα τὰ περισπώμενα, οἷον, ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. τὰ εἰς μι δὲ τὸ ἐναντίον πάσχοντα, ἀποβάλλουσι τὴν κατ᾽ ἀρχὴν ἀναδίπλωσιν ἐν τῷ μέλλοντι. οἷον, ἵστημι, στήσω. δίδωμι, δώσω. φυλάττει δὲ ὁ μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου ἐνεστῶτος. οἷον, γράφω, γράψω. λείπω, λείψω. πλὴν τῶν τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων. ταύτης γὰρ οἱ μέλλοντες ἀποβάλλουσιν ἓν ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν αὐτῶν βραχεῖαν ποιήσωσιν. οἷον, ψάλλω, ψαλῶ. βάλλω, βαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ. καὶ πλὴν τῶν σεσημειωμένων. οἷον, πλέω, πλεύσω. ῥέω, ῥεύσω. χέω, χεύσω. πνέω, πνεύσω. οἱ γὰρ τούτων μέλλοντες προσλαμβάνουσιν υ ἀπὸ ἀρχαίων ἐνεστώτων γινόμενοι, πλεύω, ῥεύω, χεύω, πνεύω. ἔτι καὶ τὸ καίω καύσω, καὶ κλαίω κλαύσω, ἢ ἀπὸ τοῦ καύω καὶ κλαύω, ἢ ὅτι τῶν ἀθηναίων ἐκβαλλόντων τὸ ι τοῦ ἐνεστῶτος, κάω καὶ κλάω λεγόντων, πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι. ἔτι οἱ ἀθηναῖοι ἐπὶ τῶν εἰς ζω βαρυτόνων ὑπερδισυλλάβων, βραχὺ τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ περισπώμενον μέλλοντα ποιοῦσιν. οἷον, νομίζω, νομίσω κοινῶς, νομιῶ ἀττικῶς. κομίζω, κομίσω, κομιῶ. ἀγωνίζομαι, ἀγωνίσομαι, ἀγωνιοῦμαι. βαδίζομαι, βαδίσομαι, βαδιοῦμαι.

Περὶ τοῦ δευτέρου μέλλοντος.

ὁ δεύτερος μέλλων τυπῶ περισπώμενος, ἀπὸ τοῦ δευτέρου ἀορίστου. ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ ἀεὶ φυλάττει. συνάρχεται δὲ τῷ πρώτῳ μέλλοντι. καὶ περὶ μὲν τῶν ἐνεργητικῶν, ἱκανῶς. νῦν δὲ περὶ τῶν παθητικῶν λέγομεν.

Περὶ σχηματισμοῦ τῶν παθητικῶν.

ὁ ἐνεστὼς, τύπτομαι, ἀπὸ τοῦ τύπτω, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθέσει μαι.

Περὶ παρατατικοῦ.

ὁ παρατατικὸς, ἀπὸ τοῦ ἐνεργητικοῦ παρατατικοῦ, προσθέσει μην. οἷον, ἔτυπτον, ἐτυπτόμην. τίθεται δὲ τοῖς ἀρχομένοις ἀπὸ συμφώνων ε αὔξησις. οἱ ἀττικοὶ δὲ αὔξησιν ἐπ᾽ αὐξήσει ποιοῦντες, ἠβουλόμην, ἀντὶ ἐβουλόμην, καὶ ἠδυνάμην, ἀντὶ ἐδυνάμην, καὶ ἔτι ἤμελλον, ἀντὶ

ἔμελλον λέγουσι.

Περὶ παθητικοῦ παρακειμένου.

Ὁ παθητικὸς παρακείμενος, ἀπὸ τοῦ ἐνεργητικοῦ, γίνεται τροπῇ τοῦ φα εἰς μαι. οἷον, τέτυφα, τέτυμμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς πρὸ τοῦ α φ ἔχει, ὁ παθητικὸς λήγει ἀεὶ εἰς μμαι, πρὸ τοῦ μ λαμβάνει καὶ ἕτερον μ. οἷον, γέγραφα, γέγραμμαι. τέτυφα, τέτυμμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει χ, ὁ παθητικὸς προσλαμβάνει γ. οἷον, πέπλεχα, πέπλεγμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει κ, εἰ μὲν μακρᾷ παραλήγει, ἀπὸ περισπωμένου θέματος ὤν, ὁ παθητικὸς οὐδὲν προσλαμβάνει. οἷον, ποιῶ, πεποίηκα, πεποίημαι. βοῶ, βεβόηκα, βεβόημαι. εἰ δὲ βραχείᾳ παραλήγει ὁ παθητικὸς, προσλαμβάνει σ. οἷον, τελῶ, τετέλεκα, τετέλεσμαι. ἔτι ὅτε ὁ εἰς κα παρακείμενος ἀπὸ βαρυτόνου θέματος γίνεται τῆς τρίτης καὶ τετάρτης συζυγίας, ὁμοίως ὁ παθητικὸς προσλαμβάνει σ. οἷον, πείθω, πέπεικα, πέπεισμαι. λακίζω, λελάκικα, λελάκισμαι. οἱ δὲ τῆς πέμπτης συζυγίας ἀπὸ τῶν εἰς λω καὶ ρω γινόμενοι, πρὸ τοῦ μ φυλάττουσι τὸ α μετάβολον. οἷον, ψάλλω, ἔψαλμαι. σπείρω, ἔσπαρμαι. τὰ δὲ εἰς νω ὡς ἐπὶ τὸ πλεῖστον τρέπουσι τὸ ν εἰς γ ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ, ἐπειδὴ τὸ ν πρὸ τοῦ γ, ἢ κ, ἢ ξ, ἢ χ εἰς γ τρέπεται. οἷον, μιαίνω, μεμίαγκα. μολύνω, μεμόλυγκα. τοῦτο δὲ τὸ τραπὲν γ ἀπὸ τοῦ ν, τρέπεται κοινῶς εἰς μ ἐν τῷ παθητικῷ παρακειμένῳ. οἷον, μεμίαγκα, μεμίαμμαι. μεμόλυγκα, μεμόλυμμαι. οἱ δὲ ἀττικοὶ τὸ μ εἰς σ τρέποντες, μεμίασμαι καὶ μεμόλυσμαι λέγουσι. Τῶν δὲ τῆς ἕκτης συζυγίας παρακειμένων, οἱ μὲν, προσλαμβάνουσι σ, οἷον, σβέω, ἔσβεσμαι. ζέω, ἔζεσμαι. κελεύω, κεκέλευσμαι. κρούω, κέκρουσμαι. οἱ δὲ, οὔ. οἷον, βασιλεύω, βεβασίλευμαι. Ἀεὶ ὁ παθητικὸς παρακείμενος ἀπὸ τοῦ εἰς ω γινόμενος, τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ ἐνεργητικῷ. οἷον, τέτυφα, τέτυμμαι. πεφίληκα, πεφίλημαι. πέπεικα, πέπεισμαι. πλὴν τῶν ἀπὸ δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων. οὗτοι γὰρ ἀναλαμβάνουσι τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος, ἥτις τρέπεται εἰς ο μικρὸν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ ὡς εἴρηται ἔθει ἀττικῷ. οἷον, λέγω, λέλοχα, λέλεγμαι. κλέπτω, κέκλοφα, κέκλεμμαι, καὶ κέκλαμμαι εὕρηται. καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου. τούτων γὰρ οἱ παθητικοὶ παρακείμενοι τρέπουσι τὸ ε εἰς α. οἷον, στρέφω, ἔστρεφα, ἔστραμμαι. τρέφω, τέθραμμαι. τρέπω, τέτρεφα, τέτραμμαι. σεσημείωται τὸ βρέχω, βέβροχα, βέβρεγμαι. καὶ ἔτι δέδωκα, δέδομαι.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου, τροπῇ τοῦ μαι εἰς μην. προσλαμβάνει δὲ τὴν ε αὔξησιν ὥσπερ καὶ ὁ ἐνεργητικός, φυλάττων πάντα τὰ τοῦ παρακειμένου. οἷον, τέτυμμαι, ἐτετύμμην. γέγραμμαι, ἐγεγράμμην.

Περὶ παθητικοῦ πρώτου ἀορίστου.

Ὁ παθητικὸς πρῶτος ἀόριστος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, τροπῇ τοῦ μαι εἰς θην, λήγων ἀεὶ εἰς θην. καὶ εἰ μὲν ὁ παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος ἢ διφθόγγου καταχρηστικῆς, συνάρχεται αὐτῷ καὶ ὁ ἀόριστος. οἷον, ὥπλισμαι, ὡπλίσθην. ᾕρημαι, ᾑρέθην. εἰ δὲ ἄρχεται ὁ παρακείμενος ἀπὸ συμφώνου, ἀποβάλλει ὁ ἀόριστος τὸ σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ. οἷον, πεποίημαι, ἐποιήθην. τέτυμμαι, ἐτύφθην. καὶ τὸ εὑρεθὲν σύμφωνον πρὸ τοῦ μ, τοῦ παθητικοῦ παρακειμένου φυλάττει. οἷον, κέκαρμαι, ἐκάρθην. ἔσταλμαι, ἐστάλθην. πλὴν ἔξεσμαι, ἐξέσθην. πλὴν εἰ μὴ εἴη μ ἢ γ. ὅτε γὰρ εὑρεθῇ μ ἀπὸ τοῦ φ μεταβληθέν, τρέπει αὐτὸ εἰς τὸ φ. οἷον, τέτυφα, τέτυμμαι, ἐτύφθην. γέγραφα, γέγραμμαι, ἐγράφθην. ὅτε δὲ τὸ γ ἀπὸ τοῦ χ μεταβληθέν, τρέπει αὐτὸ εἰς τὸ χ. οἷον, λέλεχα, λέλεγμαι, ἐλέχθην. τὸ δὲ ἐμολύνθην καὶ ἐμιάνθην, ἔχει ν διὰ τὴν ἐπιφορὰν τοῦ θ. τὴν αὐτὴν δὲ παραλήγουσαν ἔχει ὁ ἀόριστος τῷ παθητικῷ παρακειμένῳ. οἷον, τέτυμμαι, ἐτύφθην. πεποίημαι, ἐποιήθην. πλὴν τοῦ εὕρημαι, εὑρέθην, ὅθεν καὶ εὑρετής, καὶ ἐπῄνημαι, ἐπῃνέθην, καὶ ῥῶ, ἔρρημαι, ἐρρέθην, καὶ τοῦ μέμνημαι, ἐμνήσθην προσλαμβάνοντος τὸ σ, καὶ σέσωσμαι, ἐσώθην, ἀποβάλλοντος αὐτό. τὸ δὲ ἐρρώσθην, οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλ' ἀπὸ τοῦ ῥώζω. καὶ πλὴν τοῦ χῶ, χήσω, ἔχηκα, ἔχημαι, ἐχύθην. καὶ τῶν ἀπὸ τοῦ αἱρῶ περισπωμένων, οἷον, καθῄρημαι, καθῃρέθην. ἀφῄρημαι, ἀφῃρέθην. καὶ πλὴν τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνων, καὶ τρεπόντων τὸ ε εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ. οἷον, ἔστραμμαι, ἐστρέφθην. τέτραμμαι, ἐτρέφθην. Σημείωσαι τὸ μέμνημαι, ἐμνήσθην, οὗ ἐναντίον τὸ σέσωσμαι, ἐσώθην.

Περὶ παθητικοῦ δευτέρου ἀορίστου.

Ὁ παθητικὸς δεύτερος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου ἀορίστου τροπῇ τοῦ ον εἰς ην. ὅθεν καὶ τὸ ἐκείνου φυλάττει σύμφωνον. οἷον, ἔτυπον, ἐτύπην.

Περὶ μέσου ἀορίστου πρώτου.

Ὁ μέσος πρῶτος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ πρώτου, προσθέσει

μην. οἷον, ἔτυψα, ἐτυψάμην. Περὶ μέσου ἀορίστου β.

Ἔτι ὁ μέσος ἀόριστος δεύτερος ἀπὸ τοῦ δευτέρου, προσθέσει μην. οἷον, ἔτυπον, ἐτυπόμην. ἔγραφον, ἐγραφόμην.

Περὶ μέσου μέλλοντος α.

Ὁ μέσος μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεργητικοῦ, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθέσει μαι. οἷον, τύψω, τύψομαι. γράψω, γράψομαι.

Περὶ μέσου μέλλοντος β.

Ὁ μέσος μέλλων δεύτερος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου μέλλοντος, τροπῇ τοῦ ω εἰς ου, καὶ προσθέσει τοῦ μαι. οἷον, τυπῶ, τυποῦμαι. ψαλῶ, ψαλοῦμαι. σπερῶ, σπεροῦμαι. Ἔτι ὁ μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου. οἷον, τέτυψαι, τετύψομαι. Καὶ ἀπὸ τοῦ ἐτύφθη ἀορίστου πρώτου, μέλλων πρῶτος τυφθήσομαι, σῃ, σεται. Καὶ ἀπὸ τοῦ ἐτύπη ἀορίστου δευτέρου, μέλλων δεύτερος τυπήσομαι, σῃ, σεται.

Περὶ τῶν βαρυτόνων συζυγιῶν.

Τούτων οὕτως ἐσχηματισμένων, ῥητέον ἂν εἴη καὶ περὶ τῶν βαρυτόνων συζυγιῶν, ἃς ἓξ οὔσας κατὰ τοὺς παλαιοὺς, εἴ τις τέσσαρας ποιήσει, οὐκ ἂν ἁμάρτοι. Τούτων ἡ πρώτη ἐστὶν ἡ πρὸ τοῦ ω, β, ἢ π, ἢ πτ, ἔχουσα. οἷον, λείβω. λείπω. γράφω. κόπτω. ὧν ὁ μέλλων πρὸ τοῦ ω, ψ ἔχει. οἷον, λείπω, λείψω. γράψω. κόψω. ὁ παρακείμενος, πρὸ τοῦ α, φ. οἷον, λέλειφα. γέγραφα. κέκοφα.

Δευτέρα.

Δευτέρα ἐστὶν ἡ πρὸ τοῦ ω, γ, ἢ κ, ἢ χ, ἢ κτ, ἢ ζ, ἢ δύο σσ ἔχουσα. οἷον, λέγω. πλέκω. ἔχω. τίκτω. παίζω. ὀρύσσω. ὧν ὁ μέλλων πρὸ τοῦ ω, ξ ἔχει. οἷον, λέξω. πλέξω. ἕξω. τέξω. παίξω. ὀρύξω. ὁ παρακείμενος πρὸ τοῦ α, τὸ χ ἔχει. οἷον, λέλεχα. πέπλεχα. εἶχα. τέτεχα. πέπαιχα. ὤρυχα. Δεῖ δὲ εἰδέναι ὅτι ὅσα τῶν εἰς ζω ῥημάτων ποιοῦσι τὸν μέλλοντα εἰς ξω, τῆς δευτέρας εἰσὶ συζυγίας. ὅσα δὲ εἰς σω, τῆς τρίτης. διακρίνονται μὲν δὲ αὐτὰ οὕτω. Τὰ εἰς ζω ὑπὲρ δισύλλαβα, εἰς σω τὸν μέλλοντα ποιοῦσιν. οἷον, δανείζω, δανείσω. συρίζω, συρίσω. βαδίζω, βαδίσω. κουφίζω, κουφίσω. ἐλπίζω, ἐλπίσω. λακτίζω, λακτίσω. ἑτοιμάζω, ἑτοιμάσω. δεσπόζω, δεσπόσω. ἁρμόζω, ἁρμόσω. ἁρπάζω, ἁρπάσω. χωρὶς τοῦ οἰμώζω, οἰμώξω. στηρίζω, στηρίξω. αἰάζω, αἰάξω. στενάζω, στενάξω. ὀλολύζω, ὀλολύξω. ἀλαπάζω, ἀλαπάξω. θρυλλίζω, θρυλλίξω. Τὰ δὲ δισύλλαβα, ποτὲ μὲν εἰς ξω τὸν μέλλοντα ποιοῦσιν. οἷον, παίζω, παίξω, καὶ

παίζω ἀττικῶς. κράζω, κράξω. σφάζω, σφάξω. ποτὲ δὲ, εἰς σω. οἷον, κτίζω, κτίσω. φράζω, φράσω. πείζω, πείσω. ἵζω, ἵσω. ἔτι τὰ εἰς δύο σσ, ἅπερ ἀττικῶς διὰ δύο ττ γράφονται, εἰς ξ τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, καὶ ὀρύττω, ὀρύξω. νύσσω, καὶ νύττω, νύξω. πλὴν τῶν σεσημειωμένων εἰς σ τὸν μέλλοντα ποιούντων. ἃ τῆς τρίτης ἔσωθεν συζυγίας. οἷον, πλάσσω, καὶ πλάττω, πλάσω. ὅθεν ἔπλασα ἀόριστος πρῶτος. ἐρέσσω, ἐρέσω. ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω. πάσσω, πάσω. λίσσω, λίσω. λεύσσω, λεύσω.

Τρίτη.

Τρίτη ἐστὶν ἡ πρὸ τοῦ ω, δ, ἢ θ, ἢ δύο ττ, ἢ ζ, ἢ δύο σσ, ἢ ω καθαρὸν ἔχουσα. οἷον, ᾄδω. πλήθω. ἀΰττω. φράζω. πλάσσω. ἀκούω. ὧν ὁ μέλλων πρὸ τοῦ ω τὸ σ ἔχει. οἷον, ᾄσω. πλήσω. ἀΰσω. φράσω. πλάσω. ἀκούσω. ὁ παρακείμενος πρὸ τοῦ α κ ἔχει. οἷον, ᾖκα. πέπληκα. ἤϋκα. πέφρακα. πέπλακα. ἤκουκα. καὶ τὰ περισπώμενα, καὶ ἔτι τὰ εἰς μι, εἰς κα τὸν παρακείμενον ποιοῦσι. Σημείωσαι δὲ ὅτι ἀπὸ τοῦ αὔω ἐγένετο αὔτω, ἔπειτα αὔττω ἀττικῶς. καὶ ἀπὸ τοῦ ἀρύω, ἀρύτω, καὶ ἀρύττω. ὅθεν καὶ εἰς σω τὰ τοιαῦτα τὸν μέλλοντα ποιοῦσι.

Τετάρτη.

Τετάρτη ἐστὶν ἡ πρὸ τοῦ ω τὰ τέσσαρα ἀμετάβολα λ, μ, ν, ρ, ἔχουσα. οἷον, ψάλλω. νέμω. κρίνω. σπείρω. ὧν ὁ μέλλων περισπώμενος πρὸ τοῦ ω αὐτὸ τὸ ἀμετάβολον φυλάττων, συστέλλει τὴν παραλήγουσαν, ἀμετάβολον, ἢ ι τῆς διφθόγγου ἐκβάλλων. οἷον, ψαλῶ. νεμῶ. κρινῶ. σπερῶ. ὁ παρακείμενος πρὸ τοῦ α τὸ κ ἔχει. καὶ πρὸ τοῦ κ, τὸ ἀμετάβολον. οἷον, ἔψαλκα. ἔσπαρκα. Σημείωσαι ὅτι τὸ νενέμηκα προσλαμβάνον η. νένεμκα γὰρ ὤφειλεν εἶναι. ἀλλὰ διὰ τὸ κακόφωνον, προσετέθη η. οὕτω καὶ τέμνω, τεμῶ, τετέμηκα. δέμω, δεμῶ, δεδέμηκα. βρέμω, βρεμῶ, βεβρέμηκα. ἔτι σεσημείωνται τὰ εἰς νω δισύλλαβα, μὴ φυλάττοντα τὸ ἀμετάβολον. οἷον, κρίνω, κρινῶ, κέκρικα. πλύνω, πλυνῶ, πέπλυκα. ἐν δὲ τῷ μιαίνω, μιανῶ, μεμίαγκα, καὶ μολύνω, μολυνῶ, μεμόλυγκα, τρέπεται τὸ ν εἰς γ, ἑπομένου κ.

Περὶ τῶν περισπωμένων.

Τούτων οὕτως εἰρημένων, καὶ περὶ τῶν περισπωμένων λέγωμεν. ὧν τριῶν οὐσῶν, ἡ πρώτη διὰ τοῦ εω προφερομένη, ἐν μὲν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ ε ἔχει. ὅτε μὲν ὁ ἐνεστὼς μακρὰν παραλήγει, τότε καὶ ὁ μέλλων τῷ η παραλήγει. οἷον, ποιῶ, ποιήσω. εὐρῶ, εὐρήσω. οἰκῶ, οἰκήσω. τηρῶ, τηρήσω. ἀθλῶ, ἀθλήσω. ἐξαιρεῖται τὸ ἀρκῶ, ἀρκέσω. νεικῶ, νεικέσω. αἰδῶ, αἰδέσω. αἰνῶ, αἰνέσω. ὅθεν καὶ ἐπαινῶ, ἐπαινέσω.

παρὰ δὲ τοῖς παλαιοῖς, αἰνήσω, καὶ ἐπαινήσω. ὅθεν καὶ ὅμηρος, μῦθον ἐπαινήσαντες ὀδυσσῆος θείοιο. ὅτε δὲ ὁ ἐνεστὼς βραχεῖα παραλήγει, τότε ὁ μέλλων ποτὲ μὲν, τὸ η ἔχει, οἷον, φιλῶ, φιλήσω. νοῶ, νοήσω. ποτὲ δὲ, τὸ ε, οἷον, τελῶ, τελέσω. καλῶ, καλέσω. ὀλῶ, ὀλέσω. ἔνιοι δὲ ἀμφότερον ἔχουσιν. οἷον, φορῶ, φορήσω, καὶ φορέσω. πονῶ, πονήσω, καὶ πονέσω. φρονῶ, φρονήσω, καὶ φρονέσω. τὴν δὲ παραλήγουσαν τοῦ μέλλοντος φυλάττει ὁ παρακείμενος, καὶ ὑπερσυντέλικος, καὶ ἀόριστος ἐν πάσῃ συζυγίᾳ περισπωμένῃ.

Δευτέρα.

Ἡ δευτέρα διὰ τοῦ αω προφερομένη, ποτὲ μὲν τὸ α, ποτὲ δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος ἔχει. οὕτω. τὰ εἰς ω καθαρὸν προηγουμένου ε, ἢ ι, διὰ τοῦ ασω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ἐῶ, ἐάσω. θεῶ, θεάσω. αἰτιῶ, αἰτιάσω. ἐρυθειῶ, ἐρυθειάσω. ἀλλοιῶ δὲ ἀλλοιήσω, ἰωνικόν. ἔτι τὰ παραληγόμενα τῷ ο. οἷον, ἀκροῶ, ἀκροάσω. ἐξαιρεῖται τὸ βοῶ, βοήσω. γοῶ, γοήσω. ἀλοῶ, ἀλοήσω, καὶ ἀλοάσω. ἔτι τὰ εἰς ρω ὑπερμονοσύλλαβα, μὴ προηγουμένου συμφώνου. οἷον, περῶ, περάσω. φυρῶ, φυράσω. γηρῶ, γηράσω. ξυρῶ δὲ, ξυρήσω. ἔτι τὰ εἰς λῶ ὑπερμονοσύλλαβα, ὧν ε παραληγόμενα. οἷον, γελῶ, γελάσω. ἐλῶ, ἐλάσω. ἔτι τὰ εἰς ρω καὶ λω μονοσύλλαβα, μὴ ποιοῦντα παράγωγα εἰς μι. οἷον, δρῶ, δράσω. κλῶ, κλάσω. φλῶ, φλάσω. θλῶ, θλάσω. τὰ δὲ παραληγόμενα τῷ υ, διὰ τοῦ ησω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ἐγγυῶ, ἐγγυήσω. λυῶ, λυήσω. δυῶ, δυήσω. ἔτι τὰ εἰς λῶ μόνα, ἢ μετὰ συμφώνου, κατὰ σύλληψιν, εἴτε κατὰ διάστασιν. οἷον, συλῶ, συλήσω. κραιπαλῶ, κραιπαλήσω. χολῶ, χολήσω. μελαγχολῶ, μελαγχολήσω. ἀχολῶ, ἀχολήσω. ὁμοκλῶ, ὁμοκλήσω. ποδαγρῶ, ποδαγρήσω. ἐξαιρεῖται τὸ χαλῶ, χαλάσω. ἱλῶ, ἱλάσω. ἔτι τὰ εἰς ρω καὶ λω, παράγωγα εἰς μι ποιοῦντα. οἷον, χρῶ, χρῆμι, χρήσω. πρῶ, πρῆμι, πρήσω. πλῶ, πίμπλημι, πλήσω. τλῶ, τλῆμι, τλήσω. ἔτι τὰ εἰς ἄλλο σύμφωνον λήγοντα. οἷον, σμῶ, σμήσω. κνῶ, κνήσω. ζῶ, ζήσω. νικῶ, νικήσω. κυβερνῶ, κυβερνήσω. τιμῶ, τιμήσω. ἡβῶ, ἡβήσω. ζυφῶ, ζυφήσω. ζυγῶ, ζυγήσω. διψῶ, διψήσω. σιγῶ, σιγήσω. σιωπῶ, σιωπήσω. σπῶ, σπήσω, τὸ ἀκολουθῶ. σπῶ δὲ σπάσω, τὸ ἀνασπῶ.

Τρίτη.

Τρίτη ἐστὶν ἡ διὰ τοῦ οω προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἢ ο μικρὸν ἔχει. ὅσα μὲν οὖν τῶν ῥημάτων ἔχουσι προεπικείμενον ῥηματικὸν, τῷ ω μεγάλῳ παραλήγουσιν ἐν τῷ μέλλοντι. οἷον, χρυσὸς, χρυσῶ, χρυσώσω. ἄργυρος, ἀργυρῶ,

ἀργυρώσω. γύψος, γυψῶ, γυψώσω. χεὶρ, χειρῶ, χειρώσω. πῦρ, πυρῶ, πυρώσω. στέφανος, στεφανῶ, στεφανώσω. ὀρθὸς, ὀρθῶ, ὀρθώσω. στρεβλὸς, στρεβλῶ, στρεβλώσω. κακὸς, κακῶ, κακώσω. ταπεινὸς, ταπεινῶ, ταπεινώσω. ὅσα δὲ οὐκ ἔχουσι, παραλήγουσι τῷ ο μικρῷ. οἷον, ὀμῶ, ὀμόσω. ἀρῶ, ἀρόσω. ὀνῶ, ὀνόσω. Τούτων οὕτως εἰρημένων, τέσσαρές εἰσι καὶ αἱ τῶν εἰς μι. ὧν ἡ πρώτη τὸ η ἔχει ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος, καὶ μέλλοντος, καὶ ἀορίστου. οἷον, τίθημι, θήσω, ἔθηκα. τὸ δὲ τέθεικα, καὶ ἐτεθείκειν, διὰ τῆς διφθόγγου γράφεται ἔθει βοιωτικῷ. καὶ ἡ δευτέρα δὲ, τὸ η ἔχει. οἷον, ἵστημι, στήσω, ἔστησα. ἕστηκα δὲ ὁ παρακείμενος, καὶ οὐχ ἔστηκα, εἰς διαφορὰν τοῦ ἔστηκα, ἀπὸ τοῦ στήκω γινομένου. καὶ ἔτι ὁ ὑπερσυντέλικος ἑστήκειν. Ἡ δὲ τρίτη, τὸ ω μέγα. οἷον, δίδωμι. δώσω. δέδωκα. ἐδεδώκειν. ἔδωκα. Ἡ δὲ τετάρτη, τὸ υ ψιλόν. οἷον, ζεύγνυμι. Σημείωσαι δὲ ἐν τούτοις δύο. ἓν μὲν, ὅτι ἐν τῷ μέλλοντι ἡ πρώτη συλλαβὴ τοῦ ἐνεστῶτος ἀφαιρεῖται. οἷον, τίθημι, θήσω. ἵστημι, στήσω. δίδωμι, δώσω. ἕτερον δὲ, ὅτι ἐν τοῖς παθητικοῖς συστέλλεται ἡ παραλήγουσα. οἷον, τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι. δίδωμι, δίδομαι. ζεύγνυμι, ζεύγνυμαι. Ἀλλὰ περὶ μὲν τούτων, ὡς οἷόν τε ἦν ἡμῖν συντόμως καὶ ὠφελίμως τοῖς εἰσαγωγικοῖς εἴρηται. ἐν δὲ τῷ περὶ ῥήματος τετάρτῳ βιβλίῳ, διεξοδικώτατα ῥηθήσεται.

Περὶ τῶν ῥημάτων τῶν μέχρι παρατατικοῦ κλινομένων.

Τὰ διὰ τοῦ ανω ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ κλίνονται. οἷον, λαμβάνω, ἐλάμβανον. μανθάνω, ἐμάνθανον. λανθάνω, ἐλάνθανον. Ἔτι τὰ διὰ τοῦ αθω, ἢ εθω, καὶ υθω. οἷον, ἀμυνάθω, ἠμύναθον. φλεγέθω, ἐφλέγεθον. μινύθω, ἐμίνυθον. Ἔτι τὰ εἰς βω, ἔχοντα πρὸ τοῦ β σύμφωνον, ἢ ε. οἷον, ῥέμβω, ἔρρεμβον. σέβω, ἔσεβον. Ἔτι τὰ εἰς σκω. οἷον, ἀρέσκω, ἤρεσκον. πιπράσκω, ἐπίπρασκον. χωρὶς τοῦ θνήσκω, θνήξω, καὶ ἀλύσκω, ἀλύξω. τὸ δὲ διδάξω, οὐκ ἀπὸ τοῦ διδάσκω, ἀλλ᾽ ἀπὸ τοῦ διδάχω. Ἔτι τὰ διὰ τοῦ εινω ὑπερδισύλλαβα. οἷον, ἐρεείνω, ἠρέεινον. φαείνω, ἐφάεινον. Ἔτι τὰ διὰ τοῦ ειω παράγωγα ἀπὸ ἐνεστῶτος, ἢ μέλλοντος. οἷον, ἀπὸ τοῦ κίχω, κιχείω, ἐκίχειον. τελῶ, τελείω, ἐτέλειον. ἀπὸ τοῦ βρώσω, βρωσείω, ἐβρώσειον. πολεμήσω, πολεμησείω. ὀλῶ, ὀλείω. Ἔτι τὰ διὰ τοῦ νω ὑπερδισύλλαβα βαρύτονα εἰς μι παράγωγα, καὶ ἔτι τὰ ἀπ᾽ αὐτῶν παραγόμενα. οἷον, πηγνύω, πήγνυμι. ὀμνύω, ὄμνυμι. ὀλύω, ὄλυμι. Ἔτι πάντα τὰ τῆς πέμπτης συζυγίας κατὰ παλαιοὺς τὴν πρώτην συλλαβὴν διπλασιαζομένην ἔχοντα. οἷον, μαρμαίρω, ἐμαρ

μόρμυρον. μορμύρω, ἐμόρμυρον. Ἔτι τὰ πρὸ τοῦ ω δύο σύμφωνα ἔχοντα κατ' ἐπιπλοκὴν, ὧν τὸ δεύτερον ἀμετάβολον εἴη. οἷον, μέμβλω. ὄφλω. ἔγρω. δάκνω. Ἔτι τὰ εἰς ω καθαρὸν τῇ υ διφθόγγῳ παραληγόμενα. οἷον, ὀπύω. ἀγύω. Ἔτι τὰ εἰς δω πρὸ τοῦ δ, ν ἔχοντα. οἷον, κυλίνδω. σπένδω.

ΠΕΡΙ ἈΝΤΩΝΥΜΙΩ͂Ν.

pronome

Ἀντωνυμία ἐστὶ μέρος λόγου κλιτὸν, ἀντὶ ὀνόματος παραλαμβανόμενον. Ταύτης δὲ ἡ μὲν, πρωτότυπος. ἡ δὲ, κτητική. ἡ δὲ, δεικτική. ἡ δὲ, ἀναφορική. ἡ δὲ, σύνθετος. Παρέπονται δὲ αὐτῇ τέσσαρα. γένος. ἀριθμός. πτῶσις. πρόσωπον.

Περὶ πρωτοτύπων τοῦ πρώτου προσώπου.

Ἐγώ. ἐμοῦ. ἐμοί. ἐμέ. Νῶι. νῷν. Ἡμεῖς. ἡμῶν. ἡμῖν. ἡμᾶς. Τοῦ δευτέρου προσώπου. Σύ. σοῦ. σοί. σέ. Σφῶι. σφῷν. Ὑμεῖς. ὑμῶν. ὑμῖν. ὑμᾶς. Τοῦ τρίτου προσώπου. Ὅς. οὗ. οἷ. ἕ. Σφέ. σφῖν. Σφεῖς. σφῶν. σφίσι. σφᾶς.

Περὶ κτητικῶν.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι, ὀκτώ. Ἐμός. σός. ἑός. νωΐτερος. σφωΐτερος. ἡμέτερος. ὑμέτερος. σφέτερος. αἳ τριγενῶς κλίνονται. Ἐμὸς, ἐμὴ, ἐμόν. Σὸς, σὴ, σόν. καὶ αἱ μὲν ἀρσενικαὶ καὶ οὐδέτεραι, κατὰ τὴν τετάρτην κλίνονται κλίσιν. αἱ δὲ θηλυκαὶ, κατὰ τὴν δευτέραν.

Περὶ δεικτικῶν.

Δεικτικαὶ δὲ δύο, οὗτος, ἐκεῖνος, τριγενῶς καὶ αὗται κλινόμεναι. οὕτως. Οὗτος. τούτου. τούτῳ. τοῦτον. ὦ οὗτος. Τούτω. τούτοιν. ὦ τούτω. Οὗτοι. τούτων. τούτοις. τούτους. ὦ οὗτοι. Αὕτη. ταύτης. ταύτῃ. ταύτην. ὦ αὕτη. Ταύτα. ταύταιν. ὦ ταύτα. Αὗται. τούτων. ταύταις. ταύτας. ὦ αὗται. Τοῦτο. τούτου. τούτῳ. τοῦτο. ὦ τοῦτο. Τούτω. τούτοιν. ὦ τούτω. ταῦτα. τούτων. τούτοις. ταῦτα. ὦ ταῦτα. Ἐκεῖνος, ἐκείνου. Ἐκείνη, ἐκείνης. Ἐκεῖνο, ἐκείνου.

Περὶ ἀναφορικῆς.

Ἀναφορικὴ δὲ μία τριγενῶς λεγομένη, ὧδε. Αὐτός. αὐτοῦ. αὐτῷ. αὐτόν. Αὐτώ. αὐτοῖν. αὐτοί. αὐτῶν. αὐτοῖς. αὐτούς. Αὐτή. αὐτῆς. αὐτῇ. αὐτήν. Αὐτά. αὐταῖν. Αὐταί. αὐτῶν. αὐταῖς. αὐτάς. Αὐτό. αὐτοῦ. αὐτῷ. αὐτό. Αὐτώ. αὐτοῖν. Αὐτά. αὐτῶν. αὐτοῖς. αὐτά. Ἴδιον γὰρ ταύτης ἡ τριπρόσωπος σημασία. αὐτὸς γὰρ, ἀντὶ ἐγὼ, σὺ, ἐκεῖνος.

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς, ὀνομαστικὰς οὐκ ἔχουσαι.

Τοῦ πρώτου προσώπου.

Ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτόν. Ἐμαυτῆς. ἐμαυτῇ. ἐμαυτήν. Ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτό. Τοῦ δευτέρου προσώπου.

Σαυτοῦ. σαυτῷ. σαυτόν. Σαυτῆς, σαυτῇ. σαυτήν. Σαυτοῦ. σαυτῷ. σαυτό. Καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου, μέχρι τούτου μόνον κλίνονται. αἱ δὲ τοῦ τρίτου, καὶ πληθυντικῶς, συνθέτως τε ἅμα, καὶ διῃρημένως ὧδε. Τοῦ τρίτου.

Ἑαυτοῦ. ἑαυτῷ. ἑαυτόν. Ἑαυτῆς. ἑαυτῇ. ἑαυτήν. Ἑαυτοῦ, ἑαυτῷ. ἑαυτό. Ἑαυτῶν, καὶ σφῶν αὐτῶν. ἑαυτοῖς, καὶ σφίσιν αὐτοῖς. ἑαυτοὺς, καὶ σφᾶς αὐτούς.

Περὶ προθέσεων.

Πρόθεσίς ἐστι μέρος λόγου ἄκλιτον, προτιθέμενον πάντων τῶν τοῦ λόγου μερῶν, καὶ ἐν τῇ συνθέσει, καὶ συντάξει. Τῶν δὴ προθέσεων ὀκτὼ καὶ δέκα οὐσῶν, ἓξ εἰσὶ μονοσύλλαβοι. ἐν. εἰς. ἐξ. σὺν. πρὸς. πρὸ. δυοκαίδεκα δὲ δισύλλαβοι. ἀνὰ. κατὰ. διὰ. μετὰ. παρὰ. ἀντὶ. ἐπὶ. περὶ. ἀμφὶ. ἀπὸ. ὑπὸ. ὑπὲρ. Ἀλλὰ περὶ μὲν τῆς τούτων συντάξεως, ἐν τῷ τέλει τῆς ἐπιτομῆς ἐροῦμεν.

Περὶ ἐπιρρήματος.

Ἐπίρρημά ἐστι μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον. Τούτου δὲ τὰ μὲν, καλοῦνται χρόνου. οἷον, νῦν. τότε. αὖθις. τόφρα. τέως. ἕως. ἡνίκα. ἔπειτα. μετέπειτα. σήμερον. αὔριον. χθὲς, ὃ καὶ ἐχθὲς λέγεται. ἤδη. πάλαι. ἀεί. Τὰ δὲ, τόπου. οἷον, ἄνω. κάτω. ἔξω. ἔσω. ἔνδον. ἐγγύς. πόρρω. ἐναντίον. χαμαί. ἔνθα. ὅθεν. ἐπέκεινα. μακράν. Τὰ δὲ, ποιότητος. οἷον, εὖ. καλῶς. ἡδέως. σοφῶς. κακηδόν. βοτρυδόν. ἀγεληδόν. Τούτων δὲ ὅσα γίνονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, καὶ μεσότητος προσαγορεύονται. οἷον, σοφῶς, ἀπὸ τῶν σοφῶν. καλῶς, ἀπὸ τῶν καλῶν. Τὰ δὲ, ποσότητος. οἷον, ἅπαξ. δίς. τρίς. τετράκις. Τὰ δὲ, ἀθροίσεως. οἷον, ἅμα. ὁμοῦ. συλλήβδην. ἀθρόως. Τὰ δὲ, παρακελεύσεως. οἷον, εἶα. ἄγε. φέρε. δεῦτε. Τὰ δὲ, διαιρέσεως. οἷον, ἄνευ. χωρίς. δίχα. Τὰ δὲ, ἐξαιρέσεως. οἷον, πλήν. Τὰ δὲ, τάξεως. οἷον, ἑξῆς. ἐφεξῆς. Τὰ δὲ, ὁμοιώσεως. οἷον, ὡς. ὥσπερ. καθά. καθάπερ. Τὰ δὲ, ἀποστάσεως. οἷον, ὥστε. Τὰ δὲ, συγκρίσεως. οἷον, μᾶλλον. ἧττον. Τὰ δὲ, ἐξηγηματικά. οἷον, δηλονότι. δηλαδή. ἤγουν. οἷον. Τὰ δὲ, ποσότητος ἀορίστου, καὶ ποιότητος. οἷον, ἀμηγέπως. ὁπωσοῦν. ἀμηγέπη. ὁπωσδήποτε. ὁπωσδηποτοῦν. Τὰ δὲ, ὑφαιρέσεως. οἷον, σπανίως. ἐλάχιστα. μόγις. Τὰ δὲ, ἐκλογῆς. οἷον, ἡράκλεις. ἄπολλον. Τὰ δὲ, ἐθνικά. οἷον, ἑλληνιστί. ῥωμαϊστί. ἑβραϊστί. συριστί. φρυγιστί. ἀρμενιστί. Τὰ δὲ, βιασμοῦ. οἷον, μόλις. μόγις. Τὰ δὲ, διστάσεως. οἷον, σχεδόν. Τὰ δὲ, ὀργανικά. οἷον, ὀδάξ. λάξ. Τὰ δὲ, ἀποθετικά, καὶ προκαταστατικά.

στατικά. οἷον, εἶεν. τὰ δὲ, ἐπιτάσεως. οἷον, λίαν. ἄγαν. πάνυ. μάλιστα. σφόδρα. τὰ δὲ, ἀνέσεως. οἷον, ἠρέμα. ἡσυχῆ. τὰ δὲ, βεβαιώσεως. οἷον, δηλαδή. δήπουθεν. πάντως. ὄντως. ἦ. τὰ δὲ, καταφάσεως. οἷον, ναί. τὰ δὲ, κατομόσεως. οἷον, νή. μά. τὰ δὲ, ἀπομόσεως. οἷον, μά. τὰ δὲ, ἀρνήσεως. οἷον, οὔ. οὐδαμῶς. ἥκιστα. τὰ δὲ, ἀπαγορεύσεως. οἷον, μή. μηδαμῶς. τὰ δὲ, εἰκασμοῦ. οἷον, ἴσως. τάχα. τυχόν. τὰ δὲ, ἐρωτήσεως. οἷον, πόθεν. ποῦ. πηνίκα. πῶς. τὰ δὲ, δείξεως. οἷον, ἰδού. ἠνί. τὰ δὲ, κλήσεως. οἷον, ὦ. τὰ δὲ, διασαφήσεως. οἷον, οἷον. τὰ δὲ, θέσεως. οἷον, ἀναγνωστέον. πλευστέον. γραπτέον. ἰστέον. τὰ δὲ, σχετλιασμοῦ. οἷον, ὤ. ἰού. οἴμοι. φεῦ. τὰ δὲ, θαυμασμοῦ. οἷον, φεῦ. βαβαί. τὰ δὲ, ἐκπλήξεως. οἷον, ἆ. τὰ δὲ, θειασμοῦ. οἷον, εὐοῖ. εὐαί. Παρέπεται δὲ αὐτῷ, εἶδος, καὶ σχῆμα. τὸ μὲν γὰρ, πρωτότυπον. οἷον, νῦν. τὸ δὲ, παράγωγον, οἷον, νυνί. καὶ τὸ μὲν, ἁπλοῦν, οἷον, πάλαι. τὸ δὲ, σύνθετον, οἷον, πρόπαλαι.

Περὶ συνδέσμων.

Σύνδεσμός ἐστι μέρος λόγου ἄκλιτον συνδέον τὰ ἄλλα μέρη τοῦ λόγου εἰς διάνοιαν μετὰ τάξεως. Τούτου δὲ οἱ μὲν, συμπλεκτικοί. οἷον, μὲν. δὲ. τὲ. καί. ἀλλά. ἀτάρ. οἱ δὲ, διαζευκτικοί. οἷον, ἤ. ἤτοι. οἱ δὲ, συναπτικοί. οἷον, εἰ. εἴπερ. εἰδή. εἰδήπερ. οἱ δὲ, παρασυναπτικοί. οἷον, ἐπεί. ἐπείπερ. ἐπειδή. ἐπειδήπερ. οἱ δὲ, αἰτιολογικοί. οἷον, ἵνα. ὄφρα. ὅπως. ἕνεκα. οὕνεκα. γάρ. ὅτι. διότι. οἱ δὲ, ἀπορηματικοί. οἷον, ἆρα. εἶτα. μῶν. μή. οἱ δὲ, συλλογιστικοί. οἷον, ἄρα. ἀλλά. ἀλλαμήν. οὖν. τοίνυν. τοιγάρτοι. τοιγαροῦν. οἱ δὲ, παραπληρωματικοί. οἷον, δή. ποῦ. τοί. δῆτα. πέρ. πώ. μήν. αὖ. οὖν. γέ. οἱ δὲ, δυνητικοί. οἷον, ἄν. οἱ δὲ, διακριτικοί, εἴτ' οὖν ἐπιλεκτικοί. οἷον, γοῦν. γέ. οἱ δὲ, ἐναντιωματικοί. οἷον, ὅμως. καίτοι. καίπερ. ἔμπης. Παρέπεται δὲ αὐτῷ, σχῆμα. ὁ μὲν γὰρ, ἁπλοῦς. οἷον, ἐπεί. ὁ δὲ, σύνθετος. οἷον, ἐπειδή. Τούτων οὕτως ἐγνωσμένων, ἑπόμενον ἂν εἴη καὶ περὶ ἄλλων τινῶν ἀναγκαίων εἰπεῖν. καὶ πρῶτον περὶ τῶν εἰδῶν τῶν παραγώγων.

Περὶ τῶν εἰδῶν τῶν παραγώγων.

Εἴδη τῶν παραγώγων ἑπτά. πατρωνυμικόν. κτητικόν. συγκριτικόν. ὑπερθετικόν. ὑποκοριστικόν. παρώνυμον, καὶ ῥηματικόν.

Περὶ πατρωνυμικοῦ.

Πατρωνυμικὸν ὄνομα κυρίως ἐστὶ τὸ ἀπὸ πατρὸς σχηματισμένον, υἱὸν πατρὸς σημαίνει. οἷον, ἀπὸ τοῦ πηλεύς, πηλέως, πηλείδης, ὁ ἀχιλλεύς. καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου λέγεται. οἷον, αἰα-

κός, αἰακοῦ, αἰακίδης, ὁ αὐτός. τούτων δὲ τὰ μὲν, ἀρσενικά. τὰ δὲ, θηλυκά. καὶ τῶν μὲν ἀρσενικῶν, τρεῖς καταλήξεις εἰσί. δης κοινή. οἷον, πηλείδης. ων ἰωνική. οἷον, πηλείων. αδιος. οἷον, ὑῤῥάδιος. ὅτε δὲ ἡ γενικὴ τοῦ ὀνόματος λήγει εἰς ως, ἢ εἰς ους, ἢ εἰς ος, τότε εἰς ιδης κοινῶς σχηματίζεται τὸ πατρωνυμικόν. πηλεύς, πηλέως, πηλεΐδης. καὶ κατὰ συναίρεσιν, πηλείδης. δημοσθένης, δημοσθένους, δημοσθενίδης. ἀγαμέμνων, ἀγαμέμνονος, ἀγαμεμνονίδης. ἔτι εἰ ἡ γενικὴ λήγει εἰς ου τῆς τετάρτης κλίσεως οὖσα, μὴ παραληγομένη τῷ ι, εἰς ιδης σχηματίζεται τὸ πατρωνυμικόν. οἷον, πρίαμος, πριάμου, πριαμίδης. τάνταλος, ταντάλου, τανταλίδης. εἰ δὲ αὕτη παραλήγει τῷ ι, εἰς αδης σχηματίζεται τὸ πατρωνυμικόν. οἷον, ἥλιος, ἡλίου, ἡλιάδης. ἔτι τὰ τῆς πρώτης κλίσεως εἰς αδης σχηματίζουσιν. οἷον, αἰνείας, αἰνείου, αἰνειάδης. ἱππότης, ἱππότου, ἱπποτάδης. πᾶν δὲ πατρωνυμικὸν παραλήγει ἢ ι, οἷον, κρονίδης, ἢ ει διφθόγγῳ, οἷον, πηλείδης κατὰ συναίρεσιν, ἢ α, οἷον, αἰνειάδης, ἢ οι διφθόγγῳ κατὰ συναίρεσιν, οἷον πανθοΐδης, πανθοίδης. τῶν δὲ θηλυκῶν τρεῖς καταλήξεις εἰσίν. ας. ις. νη. καὶ αἱ μὲν, εἰς ας καὶ ις, ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζονται, ἀποβολῇ τοῦ δη. οἷον, ἡλιάς, ἀπὸ ἡλιάδης. πριαμίς, ἀπὸ πριαμίδης. ἡ δὲ εἰς νη αἰολικὴ οὖσα, ἀπὸ τῆς γενικῆς σχηματίζεται. οἷον, ἀδραστήνη, ἀπὸ τοῦ ἀδράστου. ἀκρισιώνη, ἀπὸ τοῦ ἀκρισίωνος.

Περὶ κτητικοῦ.

Κτητικὸν ὄνομά ἐστι τὸ κτῆσίν τινος πράγματος δηλοῦν. καταλήξεις δὲ αὐτοῦ δύο. κος, οἷον, μουσικός. οὗ παραλήξεις τρεῖς. ι, οἷον, μουσικός. α, οἷον, κυπριακός. υ, οἷον, θηλυκός. καὶ ος. οὗ παραλήξεις ἕξ. ι, οἷον, λόγιος. ε, οἷον, ἐκτόρεος. ει, οἷον, ἡράκλειος. αι, οἷον, ῥωμαῖος. οι, οἷον, ἀλλοῖος. ῳ, οἷον, πατρῷος.

Περὶ συγκριτικοῦ.

Συγκριτικὸν ὄνομά ἐστι δι᾽ οὗ σύγκρισις γίνεται πρὸς ὁμοφυεῖς, καὶ ἑτεροφυεῖς. καταλήξεις δὲ αὐτοῦ δύο. ων ἀνώμαλος, οἷον, μείζων. βελτίων. καὶ τερος κοινός. οἷον, πλουσιώτερος. φρονιμώτερος. σχηματίζεται δὲ ἀπὸ τῶν τριγενῶν ὀνομάτων, ὅσα τι τοῦ μᾶλλον ἐπίτασιν ἀναδέχονται. ἀπὸ δὲ τῶν ληγόντων εἰς ος, ἐκβολῇ τοῦ σ καὶ προσθέσει τοῦ τερος σχηματίζονται. οἷον, πρᾶος, πραότερος. παλαιός, παλαιότερος. ὠφέλιμος, ὠφελιμώτερος. φρόνιμος, φρονιμώτερος. ἔτι ἀπὸ τῶν οὐδετέρων τῶν εἰς ης διγενῶν. οἷον, ἀληθές, ἀληθέστερος. ἀκριβές, ἀκριβέστερος. εὐτυχές, εὐτυχέστερος. ἔτι ἀπὸ τῶν εἰς ων καὶ εἰς εις, καὶ εἰς ους. οἷον, σώφρων, σώφρονος, σωφρονέστερος. χαρίεις, χαρίεντος, χαριέστερος. εὔνους, εὐνούστερος. καὶ ἀπὸ μετοχῆς. οἷον, ἐῤῥωμενέστερος. ἔτι ἀπὸ τῶν εἰς υς μὴ φυλαττομένου τοῦ σ. οἷον, ἡδύς,

ἡδύτερος. ὀξὺς, ὀξύτερος. βαρὺς, βαρύτερος. καὶ τὰ ἀπὸ ῥημάτων γινόμενα. οἷον, φέρτερος, καὶ βέλτερος. καὶ τὰ ἀπὸ προθέσεων καὶ ἐπιρρημάτων, οἷον, ὑπέρτερος. ἐσώτερος. συντάσσονται δὲ γενικῇ. οἷον, ὁ Ἀχιλλεὺς ἦν ἀνδρειότερος τοῦ Αἴαντος. καὶ ὁ αὐτὸς ἦν ἰσχυρότερος τῶν Τρώων. καὶ τῇ δοτικῇ ὑπερβολὴν σημαίνουσιν. οἷον, ὁ Κροῖσος ἦν πλουσιώτερος Κύρου ἑκατὸν ταλάντοις.

Περὶ ὑπερθετικοῦ.

Ὑπερθετικὸν ὄνομά ἐστι δι' οὗ ὑπέρθεσις γίνεται. καταλήξεις δὲ αὐτοῦ δύο, τατος τοῦ εἰς τερος συγκριτικοῦ, ἀπὸ τοῦ αὐτοῦ σχηματιζομένη. οἷον, πρᾶος, πραότερος, πραότατος. φρόνιμος, φρονιμώτερος, φρονιμώτατος. ἀκριβὲς, ἀκριβέστερος, ἀκριβέστατος. χαριέστατος. εὐνούστατος. ὑπέρτατος. ὀξύτατος. καὶ εἰς ιστος τοῦ εἰς ων συγκριτικοῦ ἀνώμαλος. οἷον, καλὸς, καλλίων, κάλλιστος. κακὸς, κακίων, ἢ χείρων, κάκιστος. μέγας, μείζων, μέγιστος. ἀγαθὸς, βελτίων, κρείττων, ἀμείνων. βέλτιστος, ἄριστος, κράτιστος. πολὺς, πλείων, πλεῖστος. ἡδὺς, ἡδίων, ἥδιστος. ταχὺς, ταχίων, τάχιστος. μικρὸς, μείων, καὶ ἥττων, ἐλάττων, ἐλάχιστος. ἐχθρὸς, ἐχθίων, ἔχθιστος. αἰσχρὸς, αἰσχίων, αἴσχιστος. ῥᾴδιος, ῥᾴων, ῥᾷστος. φίλος, φίλτερος, φίλτατος. Συντάσσονται δὲ τὰ ὑπερθετικὰ γενικῇ. οἷον, ὁ Ὅμηρος ἐγένετο σοφώτατος πάντων τῶν ποιητῶν. ἔτι τὰ διὰ τοῦ οτερος, καὶ οτατος, εἰ μὲν ἔχωσι τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφονται. οἷον, φρόνιμος, φρονιμώτερος, φρονιμώτατος. εἰ δὲ μακρὰν φύσει ἢ θέσει, διὰ τοῦ ο μικροῦ. οἷον, πρᾶος, πραότερος, πραότατος. ἔνδοξος, ἐνδοξότερος, ἐνδοξότατος.

Περὶ ὑποκοριστικοῦ.

Ὑποκοριστικὸν ὄνομά ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου δηλοῦν. τούτου δὲ τὰ μὲν, ἀρσενικά. τὰ δὲ, θηλυκά. τὰ δὲ, οὐδέτερα, ἀπὸ κυρίων καὶ προσηγορικῶν παραγόμενα. καὶ τῶν μὲν ἀρσενικῶν, καταλήξεις εἰσὶ πέντε. ας, οἷον, μηνᾶς. ων, οἷον, μορίων. αξ, οἷον, λίθαξ. σκος, οἷον, ἀνθρωπίσκος. λος, οἷον, ναυτίλος. τῶν δὲ θηλυκῶν δύο. ις, οἷον, θεραπαινίς. καὶ σκη, οἷον, παιδίσκη. τῶν δὲ οὐδετέρων καταλήξεις ὀκτὼ εἰς ον ληγόντων. νι, οἷον, ὀψώνιον. κι, οἷον, μειράκιον. δρι, οἷον, λαγύδριον. λλι, οἷον, μειρακύλλιον. φι, οἷον, ζωύφιον. χνι, οἷον, πολίχνιον. πι, οἷον, ἀνθρώπιον. δι, οἷον, κρεάδιον.

Περὶ παρωνύμου.

Παρώνυμον ὄνομά ἐστι τὸ ἀπὸ ὀνόματος παραγόμενον. οἷον, Θέων, ἀπὸ τοῦ θεός. Τρύφων, ἀπὸ τῆς τρυφῆς. Πλάτων, ἀπὸ τοῦ πλατύς.

Περὶ ῥηματικοῦ.

Ῥηματικὸν ὁμοίως τὸ ἀπὸ τοῦ ῥήματος παραγόμενον. οἷον, νοήμων, ἀπὸ τοῦ νενόημαι. καὶ φιλήμων, ἀπὸ τοῦ πεφίλημαι.

Περὶ τῶν ὑποπεπτωκότων εἰδῶν τῷ ὀνόματι.

Ἔτι τῶν ὀνομάτων τὰ μὲν, κύρια καλοῦνται. οἷον, Σωκράτης. Πλάτων. τὰ δὲ, προσηγορικά. οἷον, ὁ καὶ ἡ ἄνθρωπος. ὁ καὶ ἡ παρθένος. τὰ δὲ, ἐπίθετα. οἷον, ἀνδρεῖος, ἀνδρεία, ἀνδρεῖον. σοφὸς, σοφὴ, σοφόν. τὰ δὲ, πρός τι. οἷον, πατήρ. υἱός. δοῦλος. δεσπότης. τὰ δὲ, ὡς πρός τι. οἷον, νύξ. ἡμέρα. θάνατος. ζωή. τὰ δὲ, ἐθνικά. οἷον, φρύξ. πέρσης. τὰ δὲ, ἐρωτηματικά. οἷον, τίς. ποῖος. πόσος. πηλίκος. τὰ δὲ, ἀόριστα. οἷον, ὅστις. ὁποῖος. ὁπόσος. τὰ δὲ, περιληπτικά. οἷον, δῆμος. χορός. ὄχλος. τὰ δὲ, ἐπιμεριζόμενα. οἷον, ἕτερος. ἑκάτερος. ἕκαστος. ἄλλος. Μερίζονται δὲ ταῦτα τετραχῶς. εἷς ἐκ δύο, ὡς ἕτερος. δύο καθ' ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν, ὡς ἄλλος. καὶ πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος. τὰ δὲ, περιεκτικά. οἷον, δαφνών. κοιτών. ἐλαιών. τὰ δὲ, ὡς περιεκτικά. οἷον, ἀπατεών. κυκεών. τὰ δὲ, πεποιημένα. οἷον, φλοῖσβος. ῥοῖζος. τὰ δὲ, γενικά. οἷον, ζῶον. φυτόν. τὰ δὲ, εἰδικά. οἷον, βοῦς. ἵππος. κύων. τὰ δὲ, τακτικά. οἷον, πρῶτος. δεύτερος. τὰ δὲ, ἀριθμητικά. οἷον, εἷς. δύο. τρεῖς. τὰ δὲ, ἀπολελυμένα. οἷον, θεός. λόγος. ἄγγελος. τὰ δὲ, μετουσιαστικά. οἷον, πύρινος. λίθινος. δρύϊνος. τὰ δὲ, ὁμώνυμα. οἷον, αἴας ὁ τοῦ τελαμῶνος, καὶ αἴας ὁ τοῦ οἰλέως. τὰ δὲ, συνώνυμα, εἴτε πολυώνυμα. οἷον, ἄορ. ξίφος. σπάθη. μάχαιρα. φάσγανον. τὰ δὲ, φερώνυμα. οἷον, μεγαπένθης. τὰ δὲ, διώνυμα. οἷον, ἀλέξανδρος, ὁ καὶ πάρις. σκάμανδρος, ὁ καὶ ξάνθος. τὰ δὲ, ἐπώνυμα. οἷον, ἐνοσίχθων ὁ ποσειδῶν, καὶ φοῖβος ἀπόλλων.

Περὶ προσῳδιῶν.

Προσῳδία ἐστὶ τάσις ἐγγραμμάτου φωνῆς, ἢ τόνος περὶ ὃν ᾄδομεν. Εἰσὶ δὲ προσῳδίαι δέκα, ὡς εἴρηται, αἳ διαιροῦνται εἰς τέσσαρα. εἰς τόνους. εἰς χρόνους. εἰς πνεύματα. καὶ εἰς πάθη. Τόνοι εἰσὶ τρεῖς. ὀξεῖα. βαρεῖα, καὶ περισπωμένη. οἷς χρώμεθα ἐπὶ ταῖς λέξεσι. πᾶσα γὰρ λέξις ἐπιδέχεται τόνον ἕνα, ἢ ἐν τῇ ληγούσῃ, ἢ παραληγούσῃ, ἢ προπαραληγούσῃ. ἐν μὲν τῇ ληγούσῃ, ἐπιδέχεται ὀξεῖαν. βαρεῖαν, καὶ περισπωμένην. ὀξεῖαν, ὅταν τὸ δεχόμενον ᾖ ἀσυναίρετον. οἷον, θεατής. ἀγαθός. βαρεῖαν δὲ ὁμοίως, ὡς ἐλαιών. δαφνών. καὶ μάλιστα ἐν τῇ συνεπείᾳ. πᾶσα γοῦν ὀνομαστικὴ καὶ αἰτιατικὴ ἀσυναίρετος καθ' ἑαυτὴν, ὀξύνεται. ἐν δὲ τῇ συνεπείᾳ, ἀντὶ τῆς ὀξεί

ας, βαρεῖαν ἐπιδέχεται. περισπωμένην δέ, ὅταν τὸ δεχόμενον ᾖ μακρὸν ἀπὸ συναιρέσεως. οἷον, ἀπὸ τοῦ φάος, φῶς. καὶ ἀπὸ τοῦ ξενοφάων, ξενοφῶν. πᾶσα γὰρ συναίρεσις ἐξ ὀξείας καὶ βαρείας, περισπωμένην ποιεῖ. Ἐν τῇ παραληγούσῃ δέ, ὀξεῖαν, καὶ περισπωμένην. ὀξεῖαν μέν, ὅταν ᾖ τὸ δεχόμενον ἢ βραχὺ ὡς λάχης, λόγος, ἐπάνω γὰρ βραχέος περισπωμένη οὐ τίθεται, ἢ ὅταν τὸ δεχόμενον μακρόν, καὶ τὸ μετ᾽ αὐτὸ μακρόν, ὡς αἰνείας, χρύσης. μακρὸν γὰρ πρὸ μακροῦ παροξύνεται. ἢ ὅταν ᾖ θέσει μακρόν, οἷον, πέρσης. ἐπάνω γὰρ θέσει μακροῦ περισπωμένη οὐ τίθεται. Περισπωμένην δέ, ὅταν τὸ δεχόμενον ᾖ φύσει μακρόν, καὶ τὸ μετ᾽ αὐτὸ βραχύ. οἷον, μοῖσα. γαῖα. μοῦσα. πᾶν γὰρ φύσει μακρὸν πρὸ βραχέος κείμενον, περισπᾶται. Ἔτι καὶ εἰ ἀπὸ συναιρέσεως μακρὸν εἴη. οἷον, βοᾶται. ποιεῖται. Ἐν τῇ προπαραληγούσῃ δὲ ἀεὶ ὀξεῖαν τίθεμεν, ὡς, φιλόσοφος. φιλόκαλος. πρὸ δύο γὰρ συλλαβῶν ἀεὶ ὀξεῖα τίθεται. Εἰς χρόνους, μακρὰν καὶ βραχεῖαν, οἷς ἐχρῶντο οἱ παλαιοὶ ἐπὶ τῶν διχρόνοις ὡς σημείοις δηλοῦντες τὸ μακρὸν καὶ τὸ βραχύ. οἷον, ἀκούω. ὀρίνω. ὀξύνω. ἄρης. Εἰς πνεύματα, δασεῖαν καὶ ψιλήν, οἷς χρώμεθα ἐπὶ τῶν φωνηέντων καὶ διφθόγγων. πᾶσα γὰρ λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη, ἢ ψιλοῦται, ἢ δασύνεται. πότε δὲ τοῦτο γίνεται, ἐν τῷ περὶ πνευμάτων βιβλίῳ Γεωργίου τοῦ χοιροβοσκοῦ ζητητέον. δασύνεται δὲ καὶ τὸ ρ ἐν ἀρχῇ λέξεως. οἷον, ῥήτωρ. ῥητορική. δυοῖν δὲ ὄντοιν, ὅπου ἂν τύχωσι, τὸ πρῶτον ψιλοῦται, καὶ τὸ δεύτερον δασύνεται κατὰ τοὺς παλαιούς. οἷον, ἄῤῥητον. ἄῤῥωστος. Εἰς πάθη, ἀπόστροφον, ὑφέν, καὶ ὑποδιαστολήν. χρώμεθα δὲ τῇ ἀποστρόφῳ ἐν τοῖς πάθεσι τῶν λέξεων ἐν τέλει ἐπιφερομένου φωνήεντος, ἀντὶ τεσσάρων γραμμάτων. ἀντὶ βραχέος α, οἷον, ἀρ᾽ οὗτος, ἀντὶ ἄρα οὗτος. ἀντὶ ε, οἷον, φέρ᾽ εἰπέ, ἀντὶ φέρε εἰπέ. ἀντὶ ο, οἷον, τοῦτ᾽ ἐμόν, ἀντὶ τοῦτο ἐμόν. ἀντὶ βραχέος ι, οἷον, ἐπ᾽ ἀκταῖς, ἀντὶ ἐπὶ ἀκταῖς. οἱ ποιηταὶ δὲ καὶ ἀντὶ αι καὶ οι διφθόγγου ταύτῃ χρῶνται. οἷον, βούλομ᾽ ἐγώ. καὶ οἴμ᾽ ὡς ἄχθομαι. Τῇ δὲ ὑφὲν χρώμεθα ἐν συναφείᾳ δυοῖν λέξεων φύσει διῃρημένων, καὶ ἐν τοῖς συνθέτοις ὀνόμασιν. οἷον, τηναρχήν. τοπρότερον. φιλόσοφος. φιλόδωρος. Τῇ ὑποδιαστολῇ δὲ χρώμεθα ἐν ταῖς διαστολαῖς τῶν συνημμένων λέξεων. οἷον, ὅ,τι. τό,τε. καὶ ἐν ταῖς ἐρωτήσεσι μετὰ στιγμῆς. οἷον, σὺ ταῦτα λέγεις;

Περὶ στιγμῆς.

Στιγμή ἐστι διανοίας τελείας σημεῖον. Διαιρεῖται δὲ εἰς τελείαν στιγμήν, μέσην, καὶ ὑποστιγμήν. τελεία στιγμή ἐστιν ὅτε ἡ διάνοια τελεία ὑπάρχει. μέση ὅτε ἡ διάνοια μεσάζουσα, καὶ ἀτελής. ὑποστι-

γμή, ὅτι κρεμασμένη, καὶ ζητεῖ τὸ ἐπίλοιπον.

Περὶ τόπων τῶν τόνων.

Τόποι τῆς ὀξείας τρεῖς. ἡ λήγουσα. ἡ παραλήγουσα, καὶ ἡ προπαραλήγουσα. τὸ ἔχον τὴν ὀξεῖαν ἐπὶ τῆς ληγούσης, καλεῖται ὀξύτονον. οἷον, θεατής. τὸ ἔχον ἐπὶ τῆς παραληγούσης, παροξύτονον, καὶ βαρύτονον. οἷον, αἴας. τὸ ἔχον ἐπὶ τῆς προπαραληγούσης, προπαροξύτονον, καὶ βαρύτονον. οἷον, φιλόδημος. Τόπος τῆς βαρείας εἷς, ἡ λήγουσα. καὶ πᾶσα δὲ λέξις αὐτὴν δεχομένη, καθ' ὁμαλισμὸν ἀναγινώσκεται. ἔστι δὲ τόνος συλλαβικὸς, καὶ οὐ κυρίως. Τόποι τῆς περισπωμένης δύο, ἡ λήγουσα, καὶ ἡ παραλήγουσα. τὸ ἔχον τὴν περισπωμένην ἐπὶ τῆς ληγούσης, καλεῖται περισπώμενον. οἷον, δημοφῶν. τὸ ἔχον ἐπὶ τῆς παραληγούσης, προπερισπώμενον. οἷον, δῆμος. κῆπος. Ἀλλὰ περὶ μὲν τούτων, ἅλις. νῦν δὲ περὶ τῆς τάξεως τῶν προθέσεων λέγωμεν, ἀναγκαίας οὔσης τοῖς εἰσαγομένοις.

prepositiones

Περὶ τῶν προθέσεων τίσι πτώσεσι συντάσσονται, καὶ τί σημαίνουσι.

Περὶ μονοσυλλάβων. Ἐν.

Ἡ ἐν, ἀεὶ δοτικῇ συντάσσεται, τὸ ἔν τινι δηλοῦσα. οἷον, ἐν οἴκῳ. ἐν ἀγρῷ. ἀττικοὶ δὲ καὶ γενικῇ, κατ' ἔλλειψιν τῆς δοτικῆς. οἷον, ἐν ᾅδου, ἀντὶ, ἐν τῷ τόπῳ τοῦ ᾅδου. παρὰ ποιηταῖς δὲ λέγεται ἐνὶ, καὶ εἰν. τὸ δὲ ἐνὶ, δύναμιν τοῦ ἐστιν ἔχει.

Εἰς.

Ἡ εἰς, ἥτις ἀττικῶς ἐς λέγεται, αἰτιατικῇ συντάσσεται. εἰς ναόν. εἰς ἀγοράν. ἀττικῶς δὲ καὶ γενικῇ κατ' ἔλλειψιν τῆς αἰτιατικῆς. οἷον, εἰς διδασκάλου, ἀντὶ, εἰς τὴν οἰκίαν τοῦ διδασκάλου. χρώμεθα δὲ ταύτῃ ἐπὶ ἀψύχων. οἷον, πορεύομαι εἰς ἀγοράν.

Ἐξ.

Ἡ ἐξ, ἥτις καὶ ἐκ λέγεται, ἀεὶ γενικῇ συντάσσεται. οἷον, ἐξ ἀγορᾶς. ἐκ τοῦ βουλευτηρίου. ἔχει δὲ τὸ ξ ἑπομένου φωνήεντος. τὸ κ δὲ, ἑπομένου συμφώνου.

Σύν.

Ἡ σὺν, ἥτις καὶ ξὺν ἀττικῶς λέγεται, δοτικῇ μόνῃ συντάσσεται, ὁμόνοιαν σημαίνουσα. οἷον, σὺν θεῷ. σὺν τῷ ἰωάννῃ.

Πρός.

Ἡ πρὸς, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ, ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν. οἷον, πρὸς θεοῦ τ' ἀγαθά, ἀντὶ παρά. ἢ ὅτ' ἐπὶ ὅρκου κεῖται. οἷον, ποίησον πρὸς θεοῦ. ἢ τὸ ἐνώπιον δηλοῖ. οἷον, πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον. οἷον, οὐ πρὸς ἰατροῦ σοφοῦ. δοτικῇ δὲ, ὅτε τὸ πλησίον. οἷον, πρὸς τοῖς ποσί. πρὸς τῷδε. αἰτιατικῇ δὲ, ὅταν κίνη

ον πρόσ τι ἔμψυχον ὡς ἐπὶ τὸ πλεῖστον σημαίνῃ. οἷον, πρὸς τὸν Ἰωάννην. ἢ ἕνωσιν, ὡσ πρὸσ τὸν θεὸν, ἀντὶ μετὰ θεοῦ. ἢ λόγον τινὰ, ὡσ, τὰ δύο πρὸσ τὰ τέσσαρα, οὕτω τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα. οἷον, πρὸσ αὐλὸν ᾄδει. Προ.

Ἡ προ, ἀεὶ γενικῇ συντάσσεται, τόπον καὶ χρόνον σημαίνουσα. οἷον, πρὸ τῆσ θύρασ. πρὸ τοῦ περσικοῦ πολέμου ἐγένετο ὁ τρωϊκός.

Περὶ δισυλλάβων. Ανα.

Ἡ ανα, αἰτιατικῇ κοινῶσ συντάσσεται. οἷον, ἀνὰ τὴν ὁδόν. ἀνὰ τὸ στρατόπεδον. ἀνὰ τὴν πόλιν. ἀντὶ διὰ τῆς ὁδοῦ. διὰ τοῦ στρατοπέδου. εἰς τὴν πόλιν. τὸ δὲ χρυσέῳ ἀνὰ σκήπτρῳ, ποιητικὸν, ἀντὶ σύν. Κατα.

Ἡ κατα, γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅταν ἐπιφορὰν καὶ κατηγορίαν σημαίνῃ. οἷον, ὁ ἄθεος Νεστόριος κατὰ πάντων τῶν ἀγαθῶν καὶ σοφῶν καὶ λέγει καὶ γράφει. ἢ τὸ ἐπάνω, καὶ περί τι. οἷον, κατὰ γῆσ κάθημαι. τὸ δὲ κατ' οὐλύμποιο καρήνων χωόμενος, ἀντὶ ἀπό. αἰτιατικῇ δὲ, ὅτε ὁμοιότητα. οἷον, κατὰ Δημοσθένην γράφει. καθ' Ὅμηρον. ἢ χρόνον. οἷον, καθ' ἡμᾶσ ἐγένετο ἀνὴρ σοφός. ἢ κίνησιν. ὡς, κατὰ νῆασ ἀχαιῶν. Δια.

Ἡ δια, γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ἐνέργειαν ἢ τὸ μέσον σημαίνουσα. ὡς, διὰ σοῦ τοῦτο γένοιτο. διὰ τῆς ἀγορᾶς ἐβάδιζεν. αἰτιατικῇ δὲ, αἰτίαν. οἷον, διὰ τὰ χρήματα πάντα γίνονται. καὶ τὸ μέσον σπανίως. ὡς, διὰ τ' ἔντεα καὶ μέλαν αἷμα.

Μετα.

Ἡ μετα, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅτε ἕνωσιν δηλοῖ. ὡς, μετὰ σοῦ. δοτικῇ δὲ, τὸ αὐτὸ ποιητικῶς. οἷον, μετὰ τριτάτοισιν ἄνασσεν. αἰτιατικῇ δὲ, ὅτε τὸ ὕστερον. οἷον, μετὰ σὲ ἐγὼ ἦλθον. Παρα.

Ἡ παρα, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. ἐν γενικῇ μὲν, ὅτε τὴν ἀπό τινος κίνησιν δηλοῖ. οἷον, παρὰ τοῦ βασιλέωσ ἡ δικαιοσύνη. δοτικῇ δὲ, ὅτε τὸ πλησίον μετ' ἐμψύχου. οἷον, παρὰ τῷ βασιλεῖ κάθηται. παρὰ σοὶ διατρίβω. αἰτιατικῇ δὲ, ὅτε ἢ τὸ ἐγγὺσ μετ' ἀψύχου, ὡς, παρὰ τὴν θάλασσαν, ἢ κίνησιν ἐπί τι, οἷον, παρὰ σὲ ἔρχομαι. ἢ τὸ διά τι, ὡσ, παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω. οἷον, παρὰ τὸ δίκαιον πράττει. καὶ παρὰ γνώμην συμβαίνει. Αντι.

Ἡ ἀντι, γενικῇ συντάσσεται. οἷον, ἀντὶ σοῦ. ἀντὶ ἐκείνου. ἀντὶ πολλῶν.

ἐν τῇ συνθέσει δὲ, ποτὲ μὲν τὸ ἴσον σημαίνει, ὡς ἀντίθεον πολύφημον, ἀντὶ ἰσόθεον. ποτὲ δὲ τὸ ἐναντίον, ὡς ἀντίχριστος. καὶ ἀντίθεον δόγμα, τὸ ἐναντίον τῷ θεῷ.

Ἐπί.

Ἡ ἐπὶ, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅτε τὸ ἐπάνω δηλοῖ. οἷον, τὰ ζῶα ἐπὶ γῆς. ἢ χρόνον. οἷον, ἐπὶ ἄρχοντος Πυθοκλέους. ἢ τὸ περί τι ἢ ἔν τινι. οἷον, ἐπὶ πολλῶν. ἢ κίνησιν ἀττικῶς. οἷον, ἐπὶ τῆς χώρας. δοτικῇ δὲ, ὅτε αἰτίαν. οἷον, ἐπ' ἀγαθῷ ἐδημηγόρει. ἢ τὸ ἐπάνω. οἷον, ἐπὶ Ζωπίδῃ ἡ ναῦς. ἢ τὸ ὕστερον. ὡς, ἐπὶ τούτοις καὶ ἕτερα διηγεῖτο. ἢ αὐτεξουσιότητά τινα. ὡς, ἐπὶ τῷ ἀρχιερεῖ τὰ τῆς ἐκκλησίας πράγματα. ἢ ἐπιβουλήν. οἷον, ἐπὶ τῷ δήμῳ, ἀντὶ κατὰ τοῦ δήμου. αἰτιατικῇ δὲ, ὅτε κίνησιν δηλοῖ. οἷον, ἐπὶ τὴν ἀττικὴν ἐπορεύετο. ἢ δόλον. οἷον, ἐφ' ἡμᾶς ὥρμησε.

Περί.

Ἡ περὶ, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅτε τὸ αἴτιον δηλοῖ. οἷον, μάχομαι περὶ σοῦ. δοτικῇ δὲ, σχεδὸν τὸ αὐτὸ ποιητικῶς. οἷον, δέδοικα περὶ ξανθῷ μενελάῳ. ἔτι καὶ τὸ ἐρωήσει περὶ δουρὶ, ἀντὶ ἐν. καὶ, περὶ πύργῳ, ἀντὶ κύκλῳ. αἰτιατικῇ δὲ, ὅτε τὸ κύκλῳ, καὶ περιποιητικὸν, καὶ συστατικόν. οἷον, περὶ τὴν πόλιν τὸ στράτευμα. τὶ τὸ περὶ ἐμὲ πρᾶγμα.

Ἀμφί.

Ἡ ἀμφὶ, ὁμοιόσημος καὶ ὁμοιοσύντακτός ἐστι τῇ περί. συνηθεστέρα μέντοι ἡ περί. πολλάκις δὲ παρὰ ποιηταῖς ὁμοῦ κεῖνται, ὡς, Ἕκτωρ δ' ἀμφιπεριστρώφα καλλίτριχας ἵππους.

Ἀπό.

Ἡ ἀπὸ, ἀεὶ τῇ γενικῇ συντάσσεται, τὴν ἀπό του κίνησιν σημαίνουσα. οἷον, ἀπὸ τῆς πόλεως. ἀπὸ τοῦ δικαίου.

Ἡ ὑπό.

Ἡ ὑπὸ, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅτε ἢ τὸ αἴτιον σημαίνει, οἷον, ὑπὸ νόσου οὐ περιπατεῖ, ἢ τὸ ὑποκάτω. οἷον, ὑφ' εἵματος. δοτικῇ δὲ καὶ αἰτιατικῇ, τὸ αὐτό. οἷον, ὑπὸ δένδρῳ, καὶ ὑπὸ δένδρον. καὶ ὁ στρατιώτης ὑπὸ τὸν στρατηγόν.

Ὑπέρ.

Ἡ ὑπὲρ, γενικῇ, καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, ὅτε ἢ βοήθειαν σημαίνει, οἷον, ὑπὲρ Κτησιφῶντος ὁ λόγος, ἢ αἰτίαν, οἷον, ὑπὲρ ὧν ἔλεξα πάλιν λέξω. ἢ τὸ ἐπάνω, οἷον, ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ, ὅτε τὸ πλέον ἢ ἐπέκεινα δηλοῖ. οἷον, ὑπὲρ ἄνθρωπον φρονεῖ. ὑπὲρ τὴν θρᾴκην ἡ μακεδονία. Παρέπονται δὲ ταῖς προθέσεσι πέντε. τὸ ὀξύνεσθαι. τὸ βραχυκαταληκτεῖν, πλὴν τῆς εἰς, καὶ ἐξ. τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι. τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι, πλὴν τῆς ἀμφί. τὸ ψιλοῦσθαι, πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ. τὸ γὰρ υ προηγούμενον τῆς λέξεως, δασύνε

ται. Εἰσὶ δὲ καὶ πολλὰ ἐπιρρήματα γενικῇ συντασσόμενα. οἷον, ἔξω. χωρίς. ἄνευ. πλήν. ἄλις. ἔνδον. εἴσω. τὰ δὲ ἀθροιστικὰ, δοτικῇ. τὰ δὲ θετικὰ, δοτικῇ, καὶ αἰτιατικῇ, καὶ αἷς δ' ἂν πτώσεσι τὰ αὐτῶν συντάσσονται ῥήματα. τὸ δὲ μὰ, καὶ νὴ, αἰτιατικῇ. καὶ τὸ μὲν μὰ, ὡς τὰ πολλὰ ἀποφάσκει. τὸ δὲ νὴ, καταφάσκει. Καὶ ταῦτα μὲν τοῖς εἰσαγομένοις ἱκανὰ ὡς ἐν ἐπιτομῆς εἴδει. ἐν δὲ τῷ δευτέρῳ διεξοδικώτερον περὶ ὀνόματος καὶ ῥήματος διαληψόμεθα.

Τέλος τῆς ἐπιτομῆς.

ΠΕΡῚ ΠΑΘΩ͂Ν ΤΩ͂Ν ΛΈΞΕΩΝ, ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΓΡΑΜΜΑΤΙΚΟΥ͂ ΤΡΎΦΩΝΟΣ.

ΤᾺ ΤΩ͂Ν ΛΈξεων πάθη εἰς δύο γενικώτατα διαιροῦνται, ποσόν τε, καὶ ποιόν. καὶ τοῦ μὲν ποσοῦ εἴδη, ἔνδεια, καὶ πλεονασμός. τοῦ δὲ ποιοῦ, μετάθεσις, καὶ μετάληψις. ἀμφοτέρων δὲ ὁμοῦ συνελθόντων, τμῆσις γίνεται. ἔστι δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν, πάθη πέντε. πλεονασμός. ἔνδεια. μετάθεσις. μετάληψις. τμῆσις. Πλεονασμός.

Πλεονασμὸς μὲν οὖν ἐστι περισσότης χρόνων, ἢ χρόνου στοιχείων, ἢ στοιχείου. Ἔνδεια.

Ἔνδεια δὲ, τὸ ἐναντίον, χρόνου, ἢ χρόνων στοιχείου, ἢ στοιχείων ἐλάττωσις. Μετάθεσις.

Μετάθεσις δέ ἐστι στοιχείου μετακίνησις ἐκ τῆς ἰδίας τάξεως ἐφ' ἑτέρας. οἷον, δαρτὰ, ἀντὶ δρατά. κραδία, ἀντὶ καρδία. κάρτος, ἀντὶ κράτος. καλεῖται δὲ καὶ ἐναλλαξις, καὶ ὑπερθεσις. Μετάληψις.

Μετάληψις δέ ἐστι στοιχείου μετακίνησις. οἷον, ἠπεδανὸς, ἀντὶ ἀπεδανός. αἱμηπότης, ἀντὶ αἱμοπότης. Τμῆσις.

Τμῆσις δέ ἐστι συνθέτου λόγου ἀνάλυσις εἰς δύο λέξεις. οἷον, ἄκρα πόλις, ἀντὶ ἀκρόπολις. Τούτων δὲ τῶν πέντε παθῶν τὰ μὲν, εἰς εἴδη τέμνεται, ὅ, τε πλεονασμὸς, καὶ ἡ ἔνδεια. τὰ δὲ λοιπὰ, εἰσὶν ἄτμητα. Τοῦ δὲ πλεονασμοῦ εἴδη εἰσὶν ἐννέα. Πρόσθεσις. Ἀναδίπλωσις. Ἔκτασις. Ἐπέκτασις. Διαίρεσις. Παρένθεσις. Διπλασιασμός. Παρέμπτωσις, καὶ προσχηματισμός. Τῆς δὲ ἐνδείας εἴδη εἰσὶν ἐννέα. Ἀφαίρεσις. Ἆρσις. Συστολή. Συγκοπή. Συναλοιφή. Ἔλλειψις. Παρέλλειψις. Ἔκθλιψις, καὶ ἀποκοπή. Ἀντίκειται οὖν πρόσθεσις μὲν, ἀφαιρέσει. Ἀναδί-

πλωσις δὲ, ἄρσει. Ἔκτασις, συστολῇ. Ἐπέκτασις, συγκοπῇ. Διαίρεσις, συναλοιφῇ. Παρένθεσις, ἐλλείψει. Διπλασιασμὸς, παρελλείψει. Παρέμπτωσις, ἐκθλίψει. Προσχηματισμὸς, ἀποκοπῇ.

Πρόσθεσις.

Πρόσθεσις μὲν οὖν ἐστὶ προσθήκη στοιχείου κατ᾽ ἀρχὴν τῆς συλλαβῆς. οἷον, ἀσταφὶς, ἀντὶ σταφίς. ἄσταχυς, ἀντὶ στάχυς. ἀμαμὰ, ἀντὶ ἅμα.

Ἀναδίπλωσις.

Ἀναδίπλωσις δέ ἐστιν ἡ τῆς πρώτης ἢ δευτέρας συλλαβῆς διὰ τῶν αὐτῶν συμφώνων ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων, καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει δὲ παρά τε ἴωσι καὶ αἰολεῦσιν. οἷον, κεκάμμοσιν, ἀντὶ κάμμοσι. λελάχωσιν, ἀντὶ λάχωσιν. ἀταρτηρὸς, ἀντὶ ἀτηρός. ἐτήτυμον, ἀντὶ ἔτυμον. Ἔκτασις.

Ἔκτασίς ἐστιν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ, ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μεταθῇ. οἷον, κᾱλὸς, κᾰλός. κούρη, κόρη. Ἐπέκτασις.

Ἐπέκτασίς ἐστι πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνως, ὅταν μὴ γενικὸν παρατήρημα κωλύσῃ. οἷον, εὐτύχεον, ἀντὶ εὐτυχοῦν. ἀδελφειὸς, ἀντὶ ἀδελφός. πολεμήϊα, ἀντὶ πολέμια. Διαίρεσις.

Διαίρεσίς ἐστι συλλαβῆς ἀνάλυσις, ἢ διάστασις εἰς δύο. τὸ δὲ πάθος ἰώνων, καὶ θετταλῶν. οἷον, πάϊς, ἀντὶ παῖς. κόϊλον, ἀντὶ κοῖλον. βέλεος, ἀντὶ βέλους. Παρένθεσις.

Παρένθεσίς ἐστι προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον, πνείοντες, ἀντὶ πνέοντες. κεινὴ, ἀντὶ κενή. νοῦσος, ἀντὶ νόσος. ξεῖνος, ἀντὶ ξένος. εἰληλυθὼς, ἀντὶ ἐληλυθώς. τὸ δὲ πάθος ἰώνων.

Διπλασιασμός.

Διπλασιασμός ἐστι τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβήν. οἷον, ὅττι, ἀντὶ ὅτι. ἄδδην, ἀντὶ ἄδην. μέσσον, ἀντὶ μέσον. ἔννεπε, ἀντὶ ἔνεπε. ὁππότε, ἀντὶ ὁπότε. τὸ δὲ πάθος ἰώνων. Παρέμπτωσις.

Παρέμπτωσίς ἐστι προσθήκη συμφώνων κατὰ μέσον, οὐκ ἀποτελούντων συλλαβήν. οἷον, πτόλις, ἀντὶ πόλις. πτόλεμος, ἀντὶ πόλεμος. Προσχηματισμός.

Προσχηματισμός ἐστι προσθήκη συλλαβῆς κατὰ τὸ τέλος. ἔστι δὲ τῶν τεσσάρων διαλέκτων ἴδιος. οἷον, λόγοισιν, ἀντὶ λόγοις. μούσῃσιν, ἀντὶ μούσαις. προσώπατα, ἀντὶ πρόσωπα. ἐγὼν, ἀντὶ ἐγώ. λεκτέον δὲ καὶ περὶ ἐνδείας.

Ἔνδεια.

Ἔνδειά ἐστιν ἀφαίρεσις κατ' ἀρχὴν στοιχείου. οἷον, ὀρτὴ, ἀντὶ ἑορτή. αἶα, ἀντὶ γαῖα. κεῖνος, ἀντὶ ἐκεῖνος. τὸ δὲ πάθος ἰώνων.

Ἄρσις.

Ἄρσις ἐστὶν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδιπλουμένης συλλαβῆς. οἷον, βλῆσθαι, ἀντὶ βεβλῆσθαι. δέχθαι, ἀντὶ δεδέχθαι. βλήμενος, ἀντὶ βεβλημένος.

Συστολή.

Συστολή ἐστιν ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ. ἢ τὰ μακρὰ, ἢ τὰ βραχέα ἀντίστοιχα αὐτῶν μεταθῇ. οἷον, φυσίζοος, ἀντὶ φυσίζωος. ξερὸν, ἀντὶ ξηρόν.

Συγκοπή.

Συγκοπή ἐστιν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον. οἷον, κάμμορος, ἀντὶ κακόμορος. δάσκιον, ἀντὶ δασύσκιον.

Συναλοιφή.

Συναλοιφή ἐστι δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις καταβολῇ τινων. γίνεται δὲ κατὰ τρόπους ἑπτά. ἁπλοῦς μὲν, τρεῖς. κατὰ θλῖψιν. κατὰ κρᾶσιν. κατὰ συναίρεσιν. συνθέτους δὲ, τέσσαρας. κατὰ θλῖψιν, καὶ κρᾶσιν. κατὰ θλῖψιν, καὶ συναίρεσιν. κατὰ κρᾶσιν, καὶ συναίρεσιν. κατὰ θλῖψιν, καὶ κρᾶσιν, καὶ συναίρεσιν. κατὰ θλῖψιν, ἐπ' ἐμὲ, ἀντὶ ἐπὶ ἐμέ. κατὰ κρᾶσιν, τἀμὰ, ἀντὶ τὰ ἐμά. κατὰ συναίρεσιν, νηρῇδες, ἀντὶ νηρηΐδες. κατὰ θλῖψιν καὶ κρᾶσιν, κἀγὼ, ἀντὶ καὶ ἐγώ. κατὰ θλῖψιν καὶ συναίρεσιν, ἐμοὐ ποδύνει, ἀντὶ ἐμοὶ ὑποδύνει. κατὰ κρᾶσιν καὶ συναίρεσιν, ὡ᾽πόλλος, ἀντὶ ὁ ἀπόλλος. κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν, ἐν τἀθιοπίᾳ, ἀντὶ ἐν τῇ αἰθιοπίᾳ.

Ἔλλειψις.

Ἔλλειψίς ἐστιν ἀποβολὴ φωνήεντος κατὰ μέσον, οὐ περιϊόντος συλλαβήν. ἀμύξαι, ἀντὶ αἰμύξαι. γεραὸν, ἀντὶ γεραιόν.

Παρέλλειψις.

Παρέλλειψίς ἐστιν ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπεται. κάλιον, ἀντὶ κάλλιον. θᾶσον, ἀντὶ θᾶσσον.

Ἔκθλιψις.

Ἔκθλιψίς ἐστιν ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ περιϊόντος συλλαβήν. σκῆπτον, ἀντὶ σκῆπτρον.

Ἀποκοπή.

Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον, δῶ, ἀντὶ δῶμα. ἀπόλλω, ἀντὶ ἀπόλλωνα. ποσειδῶ, ἀντὶ ποσειδῶνα.

ΠΕΡῚ ἈΝΩΜΆΛΩΝ ῬΗΜΆΤΩΝ ΚΑΤᾺ ΣΤΟΙΧΕῖΟΝ.

Ἀρχὴ τοῦ α.

Ἄζω. ὅθεν ἀόριστος πρῶτος, ἄσθην, καὶ ἀάσθην.

Ἄγαμαι. μέλλων, ἀγάσομαι. ἀόριστος πρῶτος, ἠγάσθην. μέσος ἀόριστος, ἠγασάμην.

Ἄγω. μέλλων, ἄξω. ἀόριστος δεύτερος, ἦγον. καὶ ἀττικῶς, ἤγαγον. παρακείμενος, ἦχα. καὶ ἀττικῶς, ἀγήοχα.

Ἀγορεύω. μέλλων, ἀγορεύσω. ἀόριστος, ἠγόρευσα. παρακείμενος, εἴρηκα. ἀπὸ τοῦ εἴρω.

Ἄδω. μέλλων, ἄσω. ἀόριστος, ᾖσα.

Αἱροῦμαι. μέλλων, αἱρήσομαι. παρακείμενος, ᾕρημαι.

Ἀόριστος, ᾑρέθην. μέσος ἀόριστος β, εἱλόμην, ἀπὸ τοῦ ἕλομαι.

Αἱρέω, ῶ. μέλλων, αἱρήσω.

Αἰσθάνομαι. μέλλων, αἰσθήσομαι. παρακείμενος, ᾔσθημαι. μέσος ἀόριστος, ᾐσθόμην. ἔστι αἰσθέομαι, αἰσθοῦμαι.

Ἁμαρτάνω. παρατατικὸς, ἡμάρτανον. καὶ πλέον οὔ. μέλλων, ἁμαρτήσω. παρακείμενος, ἡμάρτηκα. ἀόριστος δεύτερος, ἥμαρτον. ἀπὸ τοῦ ἁμαρτέω, ἁμαρτῶ.

Ἀνοίγω. μέλλων, ἀνοίξω. ἀόριστος, ἀνέῳξα ἀττικῶς.

Ἀπεχθάνομαι. μέλλων, ἀπεχθήσομαι. παρακείμενος, ἀπήχθημαι. μέσος ἀόριστος, ἀπεχθόμην. καὶ ἀπεχθέομαι, οῦμαι.

Αὐξάνω, καὶ αὔξω. μέλλων, αὐξήσω, ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος τοῦ αὐξέω, ῶ. ἀόριστος πρῶτος, ηὔξησα. ἔστι αὐξάνω. παρατατικὸς, ηὔξανον.

Ἁλόω, ῶ. ἀόριστος δεύτερος, εἷλον, ἀπὸ τοῦ ἕλω. ἡ μετοχὴ, ὁ ἁλοὺς, τοῦ ἁλόντος.

Ἀμφίεμι, καὶ ἀμφιέννυμι. μέλλων, ἀμφιέσω.

Ἀναπνώσκω. παρατατικὸς, ἀνεγίνωσκον μόνον. μέλλων, ἀναγνώσομαι. παρακείμενος, ἀνέγνωκα. ἀόριστος δεύτερος, ἀνέγνων, ἀπὸ τοῦ ἀναγνῶμι. καὶ ἀναγνόω, ῶ.

Ἀναζευγνύω. μέλλων, ἀναζεύξω.

Ἀνακράζω. μέλλων, ἀνακράξω. μέσος παρακείμενος, ἀνακέκραγα. ἀόριστος δεύτερος, ἀνέκραγον.

Ἀναπνέω. μέλλων, ἀναπνεύσω. ἀόριστος, ἀνέπνευσα, ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ.

Ἀναρρηγνύω, καὶ ἀναρρήγνυμι. μέλλων, ἀναρρήξω. ἀπὸ τοῦ ἀναρρήγω.

Ἀνασπάω, ῶ. μέλλων, ἀνασπάσω.

Ἁλίσκομαι. μέλλων πρῶτος ληφθήσομαι, ἀπὸ τοῦ λήβομαι, λήψομαι, ἐλήφθην. ἀόριστος β, ἑάλων, ἀπὸ τοῦ ἁλόω ῶ.

Ἀπαναίνομαι. ἀόριστος, ἀπηνηνάμην.

Ἀπόχρη. μέλλων, ἀποχρήσει. ἀόριστος, ἀπέχρησε.

Ἀφίημι. μέλλων, ἀφήσω. ἀόριστος, ἀφῆκα.

Ἀντιστρέφω. μέλλων, ἀντιστρέψω. μέσος παρακείμενος, ἀντέστροφα.

Ἀναπεταννύω, καὶ ἀναπετάννυμι. μέλλων, ἀναπετάσω, ἀπὸ τοῦ ἀναπετάω, ἀναπετῶ.

Ἀπέχω. μέλλων, ἀφέξω. διότι τὸ ἕξω δασύνεται, τρέπεται τὸ π εἰς φ. Παρακείμενος, ἀπέσχηκα. ἀόριστος δεύτερος, ἀπέσχον, ἀπὸ τοῦ ἀποσχέω, ἀποσχῶ.

Ἀποδράω, ῶ. ὅθεν ἀόριστος πρῶτος, ἀπέδρα.

Ἀποδεικνύω, καὶ ἀποδείκνυμι. μέλλων, ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω.

Ἀπολέω, ῶ. μέλλων, ἀπολέσω. Παρακείμενος, ἀπώλεκα. καὶ ἀττικῶς, ἀπολώλεκα. καὶ ἀπόλλω, ἀπολῶ, ἀπῶλα. καὶ ἀττικῶς, ἀπόλωλα. καὶ ἀπολλύω, καὶ ἀπόλλυμι.

Ἀποσβεννύω, καὶ ἀπόσβημι. μέλλων, ἀποσβέσω. ἀόριστος δεύτερος, ἀπέσβη.

Ἀποτέμνω. μέλλων, ἀποτεμῶ. καὶ ἀποτμήσω. ἀόριστος δεύτερος, ἀπέτεμον.

Ἀποτανύω. μέλλων, ἀποτάσω.

Ἀπαυράω, ῶ. ἀόριστος, ἀπηύρα.

Ἀποσυφελίζω. μέλλων, ἀποσυφελίξω.

Ἀποκλαίω. μέλλων, ἀποκλαύσω, ἀπὸ τοῦ κλαύω παλαιοῦ.

Ἀρέσκομαι. μέλλων, ἀρέσομαι. καὶ τὸ ἀπρόσωπον, ἀρέσκει. Παρατατικὸς, ἤρεσκε.

Ἀτίζω. μέλλων, ἀτίξω.

Ἀφικνοῦμαι. μέλλων, ἀφίξομαι. Παρακείμενος, ἀφῖγμαι. μέσος ἀόριστος, ἀφικόμην.

Ἀφίπταμαι. ἀόριστος, ἀπέπτην. μέσος ἀόριστος, ἀπεπτάμην.

Ἄχθομαι. μέλλων, ἀχθήσομαι. ἀόριστος πρῶτος, ἠχθέσθην.

Ἀρχὴ τοῦ β.

Βάλλω. μέλλων, βαλῶ. ἀόριστος, ἔβαλον.

Παρακείμενος βέβληκα, ἀπὸ τοῦ βλῶ, βλήσω.
Βλαστάνω, καὶ βλαστέω, ῶ. Ἀόριστος, ἔβλαστον.
Βόω, ῶ. Μέλλων, βόσω.
Βούλομαι. Μέλλων, βουλήσομαι. Παρακείμενος, βεβούλημαι.
ἐβεβουλήμην. ἐβουλήθην. Ἀρχὴ τοῦ γ.
Γαμέω, ῶ. Μέλλων, γαμήσω. Ἀόριστος πρῶτος, ἔγημα.
Γείνομαι. Μέλλων, γείνουμαι. Μέσος ἀόριστος πρῶτος, ἐγεινάμην.
Γήθω. Μέλλων, γήσω. Μέσος παρακείμενος, γέγηθα. καὶ γηθέω,
Γηράσκω, καὶ γηράω, ῶ. Μέλλων, γηράσω. (ῶ. γηθήσω.
Γρηγορέω, ῶ. Μέλλων, γρηγορήσω. Μέσος παρακείμενος, ἐγρή
γορα. Ὑπερσυντέλικος, ἐγρηγόρειν.
Γίνομαι, καὶ γίγνομαι. Μέλλων, γενήσομαι, ἀπὸ τοῦ γενάομαι,
ῶμαι. Παρακείμενος, γεγένημαι. Μέσος ἀόριστος πρῶτος,
ἐγενησάμην. Μέσος ἀόριστος δεύτερος, ἐγενόμην. Μέσος πα
ρακείμενος, γέγονα, ἀπὸ τοῦ γείνω, γενῶ.
Γινώσκω, ἐγίνωσκον. καὶ πλέον οὔ. Μέλλων, γνώσομαι. Παρα
κείμενος, ἔγνωκα. Ἀόριστος δεύτερος ἔγνων, ἀπὸ τοῦ γνόω, ῶ, καὶ
γνῶμι. Ἀρχὴ τοῦ δ.
Δαΐζω. Μέλλων, δαΐξω. καὶ δαίω, δαίσω. δαΐζομαι.
Δάκνω, ἔδακνον. Μέλλων, δήξω. Ἀόριστος δεύτερος, ἔδακον,
ἀπὸ τοῦ δήκω.
Δαμάζω. Μέλλων, δαμάσω.
Δαίω. Μέλλων, δαήσω. Ἀόριστος, ἐδάην.
Δεῖ. Μέλλων, δεήσει. Ἀόριστος, ἐδέησε.
Δεῖ. Παρατατικὸς, ἔδει. Ἀπαρέμφατον, δεῖν.
Δείδω. Μέλλων, δείσω. Παρακείμενος, δέδοικα. Ὑπερσυντέ
λικος, ἐδεδοίκειν. Μέσος παρακείμενος, δέδια. Μέσος ὑπερ
συντέλικος, ἐδεδίειν.
Δέω. Μέλλων, δέσω, καὶ δήσω.
Δέομαι. Μέλλων, δεήσομαι. Παρακείμενος, δεδέημαι, ἀπὸ τοῦ
Δέχομαι. Μέλλων, δέξομαι. Παρακείμενος, (δεέομαι, οῦμαι.
δέδεγμαι. Μέσος ἀόριστος πρῶτος, ἐδεξάμην.
Δέδηα ἀπὸ τοῦ δαίω μέσος παρακείμενος.
Διαζωννύω, καὶ διαζώννυμι. Μέλλων, διαζώσω, ἀπὸ τοῦ διαζόω, διαζῶ.
Διαλαγχάνω. Ἀόριστος δεύτερος, διέλαχον, ἀπὸ τοῦ διαλήχω.
Διδάσκω. ἐδίδασκον. καὶ πλέον οὔ. Μέλλων, διδάξω, ἀπὸ τοῦ δι
δάχω. Ἀόριστος πρῶτος, ἐδίδαξα.

Διδράσκω, καὶ διαδιδράσκω. Ἀόριστος α, διέδρα, καὶ ἀπέδρα.
Διαφθείρω. Μέλλων, διαφθερῶ. Μέσος παρακείμενος, διέφθορα.
Δοκέω, ῶ. Μέλλων, δόξω, ἀπὸ τοῦ δόκω. Ἀόριστος πρῶτος, ἔδοξα. τὸ δὲ δεδόκηκα, ἀπὸ τοῦ δοκέω, δοκῶ.
Δράω, ῶ. Μέλλων, δράσω. Παρακείμενος, δέδρακα. Ἀόριστος πρῶτος, ἔδρασα.
Δύω, καὶ δύω, καὶ δῦμι. Μέλλων, δύσω. Ἀόριστος δεύτερος, ἔδυν, ἀπὸ τοῦ δῦμι.

Ἀρχὴ τοῦ ε.

Ἐάω, ῶ. Μέλλων, ἐάσω. Ἀόριστος πρῶτος, εἴασα.
Ἔδραμον, ἀπὸ τοῦ τρέχω. δραμοῦμαι. Ἀόριστος δεύτερος, ἔδραμον, ἀπὸ τοῦ δρέμω.
Ἐγκαλέω, ῶ. Μέλλων, ἐγκαλέσω. Παρακείμενος, ἐγκέκληκα.
Ἐγείρω. Μέλλων, ἐγερῶ. Ἀόριστος πρῶτος, ἤγειρα.
Ἐγχέω. Μέλλων, ἐγχεύσω, ἀπὸ τοῦ ἐγχεύω. Ἀόριστος πρῶτος, ἐνέχεα, καὶ ἐνέχευα αἰολικῶς.
Εἴδω. Μέλλων, εἴσω. Μέσος παρακείμενος, οἶδα. Ὑπερσυντέλικος, ᾔδειν. ὤφειλε δὲ εἶναι εἴδειν. τρέπεται δὲ τὸ ε εἰς η, καὶ τὸ ι ὑπογράφεται.
Εἶπα ἀόριστος πρῶτος, καὶ εἶπον ἀόριστος β, ἀπὸ τοῦ ἔπω ἀχρήστου.
Εἰσπλέω. Μέλλων, εἰσπλεύσω. ἀπὸ τοῦ πλεύω.
Ἐλεύθω. Μέλλων, ἐλεύσομαι. Μέσος παρακείμενος, ἤλυθα. καὶ ἀττικῶς, ἐλήλυθα. Ἀόριστος β, ἤλυθον, καὶ ἦλθον. ἦλθες. ἦλθε.
Ἔρομαι. Μέλλων, ἐρήσομαι. Μέσος ἀόριστος, ἠρόμην.
Ἕζω. Μέλλων, ἕσω. Ἀόριστος πρῶτος, εἶσα.
Ἐκκαίω, καὶ ἐκκάω ἀττικῶς. Μέλλων, ἐκκαύσω.
Ἕλω, ὅθεν ἀόριστος δεύτερος εἷλον.
Ἔμμορα μέσος παρακείμενος, ἢ ἀπὸ τοῦ μορέω, ῶ, μέμορα, καὶ ἔμμορα. ἢ ἀπὸ τοῦ μείρω, μερῶ, μέμορα, καὶ ἔμμορα.
Ἐμπίπτω. Μέλλων, ἐμπεσοῦμαι. Παρακείμενος, ἐμπέπτωκα. Ἀόριστος δεύτερος, ἐνέπεσον.
Ἐμπίπρημι. Μέλλων, ἐμπρήσω. Ἐμπαίζω. Μέλλ', ἐμπαίξω.
Ἔολπα, ἀπὸ τοῦ ἔλπω. Μέσος παρακείμενος, ἦλπα, καὶ ἔολπα.
Ἐπαινέω, ῶ. Μέλλων, ἐπαινέσω. Παρακείμενος, ἐπῄνεκα.
Εἴρω. Μέλλων, ἐρῶ. Γαρακείμενος, εἴρηκα. (Ἀόριστος, ἐπῄνεσα.
Εὑρίσκω. Μέλλων, εὑρήσω. Γαρακείμενος, εὕρηκα. Ἀόριστος δεύτερος, εὗρον, ἀπὸ τοῦ εὑρέω, ῶ.
Εἴω. Μέλλ', εἴσω. Παρακείμενος, εἶκα. Μέσος παρακείμενος, εἷα.

Ὑπερσυντέλικος, ᾔδειν.

Ἔχω. μέλλων, ἕξω. Παρακείμενος, ἔσχηκα. Ἀόριστος β, ἔσχον, ἀπὸ τοῦ σχῶ, ῶ. καὶ τὸ μὲν ἔχω, ψιλοῦται. τὸ δὲ ἕξω δασύνεται, εἰς διαφορὰν τοῦ ἔξω ἐπιρρήματος ψιλουμένου. Ἀρχὴ τοῦ ζ.

Ζεύγνυμι, καὶ ζευγνύω. μέλλων ζεύξω, ἀπὸ τοῦ ζεύγω.

Ζωννύω, καὶ ζώννυμι. μέλλων, ζώσω. Ἀρχὴ τοῦ η.

Ἤειν ὑπερσυντέλικος, ἤεις, ἤει, ἀπὸ τοῦ εἴω.

Ἤκαχεν, ἀπὸ τοῦ ἄχω.

Ἠμύω. μέλλων, ἠμύσω. Ἀρχὴ τοῦ θ.

Θάπτω. μέλλων, θάψω. Ἀόριστος, ἔθαψα.

Θέλω. μέλλων, θελήσω. Ἀόριστος, ἐθέλησα. καὶ ἐθέλω, ἐθελήσω. Ἀόριστος, ἠθέλησα.

Θνήσκω, ἔθνησκον. μέλλων, θανοῦμαι. Παρακείμενος, τέθνηκα. Ἀόριστος β, ἔθανον. Εὐκτικὸν, τεθναίην. Ἀπαρέμφατον, τεθνάναι.

Ἀρχὴ τοῦ ι.

Ἱκνοῦμαι. μέλλων, ἵξομαι. Ἀόριστος δεύτερος, ἱκόμην. Παρακείμενος ἷγμαι, ἀπὸ τοῦ ἵκομαι.

Ἱλάσκομαι. μέλλων, ἱλάσομαι. μέσος ἀόριστος α, ἱλασάμην.

Ἵπταμαι. μέσος ἀόριστος πρῶτος, ἱπτάμην, ἵπτω, ἵπταο.

Ἴδον ἀόριστος δεύτερος ποιητικὸς, ἀπὸ τοῦ εἴδω. καὶ ἀπὸ τοῦ εἴδω, εἶδον καθαρός. Ἀρχὴ τοῦ κ.

Καίω, καὶ κάω. μέλλων, καύσω.

Καθέζω, καθέζομαι. μέλλων, καθεδοῦμαι.

Κάθημαι. μέλλων, καθήσομαι.

Καθαιρέω, καθαιρῶ. Ἀόριστος δεύτερος, καθεῖλον, ἀπὸ τοῦ καθέλω.

Καθαίρω. Ἀόριστος δεύτερος, ἐκάθηρα.

Καθίημι. Ἀόριστος πρῶτος, καθῆκα.

Κλάγγω. μέλλων, κλάγξω. Ἀόριστος πρῶτος, ἔκλαγξα. Παρακείμενος, κέκληγα.

Κάμνω, καὶ κάμω. Ἀόριστος δεύτερος, ἔκαμον. Παρακείμενος, κέκμηκα, ἀπὸ τοῦ κμῶ. μέλλων, κμήσω.

Κείρω. μέλλων, κερῶ. Ἀόριστος πρῶτος, ἔκειρα. Παρακείμενος, κέκαρκα.

Κορέω κορῶ, καὶ κορέννυμι, καὶ κορεννύω. μέλλων, κορέσω.

Κράζω. μέλλων, κράξω. Παρακείμενος μέσος, κέκραγα. Ἀόριστος δεύτερος, ἔκραγον.

κρεμάζω, καὶ κρεμάω, ῶ, καὶ κρέμαμαι. μέλλων, κρεμάσω.
κρύβεις, καὶ ἐκρύβην, ἀπὸ τοῦ κρύπτομαι, ἢ κρύβομαι παλαιοῦ.

Ἀρχὴ τοῦ λ.

λαγχάνω. μέλλων, κληρώσομαι, ἀπὸ τοῦ κληρόω, ῶ. ἀόριστος δεύτερος, ἔλαχον. μέσος παρακείμενος, λέλογχα, ἀπὸ τοῦ λήχω. μέλλων, λήξω. ἀόριστος δεύτερος, ἔλαχον.
λαμβάνω, ἐλάμβανον. μέλλων, λήψομαι, ἀπὸ τοῦ λήβω. ὅθεν ὁ ἀόριστος δεύτερος, ἔλαβον. παρακείμενος, λέλειφα. ἐν δὲ ἀττικοῖς, εἴληφα. ὁ ὑπερσυντέλικος, εἰλήφειν.
λανθάνω, ἐλάνθανον. μέλλων, λήσομαι, ἀπὸ τοῦ λήθω. μέσος παρακείμενος, λέληθα. ἀόριστος δεύτερος, ἔλαθον. παρακείμενος, λέλησμαι. μέσος ἀόριστος δεύτερος, ἐλαθόμην.
λείπω. μέλλων, λείψω. ἀόριστος πρῶτος, ἔλειψα. ἀόριστος δεύτερος, ἔλιπον.

Ἀρχὴ τοῦ μ.

μαίνομαι. μέσος παρακείμενος, μέμηνα.
μανθάνω, ἐμάνθανον. μέλλων μαθήσομαι, ἀπὸ τοῦ μαθέω, μαθῶ. παρακείμενος, μεμάθηκα. ἀόριστος δεύτερος ἔμαθον, ἀπὸ τοῦ μήθω.
μάχομαι. μέλλων, μαχέσομαι, ἀπὸ τοῦ μαχέομαι. μέσος ἀόριστος πρῶτος, ἐμαχεσάμην.
μείρω. μέσος παρακείμενος, μέμορα, καὶ ἔμμορα.
μέλει. μέλλων, μελήσει, ἀπὸ τοῦ μέλλει. παρακείμενος, ἔμελε. μέλλων, μελήσει.
μέμνημαι, ἀπὸ τοῦ μνάομαι. ὑπερσυντέλικος, ἐμεμνήμην. ἀόριστος πρῶτος, ἐμνήσθην. μέλλων πρῶτος, μνησθήσομαι.
μένω. μέλλων, μενῶ. ἀόριστος πρῶτος, ἔμεινα. παρακείμενος, μεμένηκα.
μέμηλε μέσος παρακείμενος, ἀπὸ τοῦ μέλει.
μέμαα μέσος παρακείμενος, ἀπὸ τοῦ μάω, ῶ.
μιγνύω, καὶ μίγνυμι. μέλλων, μίξω.
μοργνύω. μέλλων, μόρξω.

Ἀρχὴ τοῦ ν.

νέω. μέλλων, νεύσω.
νέμω. παρακείμενος, νενέμηκα. ἀόριστος α, ἔνειμα.

Ἀρχὴ τοῦ ξ.

ξυνίημι. μέλλων, ξυνήσω. ἀόριστος, ξυνῆκα, καὶ ξυνέηκα.

Ἀρχὴ τοῦ ο.

ὄζω. μέλλων, ὄσω. μέσος παρακείμενος, ὦδα. καὶ ἀττικῶς, ὄδωδα.

οἴχομαι. μέλλων, οἰχήσομαι. μέσος ἀόριστος, ᾠχόμην.
οἴομαι, καὶ κρᾶσει οἶμαι. οἴει. οἴεται. μέλλων, οἰήσεται. Ἀόριστος πρῶτος, ᾠήθην.
οἶδα ἀπὸ τοῦ εἴδω, μέσος παρακείμενος.
οἰμώζω. μέλλων, οἰμώξω. Ἀόριστος πρῶτος, ᾤμωξα.
ὀμνύω, καὶ ὄμνυμι, καὶ ὀμόω, ῶ. μέλλων, ὀμόσω, καὶ ὀμοῦμαι. Παρακείμενος, ὄμωμοκα. καὶ ἀττικῶς, ὀμώμοκα.
ὀλολύζω. μέλλων, ὀλολύξω.
ὀμόργνυμι. μέλλων, ὀμόρξω.
ὀνόω, ῶ. μέλλων, ὀνόσω.
ὀφείλω. μέλλων, ὀφειλήσω, καὶ ὄφλω, ὀφλήσω. Παρακείμενος, ὤφληκα. Ἀόριστος, ὤφλησα.
ὄπτομαι. μέλλων, ὄψομαι. Ἀόριστος πρῶτος, ὤφθην.
ὁράω, ῶ. Παρατατικὸς, ἑώραον, ων ἀττικῶς. Παρακείμενος, ἑώρακα. Ὑπερσυντέλικος, ἑωράκειν. Ἀρχὴ τοῦ π.
Παρίημι. Παρατατικὸς, παρῆν.
Πάρειμι. πάρει. πάρεστι.
Πάσχω, ἔπασχον. μέλλων, πείσομαι, ἀπὸ τοῦ πείθω. Παρακείμενος, πέπονθα. Ἀόριστος δεύτερος, ἔπαθον, ἀπὸ τοῦ πήθω.
Πέμπω. μέλλων, πέμψω. Παρακείμενος, πέπομφα. Ἀόριστος πρῶτος, ἔπεμψα.
Πεταννύω. μέλλων, πετάσω. Παρακείμενος, πέπτακα.
Πέπτω, καὶ πέσσω, καὶ πέμπτω ποιητικῶς. μέλλων, πέμψω.
Πάομαι, ῶμαι. μέλλων, πάσομαι. Παρακείμενος, πέπαμαι.
Πείρω. μέλλων, περῶ. Ἀόριστος πρῶτος, ἔπειρα.
Πέφρικα, ἀπὸ τοῦ φρίττω. μέλλων, φρίξω. Παρακείμενος ἡμαρτημένος, πέφρικα.
Πηγνύω, καὶ πήγνυμι. μέλλων, πήξω. Ἀόριστος, ἐπάγην, ἀπὸ τοῦ πήγω.
Πίνω, ἔπινον. μέλλων, πώσω. Παρακείμενος, πέπωκα. Ἀόριστος δεύτερος, ἔπιον.
Πίπτω. μέλλων, πεσοῦμαι. Παρακείμενος, πέπτωκα. Ἀόριστος δεύτερος, ἔπεσον.
Πίπρημι. μέλλων, πρήσω.
Πλάττω, σσω. μέλλων, πλάσω. Ἀόριστος πρῶτος, ἔπλασα.
Πλέω. μέλλων, πλεύσω, ἀπὸ τοῦ πλεύω. οὕτω καὶ πνέω. μέλ-

λθον, πυθύσω.
Πράττω, τὸ πωλῶ. Μέλλων, πράσω. Παρακείμενος, πέπρακα.
Πρίεμαι. προηγουμένην μέσος ἀόριστος πρῶτος.
Πετάω, ῶ. Μέλλων, πετάσω.
Προστρέχω. Μέλλων, προσδραμοῦμαι. Ἀόριστος δεύτερος, προσέδραμον, ἀπὸ τοῦ προσδρέμω.
Πέρθω. Ἀόριστος δεύτερος, ἔπραθον.
Πτάω, ῶ. Μέσος ἀόριστος πρῶτος, ἐπτάμην.
Πτήσσω. Μέλλων, πτήξω.
Πυνθάνομαι. Μέλλων, πεύσομαι, ἀπὸ τοῦ πεύθομαι. Παρακείμενος, πέπυσμαι. Ἀόριστος β, ἐπυθόμην. Ἀρχὴ τοῦ ρ.
Ῥέζω. Μέλλων, ῥέξω.
Ῥηγνύω, καὶ ῥήγνυμι. Μέλλων, ῥήξω.
Ῥωννύω, καὶ ῥώννυμι. Μέλλων, ῥώσω.
Ῥωννύομαι. Μέλλων, ῥώσομαι. Παρακείμενος, ἔρρωμαι. ἔρρωσαι. ἔρρωται. Προστακτικὸν, ἔρρωσο, ἐρρώσθω. ἔρρωσθε, ἐρρώσθωσαν. Ἀρχὴ τοῦ σ.
Σβεννύω. Μέλλων, σβέσω, καὶ σβήσομαι. Ἀόριστος δεύτερος, ἔσβην, ἀπὸ τοῦ σβῆμι.
Σεύομαι. Ἀόριστος πρῶτος, ἐσύθην. Ἀόριστος δεύτερος, ἔσευα.
Σήπομαι. Μέλλων, σήψομαι. Ἀόριστος, ἐσάπην.
Σπένδω. Μέλλων, σπείσω. Ἀόριστος πρῶτος, ἔσπεισα.
Στάζω, καὶ σταλάζω. Μέλλων, στάξω.
Στένω, καὶ στενάζω. Μέλλων, στενάξω.
Στίζω. Μέλλων, στίξω.
Στορέννυμι. Μέλλων, στορέσω. Ἀόριστος πρῶτος, ἐστόρεσα.
Στρωννύω. Μέλλων, στρώσω. Ἀόριστος πρῶτος, ἔστρωσα.
Συγκεραννύω. Μέλλων, συγκεράσω. Παρακείμενος, συγκέκρακα.
Συμβαίνω. Μέλλων, συμβήσομαι. Παρακείμενος, συμβέβηκα. Ἀόριστος δεύτερος, συνέβην.
Σχέω, ῶ. Μέλλων, σχήσω. Ἀόριστος δεύτερος, ἔσχον. ὅθεν τὸ προστακτικὸν, σχὲς, σχέτω. Ἀρχὴ τοῦ τ.
Παρακείμενος τέθνηκα, καὶ τέθνεα, ἀπὸ τοῦ θνήσκω.
Τέμνω. μέλλων, τμήσω. Ἀόριστος δεύτερος, ἔταμον.
Τεύχω. Ἀόριστος δεύτερος, ἔτυχον.
Τάζω. μέλλων, τάξω. Ἀόριστος δεύτερος, ἔταγον. ὅθεν ὁ ταγών.

Τήκω. Μέλλων, τήξω. Παρακείμενος, τέτηκα.

Τίκτω. Μέλλων, τέξω. Ἀόριστος δεύτερος, ἔτεκον.

Τιτρώσκω, ἐτίτρωσκον. Μέλλων, τρώσω. Ἀόριστος πρῶτος, ἔτρωσα. Παρακείμενος, τέτρωκα, ἀπὸ τοῦ τρόω, ῶ.

Τίνω, καὶ τίω. Μέλλων, τίσω.

Τλάω, ῶ. Μέλλων, τλήσω. Ἀόριστος β ἔτλην, ἀπὸ τοῦ τλῆμι.

Τρέφω. Μέλλων, θρέψω. Ἀόριστος πρῶτος, ἔθρεψα. Μέσος παρακείμενος, τέτροφα.

Τρέω. Μέλλων, τρέσω.

Τυγχάνω, ἐτύγχανον. Μέλλων, τεύξομαι, ἀπὸ τοῦ τεύχω. Παρακείμενος, τετύχηκα, ἀπὸ τοῦ τυχέω, ῶ. Ἀόριστος δεύτερος, ἔτυχον.

Ἀρχὴ τοῦ υ.

Ὑπέχω. Μέλλων, ὑφέξω. Παρακείμενος, ὑπέσχηκα. Ἀόριστος δεύτερος, ὕπεσχον.

Ὑπισχνοῦμαι. Μέλλων, ὑποσχήσομαι. Παρακείμενος, ὑπέσχημαι. Μέσος ἀόριστος δεύτερος, ὑπεσχόμην.

Ὑποδύω. Μέλλων, ὑποδύσω. Ἀόριστος ὑπέδυν, ἀπὸ τοῦ ὑποδῦμι.

Ὑποσδρίσκω. Μέλλων, ὑποσδρίσω.

Ὑπνώττω. Μέλλων, ὑπνώσω.

Ὕει. Μέλλων, ὕσει. Ἀόριστος πρῶτος, ὗσεν.

Ἀρχὴ τοῦ φ.

Φάσκω. Παρατατικὸς, ἔφασκον. καὶ πλέον οὔ.

Φεύγω. Μέλλων, φεύξομαι. Μέσος παρακείμενος, πέφευγα. Ἀόριστος δεύτερος, ἔφυγον.

Φέρω. Μέλλων, οἴσω, ἀπὸ τοῦ οἴω. Παρακείμενος, ἐνήνοχα. Ἀόριστος πρῶτος, ἤνεγκα. Ἀόριστος δεύτερος ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω.

Φημί. φῄς. φησί. φατὸν, φατὸν. φαμέν. φατέ. φασί. Μέλλων, φήσω. Ἀόριστος πρῶτος, ἔφησα. Ἀόριστος δεύτερος, ἔφην. Ἀπαρέμφατον, φάναι.

Φθάνω, ἔφθανον. Μέλλων φθάσω, ἀπὸ τοῦ φθάω, ῶ. Παρακείμενος, ἔφθακα. Ἀόριστος πρῶτος, ἔφθασα. Ἀόριστος δεύτερος ἔφθην, ἀπὸ τοῦ φθῆμι. Ἡ μετοχὴ, ὁ φθάς.

Φθείρω. Μέλλων, φθερῶ. Παρακείμενος, ἔφθαρκα. Μέσος παρακείμενος, ἔφθορα.

Φθίνω. Μέλλων, φθίσω.

Φοινίκω, καὶ φοινίζω. Μέλλων, φοινίξω.

Φύω. Μέλλων, φύσω. Παρακείμενος, πέφυκα. Ἀόριστος δεύ-

τερος, ἔφυν, ἀπὸ τοῦ φῦμι. Ἀρχὴ τοῦ χ.
Χαίρω. μέλλων, χαρήσομαι. Ἀόριστος, ἐχάρην.
Χαλεπαίνω. μέλλων, χαλεπανῶ. Ἀόριστος, ἐχαλέπηνα.
Χέω. μέλλων, χεύσω, ἀπὸ τοῦ χεύω. Ἀόριστος, ἔχευα.
Χρωννύω. μέλλων, χρώσω. Ἀρχὴ τοῦ ψ.
Ψάλλω. μέλλων, ψαλῶ. Παρακείμενος, ἔψαλκα. Ἀόριστος πρῶτος, ἔψηλα. Ἀρχὴ τοῦ ω.
Ὤθω, καὶ ὠθέω, ῶ. μέλλων, ὤσω, καὶ ὠθήσω.
Ὠνέομαι, οῦμαι. μέλλων, ὠνήσομαι. Παρακείμενος, ὤνημαι, καὶ ἐώνημαι ἀττικῶς. ὅθεν ἐωνημένος.
Ὦρσα, ἀπὸ τοῦ ὀρούω. μέλλων, ὀρούσω. Ἀόριστος πρῶτος, ὤρουσα. καὶ κατὰ συγκοπὴν, ὦρσα. ἢ ὄρω, ὄρσω, ὦρσα αἰολικῶς.

ΤΕΛΟΣ ΤΩΝ ἈΝΩΜΑΛΩΝ ῬΗΜΑΤΩΝ.

ΠΕΡῚ ΠΝΕΥΜΑΤΩΝ.

Πόσα πνεύματα; δύο. ἡ δασεῖα, καὶ ἡ ψιλή. πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη, δασύνεται, ἢ ψιλοῦται. ἀπὸ δὲ τῶν συμφώνων, μόνον τὸ ρ ἐν ἀρχῇ λέξεως ὂν, δασύνεται. οἷον, ῥήτωρ. ὅτε δὲ ἐστὶ δύο, τὸ μὲν πρῶτον, ψιλοῦται. τὸ δὲ δεύτερον, δασύνεται κατὰ παλαιούς. οἷον, ἐπίῤῥημα. Σημείωσαι καθόλου ὅτι τὸ τῆς εὐθείας πνεῦμα φυλάσσεται καὶ ἐν ταῖς λοιπαῖς πτώσεσι. καὶ ἐν τοῖς ῥήμασι δὲ τὸ πνεῦμα τοῦ θέματος φυλάσσεται, καὶ ἐν τοῖς ἀπ᾽ ἐκείνου κλινομένοις. οἷον, ἁμαρτάνω, ἡμάρτανον. ἕλκω, εἷλκον. πλὴν τοῦ ἔχω, ἕξω. ὅπερ ἐν μὲν τῷ ἐνεστῶτι, ψιλοῦται. ἐν δὲ τῷ μέλλοντι, δασύνεται, πρὸς ἀντιδιαστολὴν τοῦ ἔξω, ὅπερ ἐστὶν ἐπίῤῥημα. Ἐπὶ τῶν ῥημάτων τὸ ἐν τοῖς παρῳχημένοις ε προσερχόμενον καὶ ἀποπίπτον, ψιλοῦται. οἷον, ἔγραψα, γράψον. Εἰ δὲ προσέρχεται μὲν, οὐκ ἀποπίπτει δὲ, τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει. οἷον, ἵστημι, στήσω, ἕστηκα, ἑστηκώς.
Τὸ ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται. οἷον, ὁ. ἡ. οἱ. αἱ.
Πᾶσα ἀντωνυμία ἀπὸ τοῦ ε ἀρχομένη, ψιλοῦται. οἷον, ἐγώ. πλὴν τῆς ἑ, καὶ τῆς ἐξ αὐτῆς. οἷον, ἑαυτόν. ἀπὸ δὲ τῶν ἄλλων φωνηέντων ἀρ-

χομένη, δασύνεται. οἷον, οὗτος. αὕτη. πλὴν τοῦ αὐτὸς, καὶ τῶν ἀπ' αὐτοῦ. οἷον, αὐτόχειρ, καὶ αὐτόματος. πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη, ψιλοῦται. οἷον, ἀπό. ἀνά. πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ. πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος, ψιλοῦται. οἷον, ἀλλά. εἰ. ἐπεί. πλὴν τῶν αἰτιολογικῶν. οἱ γὰρ αἰτιολογικοὶ πάντως δασύνονται. οἷον, ἵνα. ὅτε καί. ὅπως. πλὴν τοῦ ὄφρα. τὰ ἐπιρρήματα εἰσώζει τὴν ἀρχὴν, τοῦ πνεύματος τοῦ ἰδίου πρωτοτύπου ἔχει. οἷον, ἀγαπῶ, ἀγάπη. ἑλκῶ, ἕλκος. πλὴν τοῦ ἱδρὼς, ἀπὸ τοῦ ἰδίω τὸ κοπιῶ. ἄμυδις, ἀπὸ τοῦ ἅμα. ἑρμὸς, ἀπὸ τοῦ ἔρω. ἑρκτὴ, ἀπὸ τοῦ εἵργω. τὰ κατὰ ἀφαίρεσιν τοῦ ψιλοῦ συμφώνου γινόμενα ἀναφορικὰ, δασύνονται. οἷον, τόσος, ὅσος. τηνίκα, ἡνίκα. πλὴν τοῦ τόφρα, ὄφρα. τῆμος, ἦμος. τὰ αἰολικὰ πάντα ψιλοῦται. οἱ γοῦν αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν. τὰ ἀριθμητικὰ πάντα δασύνονται. οἷον, εἷς. ἕξ. ἑπτά. πλὴν τοῦ ὀκτὼ, καὶ ἐννέα, καὶ τῶν ἀπ' αὐτῶν. οἷον, ὀγδοήκοντα. ἐννενήκοντα. τὸ α εἴτε ἐπίτασιν δηλοῖ, εἴτε στέρησιν, εἴτε ὁμοῦ, εἴτε κακὸν, εἴτε ὀλίγον, εἴτε πλεονάζει, ψιλοῦται. πλὴν τοῦ ἅλυτος, ἐκ τοῦ στερητικοῦ α, καὶ τοῦ λύω. καὶ τοῦ ἅδης, ἐκ τοῦ στερητικοῦ α, καὶ τοῦ ἴδω. τὸ δὲ ἀθροιστικὸν α, δασύνεται. ἅμα. ἅπας.

Ἀρχὴ τοῦ α.

Τὸ α πρὸ τοῦ α, ψιλοῦται. οἷον, ἀαρών. ἄαπτος.

Τὸ α πρὸ τοῦ β ψιλοῦται. οἷον, ἀβλαβής. εἰ μὴ τὸ ρ ἐπιφέροιτο. οἷον, ἅβρα.

Τὸ α πρὸ τοῦ γ ψιλοῦται. οἷον, ἀγών. πλὴν τοῦ ἁγνὸς, καὶ ἅγος, καὶ τῶν ἀπὸ τούτων παραγομένων. οἷον, ἁγιότης.

Τὸ α πρὸ τοῦ δ ψιλοῦται. οἷον, ᾄδω. πλὴν τοῦ ἅδης, καὶ ἁδρός.

Τὸ α πρὸ τοῦ ε ψιλοῦται. οἷον, ἀετός. ἀέρα.

Τὸ α πρὸ τοῦ ζ ψιλοῦται. οἷον, ἄζηλος. πλὴν τοῦ ἅζομαι, τὸ σέβομαι.

Τὸ α πρὸ τοῦ θ, ι, κ, ψιλοῦται. οἷον, ἀθάρα. ἀΐσσω, τὸ ὁρμῶ. ἄκρα.

Τὸ α πρὸ τοῦ λ ψιλοῦται. οἷον, ἄλλος. ἀλείφω. εἰ μὴ τὸ μ ἐπάγοιτο. οἷον, ἁλμυρός. καὶ πλὴν τοῦ ἅλς, ἁλός. ἁλῶ, τὸ κρατῶ. ἅλις. ἁλίζω. ἅλως. ἅλυσις. ἁλικαρνασσός. ἅλλομαι.

Τὸ α πρὸ τοῦ μ ψιλοῦται. οἷον, ἄμαξα. πλὴν τοῦ ἅμα. ἁμαρτάνω. ἅμιλλα. ἅμμα, τὸ σχοινίον. ἅμης. ἁμίς. συμφώνου δὲ ἐπιφερομένου μετὰ τὸ μ, ἀεὶ ψιλοῦται. οἷον, ἀμφί. ἀμβροσία. ἀμπεχόνη.

Τὸ α πρὸ τοῦ ν ψιλοῦται. οἷον, ἀνά. πλὴν τοῦ ἁνδάνω, τὸ ἀρέσκω.

Τὸ α πρὸ τοῦ ξ καὶ ο ψιλοῦται. οἷον, ἄξιος. ἄορ, τὸ ξίφος.

Τὸ α πρὸ τοῦ π ψιλοῦται. οἷον, ἀπό. πλὴν τοῦ ἅπαξ. ἁπλοῦς. ἅπας.

ἁπαλός. ἅπτομαι.

Τὸ α πρὸ τοῦ ρ ψιλοῦται. οἷον, ἀρά. εἰ μὴ ὑπὸ τοῦ μ ἐπάγοιτο, ἢ ὑπὸ τοῦ π. οἷον, ἅρμα. ἁρπάζω. πλὴν τοῦ ἀραιόν.

Τὸ α πρὸ τοῦ σ ψιλοῦται ἀεί. οἷον, ἀσκῶ. ἄστυ.

Τὸ α πρὸ τοῦ τ ψιλοῦται. οἷον, ἀτάρ. πλὴν τοῦ ἅττα, ἀντὶ ἅτινα. καὶ ἅτερος, ἀντὶ ἕτερος.

Τὸ α πρὸ τοῦ χ, φ, κ, ψιλοῦται. οἷον, ἀφροδίτη. ἀχαιός. ἄκρος.

Τὸ α πρὸ τοῦ ψ ψιλοῦται. οἷον, ἄψ. πλὴν τοῦ ἁψίς. ἅψεα, τὰ μέλη.

Τὸ α πρὸ τοῦ ω ψιλοῦται. οἷον, ἄωρος. Κανόνες τοῦ ε.

Τὸ ε πλεονάζον ἐν ἀρχῇ λέξεως, ὑπὸ τοῦ ἐνεστῶτος πνεῦμα λαμβάνει. οἷον, ὁράω, ὥρων, ἑώρων. εἴκοσιν, ἐείκοσι.

Τὸ ε πρὸ τοῦ α δασύνεται. οἷον, ἑαυτόν. πλὴν τοῦ ἔαρ. ἐάων. ἐάν.

Τὸ ε πρὸ τοῦ β ψιλοῦται. οἷον, ἔβαλον. πλὴν τοῦ ἕβδομος. ἑβδομήκοντα. ἑβραῖος.

Τὸ ε πρὸ τοῦ γ ψιλοῦται. οἷον, ἐγείρω.

Τὸ ε πρὸ τοῦ δ ψιλοῦται. οἷον, ἔδω. πλὴν τοῦ ἕδος, ὑπὸ τὸ ἔδαφος. ἑδεῖται, ἀντὶ καθεδεῖται. ἕδρα.

Τὸ ε πρὸ τοῦ ε ψιλοῦται. οἷον, ἐεπῶς, ἀντὶ τοῦ εὐχερῶς. πλὴν τοῦ ἑέλδωρ, ἡ ἐπιθυμία.

Τὸ ε πρὸ τοῦ ζ δασύνεται. οἷον, ἕζομαι.

Τὸ ε πρὸ τοῦ η οὐχ εὑρίσκεται, πλὴν ἀπὸ κλίσεως. οἷον, ἐῆος, ἀντὶ τοῦ ἀγαθοῦ, ἀπὸ τοῦ ἐΰς.

Τὸ ε πρὸ τοῦ θ ψιλοῦται. οἷον, ἔθος.

Τὸ ε πρὸ τοῦ ι ψιλοῦται. οἷον, εἰκός.

Τὸ ε πρὸ τοῦ κ δασύνεται. οἷον, ἑκάβη. πλὴν τοῦ ἐκυρός, καὶ ἐκεχειρία.

Τὸ ε πρὸ τοῦ λ ἢ ἑνὸς ἢ διπλοῦ, ψιλοῦται. οἷον, ἐλέγχω. ἐλλόγιμος. εἰ μὴ ὑπὸ τοῦ κ ἐπάγοιτο. οἷον, ἕλκω. καὶ πλὴν τοῦ ἕλλην. ἕλη. ἑλλήσποντος. ἕλενος. ἑλένη. ἕλος. ἕλωρ. ἑλίσσω. ἑλικόν. ἕλμις.

Τὸ ε πρὸ τοῦ μ ψιλοῦται. οἷον, ἐμπεδοκλῆς.

Τὸ ε πρὸ τοῦ ν ψιλοῦται. ἕνεκα δὲ, καὶ ἑνός, ἐξαιρεῖται.

Τὸ ε πρὸ τοῦ ξ ψιλοῦται. οἷον, ἔξεστι. πλὴν τοῦ ἕξ. ἕξω. ἕξεις. ἕξις. ἑξῆς.

Τὸ ε πρὸ τοῦ ο δασύνεται. οἷον, ἑορτή.

Τὸ ε πρὸ τοῦ π ψιλοῦται. οἷον, ἔπος. πλὴν τοῦ ἕπομαι.

Τὸ ε πρὸ τοῦ ρ ψιλοῦται. οἷον, ἐρίζω. πλὴν τοῦ ἕρκος. ἑρμῆς. ἕρση. ἕρδω.

τὸ ε πρὸ τοῦ σ ψιλοῦται. οἷον, ἔσχατος. πλὴν τῶν ἐχόντων αὐτὸ μετὰ τοῦ τ. οἷον, ἑστιάω.
τὸ ε πρὸ τοῦ τ ψιλοῦται. οἷον, ἔτος. πλὴν ἕτοιμος. ἕτερος. ἑταῖρος.
τὸ ε πρὸ τοῦ υ ψιλοῦται. οἷον, ἐΰς.
τὸ ε πρὸ τοῦ χ καὶ φ, ψιλοῦται. οἷον, ἔφεσος. ἔχω. πλὴν τοῦ ἑφθός.
τὸ ε πρὸ τοῦ ψ δασύνεται. οἷον, ἕψω.
τὸ ε πρὸ τοῦ ω δασύνεται. οἷον, ἕωθεν. πλὴν τοῦ ἔω, τὸ ὑπάρχω, καὶ ἐῶ.

Κανόνες περὶ τοῦ η.

τὸ η πρὸ τοῦ α ἀπὸ κλίσεως μόνον εὑρίσκεται. οἷον, ἦα, ἀντὶ τοῦ ἐπορεύθην.
τὸ η πρὸ τοῦ β δασύνεται. οἷον, ἥβη. πλὴν τοῦ ἠβαιὸν, ἀντὶ τοῦ βαιόν. ὅπερ ἀπὸ πλεονασμοῦ γίνεται. τὸ γὰρ η πλεονάζει.
τὸ η πρὸ τοῦ γ δασύνεται. οἷον, ἡγοῦμαι. πλὴν ἠγάθεος.
τὸ η πρὸ τοῦ δ ψιλοῦται. οἷον, ἤδη. πλὴν ἥδομαι. ἡδονή. ἡδύς.
τὸ η πρὸ τοῦ ε, ζ, η, θ, ι, ψιλοῦται. οἷον, ἠέλιος. ἦθος. ἠΐθεος.
τὸ η πρὸ τοῦ κ δασύνεται. οἷον, ἥκιστα. πλὴν τοῦ ἦκα, ἀντὶ τοῦ ἡσύχως.
τὸ η πρὸ τοῦ λ ψιλοῦται. οἷον, ἠλίθιος. πλὴν τοῦ ἧλος. ἥλιος.
τὸ η πρὸ τοῦ μ ψιλοῦται. οἷον, ἦμαρ. πλὴν ἡμέραι. ἥμερος. ἥμισυ. ἥμων, ὁ ἀκοντιστής.
τὸ η πρὸ τοῦ ν ψιλοῦται. οἷον, ἦν. ἠνίκα.
τὸ η πρὸ τοῦ ξ οὐχ εὑρίσκεται, πλὴν ἀπὸ κλίσεως. οἷον, ἄγω, ἦξα.
τὸ η πρὸ τοῦ ο ψιλοῦται.
τὸ η πρὸ τοῦ π ψιλοῦται. οἷον, ἤπειρος. πλὴν ἧπαρ.
τὸ η πρὸ τοῦ ρ ψιλοῦται. οἷον, ἠρέμα. πλὴν ἡρώδης. ἥρα. ἡρωδιανός. ἥρων. ἡρακλῆς. ἡρόδοτος. ἥρως. ἡρόφιλος.
τὸ η πρὸ τοῦ σ δασύνεται. οἷον, ἡσίοδος. ἡσυχία. ἧσις. ἥσθην. πλὴν τοῦ ἠσὶ, ἀντὶ φησὶ, καὶ τῶν ἀπὸ κλίσεως, ἤσθιον, ἦσθα.
τὸ η πρὸ τοῦ τ ψιλοῦται. οἷον, ἦτορ. πλὴν τοῦ ἡττάω, ῶ.
τὸ η πρὸ τοῦ υ ψιλοῦται. οἷον, ἠΰς, ὁ ἀγαθός.
τὸ η πρὸ τοῦ φ ψιλοῦται. οἷον, ἠφλοισμὸς, ὁ ἀφρός. πλὴν τοῦ ἥφαιστος. ἡφαιστίων.
τὸ η πρὸ τοῦ ψ οὐχ εὑρίσκεται. οἷον, ἅπτω. ἧψα.
τὸ η πρὸ τοῦ χ ψιλοῦται. οἷον, ἠχέω, ἠχῶ.
τὸ η πρὸ τοῦ ω ψιλοῦται. οἷον, ἠώς.

κανόνες περὶ τοῦ ι.

Τὸ ι πρὸ τοῦ α, β, γ, ψιλοῦται.

Τὸ ι πρὸ τοῦ δ ψιλοῦται. οἷον, ἴδω. εἰ μὴ τὸ ρ ἐπάγοιτο. οἷον, ἱδρύω. πλὴν τοῦ ἴδιος.

Τὸ ι πρὸ τοῦ ε ψιλοῦται. οἷον, ἰέναι. πλὴν τοῦ ἱερός. ἱέραξ.

Τὸ ι πρὸ τοῦ ζ δασύνεται. οἷον, ἱζάνω.

Τὸ ι πρὸ τοῦ η ψιλοῦται. οἷον, ἰητὴρ, ὁ ἰατρός. πλὴν τοῦ ἵημι.

Τὸ ι πρὸ τοῦ θ ψιλοῦται. οἷον, ἰθάκη.

Τὸ ι πρὸ τοῦ ι οὐχ εὑρίσκεται.

Τὸ ι πρὸ τοῦ κ ψιλοῦται. οἷον, ἴκαρος. πλὴν τοῦ ἱκανός. ἱκετεύω. ἱκάνω. ἱκνοῦμαι.

Τὸ ι πρὸ τοῦ λ ψιλοῦται. οἷον, ἴλιον. πλὴν τοῦ ἵλεως.

Τὸ ι πρὸ τοῦ μ εἰ μὲν ἐπιφέρεται φωνῆεν, δασύνεται. οἷον, ἵμερος. εἰ δὲ σύμφωνον, ψιλοῦται.

Τὸ ι πρὸ τοῦ ν ψιλοῦται. οἷον, ἰνδός.

Τὸ ι πρὸ τοῦ ξ καὶ ο, ψιλοῦται οἷον, ἰξός. ἰόλαος.

Τὸ ι πρὸ τοῦ π ἑνὸς μὲν, ψιλοῦται. διὰ δύο δὲ, δασύνεται.

Τὸ ι πρὸ τοῦ σ ψιλοῦται. οἷον, ἴσος. εἰ μὴ τὸ τ ἐπάγοιτο. οἷον, ἵστημι. πλὴν τοῦ ἴστρος.

Τὸ ι πρὸ τοῦ τ, υ, φ, χ, ψ, ω, ψιλοῦται. οἷον, ἰταλία. ἴυγξ. ἶφι. ἰχθύς. ἴψ. ἴω.

κανόνες περὶ τοῦ ο.

Τὸ ο κατὰ πλεονασμὸν προστιθέμενον, δασύνεται. ὁπόσον. ὁπότερος.

Τὸ ο πρὸ τοῦ α, β, γ, ψιλοῦται. οἷον, ὄαρος. ὀβελίσκος. ὄγκος.

Τὸ ο πρὸ τοῦ δ ψιλοῦται. οἷον, ὀδυσσεύς. πλὴν τοῦ ὁδός.

Τὸ ο πρὸ τοῦ ζ, θ, ψιλοῦται. οἷον, ὄζω. ὀθόνη.

Τὸ ο πρὸ τοῦ κ ψιλοῦται. οἷον, ὄκνος. πλὴν τοῦ ὁκοῖος, ὁπόσος.

Τὸ ο πρὸ τοῦ λ ψιλοῦται. οἷον, ὀλύω. πλὴν τοῦ ὅλος. ὅλμος. ὁλκή. ὁλκάς.

Τὸ ο πρὸ τοῦ μ ψιλοῦται. οἷον, ὀμνύω. πλὴν τοῦ ὁμοῦ. ὅμοιος. ὅμηρος. ὁμοκλή. ὅμιλος.

Τὸ ο πρὸ τοῦ ν ψιλοῦται. οἷον, ὄνος.

Τὸ ο πρὸ τοῦ ξ ψιλοῦται. οἷον, ὀξύς.

Τὸ ο πρὸ τοῦ π ψιλοῦται. οἷον, ὀπώρα. πλὴν τοῦ ὅπλον.

Τὸ ο πρὸ τοῦ ρ ψιλοῦται. οἷον, ὄρος. πλὴν τοῦ ὁρῶ, ὅρος. καὶ πλὴν ἐφ᾽ ὧν τὸ κ ἢ τὸ μ μετὰ τοῦ ρ ἐπάγοιτο. οἷον, ὁρμός. ὁρμῶ. ὁρκί-

ξω. ὁρμαθός.

Τὸ ο πρὸ τοῦ σ, εἰ μὲν φωνῆεν ἐπάγοιτο, δασύνεται. οἷον, ὅσιος. πλὴν ὄσεις. εἰ δὲ σύμφωνον, ψιλοῦται. οἷον, ὄσπριον.

Τὸ ο πρὸ τοῦ τ ψιλοῦται. οἷον, ὄτοβος. πλὴν τοῦ ὅτι. ὅταν. ὅτε.

Τὸ ο πρὸ τῶν φ, χ, ψ, ψιλοῦται. οἷον, ὄφις. ὄχημα. ὀψέ.

Τὸ ο πρὸ τοῦ ο, υ, ω, οὐχ εὑρίσκεται.

Κανόνες περὶ τοῦ υ.

Τὸ υ δασύνεται ἀεὶ, εἴτε πρὸ φωνήεντος, εἴτε πρὸ συμφώνου. πλὴν τῆς αἰολικῆς. οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.

Κανόνες περὶ τοῦ ω.

Τὸ ω ψιλοῦται ἀεί. οἷον, ὠθέω. ὦμος. καὶ τὰ λοιπά. πλὴν τοῦ ὥρα, καὶ τῶν ἀπ' αὐτοῦ. οἷον, ὡραῖος. ὧδε. ὡρακιῶ.

Περὶ διφθόγγων.

Ἡ αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἷον, αἰών. αἰκία. εἰ μὴ τὸ μ ἐπάγοιτο. οἷον, αἷμα. πλὴν τοῦ αἱρέω. αἱροῦμαι.

Ἡ ει δίφθογγος ψιλοῦται. οἷον, εἰς, πρόθεσις. εἰκῆ. πλὴν τοῦ εἱλίσω. εἱμαρμένη. εἷμα, τὸ ἔνδυμα. εἱμένος. εἷος. εἵως. εἱρμός. εἱρκτή.

Ἡ ευ δίφθογγος ψιλοῦται. οἷον, εὖ. πλὴν τοῦ εὕω, τὸ φωτίζω, καὶ φλογίζω. εὕρω. εὑρίσκω.

Ἡ οι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἷον, οἶνος. πλὴν τοῦ οἷμος. οἶς δὲ ἐκ τοῦ ὄϊς, ψιλοῦται.

Ἡ ου δίφθογγος ψιλοῦται. οἷον, οὐδαμῶς. πλὴν τοῦ οὕνεκα αἰτιολογικοῦ συνδέσμου. καὶ οὗ, ἀντὶ τοῦ οὗτινος. καὶ οὕτως, ἐπίρρημα. καὶ οὗτος, ἀντωνυμία.

ΤΈΛΟΣ ΣῪΝ ΘΕΩ͂
ἉΓΊΩ ΤΟΥ͂
ΠΕΡῚ ΠΝΕΥ
ΜΆΤΩΝ.

Προοίμιον τοῦ δευτέρου.

Μετὰ τὴν γνῶσιν τῶν ὀκτὼ μερῶν τοῦ λόγου, ἐχόμενον ἂν εἴη τὸ περὶ συντάξεως τινῶν ῥημάτων διαλαβόντι, ἵνα μὲν αὐτῶν ἐνεργητικά, ἵνα δὲ παθητικὰ εἰπεῖν, ἵνα δ' οὐδέτερα, κοινά, καὶ ἀποθετικά, ποσαχῶς τε ἡ τούτων μετάβασις γίγνεται, ἵν' εὐθὺς οἱ εἰσαγόμενοι τὴν φύσιν τῶν ῥημάτων μαθόντες, θεματογραφεῖν ἄρξωνται, καὶ τῆς ἑλλάδος φωνῆς ἀπογεύσωνται πρὶν ἂν τῶν ποιητῶν ἀκροάσασθαι. ἡ δὲ τοιαύτη ὑπόθεσις Ἀπολλωνίῳ μὲν τῷ δυσκόλῳ, καὶ Συγγέλῳ τῷ σπουδαίῳ γενικῶς πεπραγμάτευται. μαξίμῳ δὲ τῷ πλανούδῃ καὶ ἄλλοις, εἰδικῶς. οὐ κατὰ γένη, ἀλλὰ κατὰ στοιχεῖον. πρὸς οὓς ὅτε καιρὸς ἀναδέχειν τοὺς μαθητὰς δεῖ, ἀκριβέστερον περὶ πάντων εἰσομένους. ἐνταῦθα γὰρ οὐ πλῆθος ῥημάτων, ἀλλ' ὀλίγων τινῶν κατὰ γένη μετάβασις ὑπέδειξα. οἷς τὰ λοιπὰ τῷ βουλομένῳ παραβάλλειν ἔξεσται.

Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου περὶ συντάξεως τινῶν ῥημάτων κατὰ γένη. βιβλίον δεύτερον.

Ἐπειδὴ δ' ἡμῖν ὁ λόγος περὶ ῥήματος, διοριστέον ἂν πρῶτον αὐτό, ἔπειτα διαιρετέον. Ῥῆμα τοίνυν ἐστὶ μέρος λόγου κλιτὸν ἐν ἰδίοις μετασχηματισμοῖς, διαφόρων χρόνων δηλωτικόν, μετ' ἐνεργείας ἢ πάθους ἢ οὐδετερότητος προσώπων σημαντικόν. τούτου δὲ τὸ μέν, προσωπικόν. οἷον, λέγω. γράφω. τὸ δέ, ἀπρόσωπον. οἷον, δεῖ. χρή. καὶ τὸ μέν, βούλησιν καὶ πρᾶγμα σημαίνει. οἷον, γράφω. ἀναγινώσκω. τὸ δέ, βούλησιν μόνον. οἷον, θέλω. βούλομαι. τὸ δέ, πρᾶγμα μόνον ὡς τὰ ἀπαρέμφατα, τύπτειν, τύπτεσθαι. Ἔτι τῶν ῥημάτων τινὰ μὲν μετὰ ὀνομαστικῆς συνταττόμενα, αὐτοτέλειαν δηλοῖ. οἷον, Ἀριστοτέλης περιπατεῖ. Θέων ζῇ. ἅτινα καλεῖται ἀσύνθετα κατηγορήματα. τινὰ δὲ μετ' αὐτῆς συνταττόμενα, οὐ δηλοῖ αὐτοτέλειαν. οἷον, Σωκράτης φιλεῖ. λείπει τίνα. ἅτινα καλεῖται ἐλάττονα κατηγορήματα. τινὰ δὲ μετὰ πλαγίας τιθέμενα, πλάγιον τέλειον λόγον ἀποτελεῖ. οἷον, Σωκράτει μεταμέλει. ἅπερ καλεῖται παρασυμβάματα. τινὰ δὲ μετὰ πλαγίας ταττόμενα, πλάγιον τέλειον λόγον οὐκ ἀποτελεῖ. οἷον, Σωκράτει μέλει. λείπει γὰρ τίνος. ἅπερ καλοῦνται ἐλάττονα παρασυμβάματα. Ἔτι γένη εἴτε διαθέσεις τοῦ ῥήματος πέντε. ἐνεργητικόν. παθητικόν. οὐδέτερον. κοινόν, εἴτε

μέσον, καὶ ἀποθετικόν. καὶ τὸ μὲν ἐνεργητικὸν λῆγον ἀεὶ εἰς ω, σχηματίζει παθητικὸν εἰς μαι. οἷον, φιλῶ, φιλοῦμαι. ὅπερ καὶ μεταβατικὸν, καὶ ὀρθὸν, καὶ δραστήριον καλεῖται. τὸ δὲ παθητικὸν λῆγον εἰς μαι, πάθος σημαίνει ἀπὸ ἐνεργητικοῦ γινόμενον. ὅπερ ὡς τὰ πολλὰ μέσον γίνεται. καλεῖται δὲ καὶ ὕπτιον. τὸ δὲ οὐδέτερον κυρίως λῆγον εἰς ω, οὐ σχηματίζει παθητικὸν, οὔτε δὲ ἐνέργειαν οὔτε πάθος σημαίνει. ὅθεν καὶ ἀμετάβατον καὶ ἀπολελυμένον προσαγορεύεται. διαιρεῖται δὲ εἰς ὑπαρκτικόν. οἷον, εἰμί. ὑπάρχω. τυγχάνω. εἰς αὐτοουδέτερον. οἷον, ζῶ. πλουτῶ. εἰς ὁλοενεργητικὸν, εἴτ' αὐτενέργητον. οἷον, ἀναβαίνω. καταβαίνω. εἰς αὐτοπαθητικὸν, εἴτ' αὐτοπαθὲς, εἴτε ἰδιοπαθητικὸν, ἢ ὁλοπαθητικόν. οἷον, ἀλγῶ. πάσχω. τὸ δὲ κοινὸν εἴτε μέσον, λῆγον εἰς μαι, ὁτὲ μὲν, ἐνέργειαν, ὁτὲ δὲ πάθος σημαίνει. οἷον, βιάζομαι τὸν φίλον, καὶ βιάζομαι ὑπ' αὐτοῦ. τὸ δὲ ἀποθετικὸν κυρίως λῆγον εἰς μαι, οὐ σχηματίζεται ἀπὸ ἐνεργητικοῦ. ὡς τὰ πολλὰ δὲ ἐνέργειαν σημαίνει. ὅπερ παθητικῶς μὲν γεγραμμένον λέγεται, σημαῖνον δὲ ἐνέργειαν. διὸ καὶ αὐτενέργητον καλεῖται. οἷον, μάχομαι. αἰσθάνομαι. ἐναντιοῦμαι. σπανίως δὲ καὶ πάθος σημαίνει. διὸ καὶ αὐτοπαθὲς καλεῖται. οἷον, γίνομαι. οἴχομαι, καὶ φθείρομαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς ἰδίοις τόποις ἐροῦμεν, ὅτε τὰς εἰδικὰς αὐτῶν συντάξεις διασαφήσομεν. νῦν δὲ πρῶτον περὶ τῆς τῶν ὀνομασιῶν τῶν ῥημάτων καὶ τῆς γενικῆς αὐτῶν συντάξεως κατὰ τὸν δεινὸν Ἀπολλώνιον λέγομεν.

Περὶ τῆς ὀνομασίας τῶν ῥημάτων, καὶ γενικῆς συντάξεως κατὰ παλαιούς.

Τὰ εἰς αἰτιατικήν.

Τῶν ῥημάτων τὰ εἰς σωματικὴν διάθεσιν ἀναφερόμενα, αἰτιατικῇ συντάσσεται. οἷον, γυμνάζω. τρίβω. χαλῶ. νίπτω. ἕλκω. βιάζομαι. βρέχω. τύπτω. λύω. δεσμεύω. πλήττω. φονεύω. καίω. φλέγω. θερίζω. ζημιῶ. βλάπτω, ὅπερ ψυχῇ καὶ σώματι κοινόν. ἔτι τὰ εἰς ψυχικὴν καὶ ἠθικὴν διάθεσιν. φιλῶ. ἀγαπῶ. στέργω. δικαιῶ. ἀδικῶ. ὠφελῶ. ὑβρίζω. αἰτιῶ. λυπῶ. λοιδορῶ. κακολογῶ. ἔτι τὰ ἐπιδεικτικὰ εἴτ' ἐγκωμιαστικὰ καλούμενα, ὑμνῶ. ἐπαινῶ. ἐγκωμιάζω. εὐφημίζω. μεγαλύνω. ᾄδω. μέλπω. δοξάζω. εὐλογῶ. ἔτι τὰ σεπτικὰ, τιμῶ. σέβομαι. προσκυνῶ. προσβοῶ. κολακεύω. θωπεύω. αἰδοῦμαι. αἰσχύνομαι. ἅζο-

μαι. ἔτι τὰ διακρουστικά, κλέπτω. πλανῶ. παραλογίζομαι. σοφίζομαι. ἐξαπατῶ. φενακίζω. παίζω. περιγελῶ. ἔτι τὰ ἐπικρατητικά, ἔχω. φυλάσσω. τηρῶ. κρατῶ. ἀναγκάζω. εἴργω. ἐλαύνω. νικῶ. ἔτι τὰ ἐπινοητικά, καὶ δοξαστικά, καὶ γνωστικά. οἴομαι, καὶ οἶμαι. ὑπολαμβάνω. ὑφορῶμαι. δοξάζω. νομίζω. ἔτι τὰ ἀνακριτικά, καὶ ἐρωτηματικά, καὶ ζητητικά. οἷον, ἐξετάζω. ἀνακρίνω. ἐρευνῶ. ἐρωτῶ. ἔρομαι. εὑρίσκω. ἔτι τὰ οἰκτικά, μύρομαι. ὀδύρομαι. κλαίω. θρηνῶ. γοῶ. οἰκτίζω. ἐλεῶ. ἔτι τὰ κλητικά, κλῶ. καλῶ. φωνῶ. προσαγορεύω. ὀνομάζω. ἔτι τὰ ἐπιστημονικά, οἰκοδομῶ. σκυτοτομῶ. χρυσοχοῶ. ἰατρεύω. ἔτι τὰ προτρεπτικά, εἴτε παρορμητικά. οἷον, παρακαλῶ. ἐρεθίζω. προτρέπω. παρορμῶ. παροξύνω. ἔτι τὰ διδασκαλικὰ καὶ διαθετικά. διδάσκω. παιδεύω. σωφρονίζω. πείθω. ψύχω. θερμαίνω. ξηραίνω. ὑγραίνω. διατίθημι. ἔτι τὰ ἱκετικά, λιτανεύω. ἱκετεύω. ἐκλιπαρῶ. ἀντιβολῶ. ἔτι τὰ συμβολαίων σημαντικά, πωλῶ. πιπράσκω. ἀποδίδομαι. ἀγοράζω. πρίαμαι. ὠνοῦμαι. συμβάλλω. ἔτι τὰ φυσικά, φύω. αὐξάνω. γεννῶ.

Τὰ εἰς γενικήν.

Τὰ δὲ αἰσθητικὰ εἴτε κατ' αἴσθησιν ἀναληπτικὰ καλούμενα, γενικῇ συντάσσεται. αἴσθομαι, καὶ αἰσθάνομαι. ἀκούω. γεύομαι. ὀσφραίνομαι. ἅπτομαι. ἅπερ πολλάκις καὶ αἰτιατικῇ. τὰ δὲ τῆς ὁράσεως μόνα, αἰτιατικῇ. ὁρῶ. βλέπω. σκοπῶ. εἶδον. κατὰ γοῦν τὸν δεινὸν Ἀπολλώνιον αἱ ἄλλαι αἰσθήσεις κατ' εἰσπομπὴν γινόμεναι, τουτέστιν ἐκ τῶν ἐκτὸς εἰς ἑαυτὰς λαμβάνουσαι, ἐνεργοῦσιν. ἡ δὲ ὅρασις κατ' ἐκπομπήν, τουτέστιν ἀφ' ἑαυτῆς εἰς τὰ ὁρώμενα τὴν ἐνέργειαν πέμπει. ἔτι τὰ μετοχικὰ πάθους, οἷον, ἐρῶ. ἐπιθυμῶ. μεριμνῶ. κήδομαι. φείδομαι. ἔτι τὰ φροντιστικά τε καὶ κτητικά. φροντίζω. ἐπιμέλομαι. ἐπιμελοῦμαι. ἀπολαύω. μετέχω. κοινωνῶ. μέμνημαι. ἔτι τὰ ἀρχικά, εἴτε κτητικά. βασιλεύω. δεσπόζω. ἄρχω. τυραννῶ. ἐξουσιάζω. κυριεύω. ἡγεμονεύω. δυναστεύω. κρατῶ, τὸ ἄρχω. ἔτι τὰ διαφορικά, διαφέρω. χωρίζομαι. ἔτι τὰ ἀποστηματικά, ἀπέχω. διΐστημι.

Τὰ εἰς δοτικήν.

Τὰ δὲ περιποιητικὰ καλούμενα, δοτικῇ συντάσσεται. δίδωμι. λέγω.

πέμπω. φέρω. κομίζω. χαρίζομαι. δωροῦμαι. Ἔτι τὰ αἰτιπεριποιητικά. οἷον, ἀντιλέγω. ἀμφισβητῶ. Ἔτι τὰ ἀντιπειστικά. οἷον, φιλονεικῶ. ἐρίζω. παλαίω. πολεμῶ. ἀγωνίζομαι. ἐναντιοῦμαι. μάχομαι. Τὰ δὲ προαιρετικὰ καὶ βουλητικὰ ὡς πραγμάτων δηλωτικά, τοῖς ἀπαρεμφάτοις ὡς πραγμάτων δηλωτικοῖς συντάσσονται. οἷον, προαιροῦμαι ἀναγινώσκειν. βούλομαι γράφειν. θέλω διδάσκειν. Ἔτι καὶ τὰ ἐφετικὰ μετὰ τῆς προσλήψεως τοῦ ἄρθρου. ἐφίεμαι τοῦ ἀναγινώσκειν. ἐπιθυμῶ τοῦ μανθάνειν. Τούτων οὕτως ὀνομαζομένων, καὶ συντασσομένων γενικῶς ὑπὸ τῶν παλαιῶν, οἱ νεώτεροι πλεῖστα εἴδη τῆς συντάξεως τῶν ῥημάτων πεποιήκασιν. ἃ ἡμεῖς συναγαγόντες, εἰς ἓξ εἴδη συνεστείλαμεν. ὧν τὸ πρῶτον εἰς αἰτιατικὴν, τὸ δεύτερον εἰς δοτικὴν μεταβαίνει. τὸ τρίτον, εἰς γενικήν. τὸ τέταρτον μετὰ τὴν αἰτιατικὴν εἰς ἑτέραν αἰτιατικήν. τὸ πέμπτον μετὰ τὴν αἰτιατικὴν εἰς δοτικήν. τὸ ἕκτον μετὰ τὴν αἰτιατικὴν εἰς γενικήν. περὶ ὧν λεκτέον ἐν ἐπιτομῆς εἴδει. καὶ πρῶτον περὶ τῶν εἰς αἰτιατικὴν μεταβαινόντων.

Τὰ εἰς αἰτιατικὴν τοῦ πρώτου εἴδους.

Ῥῆμα ἐνεργητικὸν κυρίως τὸ λῆγον εἰς ω, καὶ σχηματίζον παθητικὸν εἰς μαι. οἷον, φιλῶ, φιλοῦμαι. τούτου δ᾽ ἑξαχῶς συντασσομένου, τὸ πρῶτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου ἐνεργοῦντος, ἥτις φύσει παντὶ ῥήματι προσυπονοεῖται. καὶ μεθ᾽ αὑτὸ αἰτιατικὴν προσώπου πάσχοντος. οἷον, ὁ καθηγητὴς φιλεῖ τὸν μαθητήν. Ἀγαπάω, ῶ. ὁ παρατατικὸς, ἠγάπαον, ων. ὁ παρακείμενος, ἠγάπηκα. ὁ ἀόριστος, ἠγάπησα. ὁ μέλλων, ἀγαπήσω. συντάσσεται δὲ καὶ δοτικῇ, ὅτε τὸ ἀρκεῖσθαι σημαίνει. οἷον, ἀγαπᾷ τοῖς πεπραγμένοις, ἀντὶ ἀρκεῖται. Φιλέω, ῶ. ὁ παρακείμενος, πεφίληκα. ὁ ἀόριστος, ἐφίλησα. ὁ μέλλων, φιλήσω. συντάσσεται δὲ καὶ ἀπαρεμφάτῳ, ὅτε τὸ εἴωθε σημαίνει. οἷον, φιλεῖ ἀναγινώσκειν, ἀντὶ εἴωθε. Στέργω. ὁ ἀόριστος, ἔστερξα. ὁ μέλλων, στέρξω ἀντὶ ἀγαπῶ, αἰτιατικῇ. στέργω δὲ τὸ ἐμμένω καὶ πρόσκειμαι, δοτικῇ. Ποθέω, ῶ. ὁ παρακείμενος, πεπόθηκα. ὁ ἀόριστος, ἐπόθησα. ὁ μέλλων, ποθήσω. τὸ δὲ ἀγαπῶ πλέον τοῦ φιλεῖν σημαίνει. καὶ φιλοῦμεν μὲν παρόντα, ποθοῦμεν δὲ ἀπόντα. τὸ δὲ ἐρῶ συνώνυμον ὄν, ὡς τὰ πολλὰ ἐπὶ διαβολῆς λαμβάνεται. ἐπὶ δὲ τοῦ τοιούτου γενικῇ συντάσσεσθαι φησὶν ὁ Ἀπολλώνιος. ὅτε δ᾽ ἐπ᾽ ἀγαθῷ κεῖται, πλέον τοῦ φιλεῖν σημαίνει. ὅθεν καὶ τὸν ἀγαθὸν βασιλέα φασὶ μὴ μόνον ὑπ᾽ ἀνθρώπων φιλεῖσθαι, ἀλ-

γεῖ καὶ ὁρᾶσθαι. Μισέω, ῶ. ὁ παρακείμενος, μεμίσηκα. ὁ ἀόριστος, ἐμίσησα. ὁ μέλλων, μισήσω. Βλάπτω. ὁ ἀόριστος, ἔβλαψα. ὁ μέλλων, βλάψω. Τύπτω. ὁ ἀόριστος, ἔτυψα. ὁ μέλλων, τύψω. Καταλύω. ὁ παρακείμενος, καταλέλυκα. ὁ ἀόριστος, κατέλυσα. ὁ μέλλων, καταλύσω, ἀντὶ ἀφανίζω. καταλύω δὲ εἰς τὸ ξενοδοχεῖον, καὶ καταλύω παρὰ τῷ ξένῳ, ἀντὶ τοῦ ξενίζομαι. ὅθεν καὶ κατάλυμα ἡ πρόσκαιρος κατοικία. Ἔχω, ἀνώμαλον. οὗ ὁ μέλλων, ἕξω. ὁ παρακείμενος, ἔσχηκα. ὁ δεύτερος ἀόριστος ἔσχον, ἀπὸ τοῦ σχέω, ῶ. οὗ ὁ μέλλων, σχήσω. ἔχω δὲ τὸ κέκτημαι, τὸ κρατῶ, τὸ οἰκῶ, τὸ φορῶ, τὸ ἐλαύνω, αἰτιατικῇ. ἔχω τὸ δύναμαι, ἀπαρεμφάτῳ. ἔχω ποιεῖν, ἀντὶ δύναμαι. ἔχω τὸ διάκειμαι, ἐπιρρήματι καὶ γενικῇ. οὐκ ἔχω καὶ οὕτω γνώμης ἔχω. καὶ καλῶς ἔχω τοῦ σώματος. καὶ καλῶς ἔχω τὸ σῶμα. καὶ καλῶς ἔχει μοι ὁ δεῖνα, ἀντὶ ἐπιτήδειός μου ἐστίν. ἔχομαι δέ σου ἀντὶ ἅπτομαι, κοινὸν μετὰ γενικῆς. Θαυμάζω. ὁ παρακείμενος, τεθαύμακα. ὁ ἀόριστος, ἐθαύμασα. ὁ μέλλων, θαυμάσω, ἀντὶ τοῦ ἐπαινῶ. θαυμάζω δὲ τοῦ ἀνδρὸς, ἐπὶ κατηγορίας. καὶ ἔτι θαυμάζω τὸν ἄνδρα σπανίως. Ὑμνῶ, ἐπὶ θεοῦ. ὁ ἀόριστος, ὕμνησα. ὁ μέλλων, ὑμνήσω. Ἐπαινῶ λόγοις. ὁ ἀόριστος, ἐπῄνεσα. ὁ μέλλων, ἐπαινέσω. Ἐγκωμιάζω γραφῇ. ὁ ἀόριστος, ἐνεκωμίασα. ὁ μέλλων, ἐγκωμιάσω. Ζηλόω, ῶ, τὸ ἐπαινῶ, καὶ μιμοῦμαι, καὶ φθονῶ. ὁ ἀόριστος, ἐζήλωσα. ὁ μέλλων, ζηλώσω. Γινώσκω, ἀνώμαλον. ὁ παρατατικὸς, ἐγίνωσκον. καὶ πλέον οὔ. ἀπὸ δὲ τοῦ γνόω ῶ, καὶ γνῶμι, ὁ παρακείμενος, ἔγνωκα. ὁ δεύτερος ἀόριστος, ἔγνων. ὁ μέλλων, γνώσομαι. καὶ ἔτι ἀναγινώσκω τὸ βιβλίον, καὶ διαγινώσκω, καὶ ἐπιγινώσκω. συγγινώσκω δέ σοι τῆς ἁμαρτίας. καὶ καταγινώσκω σου ἀμαθίαν. καὶ μεταγινώσκω ἐπὶ τοῖς πεπραγμένοις. τὸ δὲ ἀπογινώσκω, ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ. Ὁράω, ῶ. ὁ παρατατικὸς, ἑώραον, ων. ὁ παρακείμενος, ἑώρακα. ἔτι τὸ βλέπω καὶ εἶδον ἀόριστος δεύτερος. Ἀπατάω, ῶ. ὁ ἀόριστος, ἠπάτησα. ὁ μέλλων, ἀπατήσω. Ἀτιμάζω. ὁ ἀόριστος, ἠτίμασα. ὁ μέλλων, ἀτιμάσω. Βάλλω. ὁ παρατατικὸς, ἔβαλλον. ὁ μέλλων, βαλῶ. ἀόριστος δεύτερος, ἔβαλον. παρακείμενος βέβληκα, ἀπὸ τοῦ βλῶ. οὗ ὁ μέλλων, βλήσω. ὡσαύτως δὲ καταβάλλω, καὶ διαβάλλω. συμβάλλω δὲ καὶ προσβάλλω, δοτικῇ. ὑποβάλλω δέ σοι τόδε. ὁμοίως καὶ τὸ βάπτω, βαπτίζω. κρίνω, καὶ διακρίνω, καὶ ἐκκρίνω, καὶ ἀνακρίνω, καὶ ἐπικρίνω. βαστάζω. βασανίζω. ἀγείρω. ἄγχω. ἀκοντίζω. λυπῶ. αἰνῶ. ἀλινδῶ. ἀλείφω. ἅπτω καὶ ἀνάπτω πῦρ.

νίπτω τὰς χεῖρας πρὸ τοῦ ἀρίστου. ἀπονίπτω δὲ μετὰ τὸ ἄριστον. γλύπτω. δάκνω. δαμάζω. δελεάζω. δικάζω. δικαιῶ. ἀδικῶ. δοκιμάζω, καὶ ἀποδοκιμάζω. καὶ ἄλλα πάμπολλα. περὶ ὧν εἰπεῖν οὐ τοῦ παρόντος σκοποῦ. ἱκανῶς γὰρ ἄλλοις εἴρηται κατὰ στοιχεῖον, καὶ Μαξίμῳ τῷ Πλανούδῃ ἐν τῷ περὶ μεταβατικῶν καὶ ἀμεταβάτων. Ἰστέον ὅτι τοῖς τοιούτοις ῥήμασι τίθεται δοτικὴ πρὸ τῆς αἰτιατικῆς, χάριν ἢ περιποίησιν δηλοῦσα. οἷον, φιλῶ σοι τὸν υἱόν. τύπτω σοι τὸν παῖδα, ἤτοι σοὶ χαριζόμενος. καὶ μετὰ τὴν αἰτιατικὴν τίθεται δοτικὴ ὀργανικῶς, φιλῶ σε ὅλῃ ψυχῇ. βάλλω σε μήλοις. πολλάκις δὲ καὶ γενικὴ κατ' ἔλλειψιν τοῦ ἕνεκα. φιλῶ σε τῆς ἀρετῆς. μισῶ σε τῆς κακίας. θαυμάζω σε τοῦ νοῦ.

Τὰ εἰς δοτικὴν τοῦ δευτέρου εἴδους.

Τὸ δεύτερον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου ἐνεργοῦντος, καὶ μεθ' αὑτὸ δοτικὴν προσώπου πάσχοντος. οἷον, ὁ σοφὸς Ἄλδος τὰ μέγιστα βοηθεῖ τοῖς φιλέλλησιν ἐντυπῶν τὰ βιβλία. Βοηθέω, ῶ. ὁ παρακείμενος, βεβοήθηκα. ὁ ἀόριστος, ἐβοήθησα. ὁ μέλλων, βοηθήσω. Πολεμέω, ῶ. ὁ ἀόριστος, ἐπολέμησα. ὁ μέλλων, πολεμήσω. ὅπερ καὶ αἰτιατικῇ συντάσσεται. τὸ δὲ καταπολεμῶ, αἰτιατικῇ. καὶ ἐκπολεμῶ ἕτερον ἑτέρῳ, ἀντὶ πολέμιον ποιῶ. Βασκαίνω. ὁ ἀόριστος, ἐβάσκηνα. ὁ μέλλων, βασκανῶ, ἀντὶ τοῦ φθονῶ. βασκαίνω δέ σε, ἀντὶ τοῦ διαβάλλω, καὶ αἰτιῶμαι. Φθονέω, ῶ. ὁ ἀόριστος, ἐφθόνησα. ὁ μέλλων, φθονήσω. Πιστεύω. πεπίστευκα. πιστεύσω. Ἀπιστέω, ῶ. ἠπίστησα. ἀπιστήσω. Λειτουργέω, ῶ. ἐλειτούργησα. λειτουργήσω. ὡσαύτως καὶ διακονέω, ῶ, καὶ ὑπουργέω, ῶ, καὶ ὑπηρετέω, ῶ. Ἐνοχλέω, ῶ, καὶ διοχλέω, ῶ. ὁ ἀόριστος, ἠνώχληκα διπλῶς αὐξανόμενος. ὁ μέλλων, ἐνοχλήσω. καὶ ἐνοχλῶ σε. Ἐμπαίζω σοι. ὁ ἀόριστος, ἐνέπαιξα. ὁ μέλλων, ἐμπαίξω. Ἐγκαλέω, ῶ. ὁ μέλλων, ἐγκαλέσω. καὶ ἐγκαλῶ σοι φόνου. Ἐμβλέπω. Ἐπιβουλεύω. Χρηματίζω τὸ ὁμιλῶ. Χρηματίζομαι δὲ τὸ συλλέγω χρήματα, αἰτιατικῇ. Τιμωρῶ, τὸ ἐκδικῶ. τιμωροῦμαι δὲ τὸ κολάζω, αἰτιατικῇ. Ἀμύνω καὶ ἐπαμύνω, τὸ βοηθῶ καὶ ἐκδικῶ. Προσκρούω. καὶ ἄλλα πλεῖστα. Ἰστέον ὅτι καὶ τούτοις τίθεται δοτικὴ ὀργανικῶς. οἷον, βοηθῶ σοι ὅπλοις. καὶ γενικὴ ἐλλειπτικῶς, ὡς εἴρηται, βοηθῶ σοι τῆς ἀρετῆς. πολεμῶ σοι τῆς κακίας. φθονῶ σοι τῆς εὐτυχίας, ἀντὶ ἕνεκα.

Τὰ εἰς γενικὴν τοῦ τρίτου εἴδους.

Τὸ τρίτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστι-

κὴν προσώπου ἐνεργοῦντος, καὶ μεθ' αὐτὸ γενικὴν προσώπου πάσχοντος. οἷον, ἡ ἐκλαμπροτάτη ἀρχὴ τῶν ἐνετῶν ἄρχει καὶ τῆς κρήτης. Ἄρχω. ὁ ἀόριστος, ἦρξα. ὁ μέλλων, ἄρξω, τὸ βασιλεύω καὶ τὸ ἀρχὴν ποιῶ. καὶ ἄρχομαι τοῦ βιβλίου, μέσον. Βασιλεύω. ὁ ἀόριστος, ἐβασίλευσα. ὁ μέλλων, βασιλεύσω. βασιλεύω δέ σε παρὰ τῇ θείᾳ γραφῇ, ἀντὶ τοῦ βασιλέα σε ποιῶ. ὡσαύτως καὶ δεσπόζω σε, καὶ κυριεύω σε, ἀντὶ δεσπότην καὶ κύριόν σε καθιστῶ. Κυριεύω. ὁ ἀόριστος, ἐκυρίευσα. ὁ μέλλων, κυριεύσω. Ἡγεμονεύω. ἡγεμόνευσα. ἡγεμονεύσω. Δυναστεύω. ἐδυνάστευσα. ὁ μέλλων, δυναστεύσω. Κρατέω ῶ, τὸ κυριεύω. κρατῶ δέ σε, ἀντὶ νικῶ. Κατηγορῶ σου, ἀντὶ κατὰ σοῦ ἀγορεύω. καὶ κατηγορῶ σου φόνον, καὶ ἔτι φόνου. Ἀμελέω, ῶ. ἠμέλησα. ἀμελήσω. Φροντίζω, καὶ ἐκφροντίζω σου, καί σε πολλάκις. Ὀλιγωρέω, ῶ σου, ἀντὶ καταφρονῶ. ὠλιγώρησα. ὁ μέλλων, ὀλιγωρήσω. Τίθεται δὲ καὶ τούτοις δοτικὴ ὀργανικῶς, τυραννεῖ τοῦ δήμου ὅπλοις. καὶ γενικὴ ἐλλειπτικῶς, τυραννεῖ ἐκείνων τῆς ὠμότητος καὶ ἀχαριστίας.

Τὰ μετὰ τὴν αἰτιατικὴν εἰς αἰτιατικήν.

τέταρτον εἶδος.

Τὸ τέταρτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν δρῶσαν, καὶ μεθ' αὐτὸ αἰτιατικὴν πάσχουσαν. μεθ' ἣν ἑτέραν αἰτιατικήν. οἷον, ὁ κωνσταντῖνος ἐν μεσσήνῃ τῆς σικελίας διδάσκει τοὺς ἑαυτοῦ μαθητὰς ποιητικὰ καὶ ῥητορικὰ μαθήματα. Διδάσκω σε γραμματικὴν, καὶ διδάσκω σοι λόγους. ὁ παρατατικὸς, ἐδίδασκον. καὶ πλέον οὔ. τὰ γὰρ εἰς σκω, μέχρι παρατατικοῦ κλίνονται. ἀπὸ δὲ τοῦ διδάχω ἀχρήστου, ἐδίδαξα, καὶ διδάξω. Παιδεύω σε παιδείαν. ὁ ἀόριστος, ἐπαίδευσα. ὁ μέλλων, παιδεύσω. Νουθετῶ σε νουθεσίαν. ὁ ἀόριστος, ἐνουθέτησα. ὁ μέλλων, νουθετήσω. Ζημιόω, ῶ σε χρυσίον, καὶ ἔτι χρυσίῳ. ἐζημίωσα. ζημιώσω. Κλέπτω σε τοὔνδυμα. ὁ παρακείμενος, κέκλοφα. ὁ μέλλων, κλέψω. Κρύπτω σε τὰ ἐμά. Ἀποστερῶ σε χρήματα, καὶ ἔτι τῶν χρημάτων. ἀπεστέρησα. ἀποστερήσω. Ἀφαιρέω, ῶ, καὶ ἀφαιρέομαι οῦμαι σε τὰ βιβλία, καὶ ἔτι τῶν βιβλίων. καὶ ἀφαιρῶ σου τόδε, καὶ ἀφαιρῶ σοι τόδε. ὁ παρακείμενος, ἀφήρηκα. ὁ μέλλων, ἀφαιρήσω: ἔτι ἐνδύω σε τὸ ἱμάτιον, καὶ περιδύω σε. καὶ ἐκδύω, καὶ ἀποδύω. Μυέω ῶ σε τὰ μυστήρια. Εἰσπράττω σε χρήματα.

ἀπαιτῶ σε τὸ χρέος, καὶ ἄλλα πάμπολλα.

Πέμπτον εἶδος. τὰ μετὰ τὴν αἰτιατικὴν, δοτικήν.

Τὸ πέμπτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν ἐνεργοῦσαν, καὶ μετ' αὐτὸ αἰτιατικήν. μεθ' ἣν δοτικὴν, ἢ καὶ ἀντιστρόφως. οἷον, δίδωμί σοι βίβλον. ἀγγέλλω σοι τόδε. ἤγγειλα. ἀγγελῶ. μηνύω σοι καινά. ἐμήνυσα. μηνύσω. δίδωμί σοι χρήματα. δέδωκα. δώσω. λέγω σοι λόγον. καὶ λέγω σε περὶ λόγοις σπουδάζειν. ἔλεξα. λέξω. ποιῶ σοι ἀγαθὸν κοινῶς, καὶ ποιῶ σε ἀγαθὸν ἀττικῶς. πεποίηκα. ἐποίησα. ποιήσω. δράω σοι τόδε, καὶ δρῶ σε τόδε ἀττικῶς. δέδρακα. δράσω. κομίζω σοι χρυσίον, καὶ κομίζω σε εἰς τὸν ἀγρόν. κομίζομαι δέ σε κοινὸν, ἀντὶ τοῦ λαμβάνω. ἐκόμισα. κομιῶ. φέρω σοι τὸν κύνα, καὶ φέρω αὐτὸν εἰς τὸν σὸν οἶκον. ἐνήνοχα. ἤνεγκον. οἴσω μέλλων, ἀπὸ τοῦ οἴω. ἄγω σοι τὸν ἄνθρωπον, καὶ ἄγω σε εἰς τὴν πόλιν. ὁ δεύτερος ἀόριστος ἦγον, καὶ ἀττικῶς ἤγαγον. μέλλων, ἄξω. σημείωσαι δὲ ὅτι τὸ μὲν φέρω, ἐπὶ ἀψύχων. τὸ δὲ ἄγω, ἐπὶ ἐμψύχων. τὸ δὲ κομίζω, ἐπ' ἀμφοτέρων. ἀφίημί σοι παρακαταθήκην, καὶ ἀφίημί σε ἁπλῶς. καὶ ἀφίημί σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω. ἀφῆκα. ἀφήσω. πέμπω σοι γράμματα, καὶ πέμπω σε εἰς τὴν ῥώμην. παρακείμενος, πέπομφα. πέμψω μέλλων. γράφω σοι ἐπιστολήν. καὶ ἀντιστρόφως, γράφω σε τοῖς πολίταις. καὶ γράφομαί σε, ἀντὶ τοῦ αἰτιῶμαι. ὅθεν καὶ τὸ ἐγράψατο τὸν ἄνθρωπον ἀσεβείας ἢ παρανόμων. ἐπιστέλλω σοι γράμματα, καὶ πράγματα. καὶ ἐπιστέλλω σε εἰς τὸν κῆπον. θύω τῷ θεῷ θυσίαν αἰαὶ μακρὸν. τέθυκα. ἔθυσα. θύσω.

Ἕκτον εἶδος. τὰ μετὰ τὴν αἰτιατικὴν, γενικήν.

Τὸ ἕκτον εἶδος καὶ τελευταῖον τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν δρῶσαν, καὶ μετ' αὐτὸ αἰτιατικήν. μεθ' ἣν γενικήν. ἢ ἐξ αὐτῆς τῆς φύσεως τοῦ ῥήματος διαλυομένου εἰς ὄνομα, ἀφ' οὗ ἡ γενικὴ ποιεῖται. οἷον, ἀξιῶ σε τιμῆς, ἀντὶ ἄξιον ἡγοῦμαί σε τιμῆς. γυμνῶ σε τῶν ἀγαθῶν, ἀντὶ γυμνόν σε καθιστῶ. ἢ νοουμένης ἔξωθεν τῆς προθέσεως ἐλλειπτικῶς. οἷον, λύω σε τῶν δεσμῶν, δηλονότι ἀπὸ τῶν δεσμῶν. διώκω σε τῆς οἰκίας, ἀντὶ ἐκ τῆς οἰκίας. ἀξιόω σε τιμῆς, ἀντὶ ἄξιόν σε κρίνω τιμῆς. καὶ ἀξιῶ σε, ἀντὶ

παρακαλῶ. καὶ ἀξιῶ σε ἐντυπῶσαι τὸ βιβλίον. ἠξίωσα. ἀξιώσω. Γυμνόω ῶ σε τῆς ἀρχῆς, ἀντὶ τοῦ γυμνόν σε καθιστῶ. ἐγύμνωσα. γυμνώσω. Ἐλαττόω ῶ σε τοῦ ἑταίρου, ἀντὶ ἐλάττω δείκνυμι. ἠλάττωσα. ἐλαττώσω. Ἀθωόω ῶ σε τοῦ φόνου, ἀντὶ τοῦ ἀθῶόν σε ποιῶ. Κενόω ῶ σε τῶν πραγμάτων, ἀντὶ τοῦ κενόν σε ποιῶ. Πληρόω ῶ σε τῶν ἀγαθῶν, ἀντὶ πλήρη σε ποιῶ. Γεμίζω τὴν φιάλην ὕδατος. Κορέννυμί σε τροφῆς. ἐν τούτοις καὶ τοῖς ὁμοίοις γίνεται τοῦ ῥήματος διάλυσις εἰς ὄνομα καὶ ῥῆμα, ὡς εἴρηται. ἐν δὲ τοῖς ἑπομένοις, ἔνδεια προθέσεως. Παύω σε τοῦ κακοῦ. καὶ παύω σε παίζειν, καὶ ἔτι τοῦ παίζειν. ὁ ἀόριστος, ἔπαυσα. ὁ μέλλων, παύσω. Διώκω σε, ἀντὶ τοῦ ζητῶ. καὶ διώκω σε τῆς οἰκίας, ἀντὶ ἐλαύνω. καὶ διώκω σε κλοπῆς, ἀντὶ κατηγορῶ. ὅπερ καὶ διωκάθω λέγεται. Ἐλαύνω σε τῆς πόλεως, καὶ ἀπελαύνω σε τοῦ βωμοῦ. Ἐκκλείω σε τοῦ οἰκήματος. Ἐλαφρύνω σε τοῦ βάρους. Κουφίζω σε τοῦ χρέους. Ἀπαλλάττω σε τῶν δεινῶν, ἀντὶ τοῦ ἀπολύω. ἀπαλλάττομαι δὲ ἀπὸ σοῦ, ἀντὶ τοῦ ἄπειμι. ὅθεν τὸ ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ, ἀντὶ τοῦ ἄπιτε. Ἐλευθερῶ σε τῆς δουλείας τῶν ἀσεβῶν. Μακρύνω σε τῆς ὁδοῦ. Ἁρπάζω σε τοῦ πυρός. Ἐγείρω σε καὶ ἐξεγείρω σε τοῦ ὕπνου. Καθαίρω σε τοῦ ῥύπου. Κρεμῶ σε τοῦ ποδός. Καὶ τὰ συμβολαίων δὲ σημαντικά, δῆλα δή. τὸ πωλῶ τὸν ἵππον δέκα χρυσίων, καὶ ἀποδίδομαι βοῦν σίτου, καὶ πιπράσκω τὴν οἰκίαν ἑκατὸν ταλάντων, καὶ πρίαμαι μαῦρον τριάκοντα στατήρων, καὶ ὠνοῦμαι καὶ ἀγοράζω, ἢ καθ' ὁμοιότητα τῶν προτέρων ὅτι τὸ τίμημα ἐπὶ γενικῆς καὶ ἐπὶ δοτικῆς ἔν τισιν, ἢ κατ' ἔλλειψιν τῆς διὰ προθέσεως ἀττικῶς, ὥς τισιν ἔδοξεν. ὅπερ οὐκ ἀρέσκει. Καὶ τὰ μὲν αἰτιατικὰ εἴδη τῆς συντάξεως, ταῦτα. εἰς ἃ καὶ τὰ δοκοῦντα μέν, μὴ ὄντα δὲ ἀνάγονται. τὸ γὰρ ἀκούω σου τοὺς λόγους, ἀποδέχομαί σου τὸν τρόπον, ταὐτόν ἐστι τῷ πρώτῳ τῷ εἰς αἰτιατικὴν μεταβαίνοντι. τὸ γὰρ ῥῆμα εἰς αἰτιατικὴν μεταβαίνει. ἡ δὲ γενική, ἢ ἀπὸ αἰτιατικῆς ποιεῖται, ἢ ἀπὸ προθέσεως ἐπί τισιν, ἢ ἐλλειπτικῶς. Ἔτι τὸ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ταὐτόν ἐστι κατ' ἔλλειψιν τοῦ ἕνεκα. ἄγαμαί σε τοῦ φρονήματος. ἐπαινῶ σε τοῦ νοῦ. θαυμάζω σε τῆς σοφίας. ταῦτα δὲ καὶ ἀντιστρόφως τίθενται. ἄγαμαί σου τὸ φρόνημα. ἐπαινῶ σου τὸν νοῦν. θαυμάζω σου τὴν σοφίαν. Ἔτι τὸ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν ταυ-

τὸν ἐστὶ τῷ προτέρῳ, ἢ ὀργανικῶς. οἷον, ἀμείβομαί σε δώροις. δεξιοῦμαί σε τραπέζῃ. ἢ διαλυτικῶς, ἐξισῶ σε τῷ Ἡρακλεῖ. ὁμοιῶ σε τῷ Ἀχιλλεῖ, ἀντὶ τοῦ ὅμοιόν σε ἐκείνοις κρίνω. Ἔτι δὲ εἰς αἰτιατικὴν μόνον μεταβαῖνον, μεθ' ἣν τίθεμεν γενικὴν μετὰ προθέσεως. οἷον, ἀκούω τοὺς ποιητὰς παρὰ τοῦ Κωνσταντίνου. τοῦτο δὲ καὶ αἰτιατικῇ ἄλλως. μερίζω τὴν αἶραν ἀπὸ τοῦ σίτου. ἕλκω τὸν κλέπτην ἀπὸ τοῦ ἀσύλου. Τὸ δὲ ἀπὸ δοτικῆς εἰς γενικήν, ταυτόν ἐστι τῷ δευτέρῳ τῷ εἰς δοτικὴν μεταβαίνοντι. οἷον, ἀμφισβητῶ σοι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς. συγγινώσκω σοι τῆς ἀνοίας ἐλλειπτικῶς. δεῖ δέ μοι χρημάτων διαλυτικῶς, ἀντὶ ἐνδεᾶ μοι ἐστὶ χρημάτων. κοινωνῶ σοι τῆς δόξης, ἀντὶ τοῦ κοινωνός σοι γίνομαι τῆς δόξης. μετέχω σοι τοῦ πάθους, ἀντὶ μέτοχός σοι γίνομαι τοῦ πάθους. καὶ ἔτι μετέχω σοι τὸ πάθος. ὅθεν καὶ τὸ τοῦ κωμικοῦ, οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί. τούτων οὕτως εἰρημένων, ἐχόμενον ἂν εἴη τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν παθητικῶν διαλαβεῖν.

Περὶ τῶν παθητικῶν. πρῶτον εἶδος.

Ῥῆμα παθητικὸν κυρίως ἐστὶν ὅπερ λῆγον εἰς μαι ἀπὸ ἐνεργητικοῦ σχηματιζόμενον, πάθος σημαίνει. φιλοῦμαι, ὅτι φιλῶ. νικῶμαι, ὅτι νικῶ. πλεῖστα δὲ τῶν παθητικῶν κοινῶς λαμβάνονται ἐνέργειαν καὶ πάθος σημαίνοντα ἔθει ἀττικῷ. καὶ μάλιστα οἱ καλούμενοι μέσοι χρόνοι αὐτῶν, εἰ καὶ πλέον εἰς τὸ ἐνεργητικὸν ῥέπουσι. Τοῦ δὲ παθητικοῦ ἑξαχῶς συνταττομένου ὥσπερ καὶ τὰ ἐνεργητικά, τὸ πρῶτον εἶδος αὐτῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου πάσχοντος, καὶ μεθ' αὐτὸ γενικὴν προσώπου ἐνεργοῦντος μετὰ τῆς προσηκούσης προθέσεως, τῆς ὑπὸ, ἢ παρὰ, ἢ πρὸς. οἷον, ὁ μαθητὴς φιλεῖται ὑπὸ τοῦ διδασκάλου. Ἰστέον δὲ ὅτι ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς προεπινοεῖται ὀνομαστικὴ δρῶσα, οὕτως ἐν τοῖς παθητικοῖς πάσχουσα. καὶ ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς ἡ πλαγία πάσχει, οὕτως ἐν τοῖς παθητικοῖς δρᾷ μετὰ προθέσεως. καὶ συμβαίνει ἀντεστραμμένως τοῖς ἄκροις. ὁ διδάσκαλος φιλεῖ τὸν μαθητήν. ὁ μαθητὴς φιλεῖται ὑπὸ τοῦ διδασκάλου, καὶ διδάσκεται πρὸς αὐτοῦ, καὶ ὠφελεῖται παρ' αὐτοῦ.

Ἀγαπάομαι, ῶμαι. ἠγάπημαι. ἀγαπήσομαι.
Φιλέομαι, οῦμαι. πεφίλημαι. φιλήσομαι.
Στέργομαι. ἐστερξάμην. στέρξομαι.
Ποθέομαι, οῦμαι. πεπόθημαι. ποθήσομαι.

Μισέομαι, οῦμαι. μεμίσημαι. μισήσομαι.
Βλάπτομαι. βέβλαμμαι. βλάψομαι.
Τύπτομαι. τέτυμμαι. τύψομαι.
Καταλύομαι. καταλέλυμαι. καταλύσομαι.
Ἔχομαι. ἔσχημαι. ἕξομαι.
Θαυμάζομαι. τεθαύμασμαι. θαυμάσομαι.
Ὑμνέομαι, οῦμαι. ὕμνημαι. ὑμνήσομαι.
Ἐπαινέομαι, οῦμαι. ἐπήνεμαι. ἐπαινέσομαι.
Ἐγκωμιάζομαι. ἐνεγκωμιασάμην. ἐγκωμιάσομαι.
Ζηλόομαι, οῦμαι. ἐζήλωμαι. ζηλώσομαι.
Γινώσκομαι. ἔγνωσμαι. γνώσομαι.
Ὁρῶμαι. ἑώραμαι. ὠράθην.
Ἀπατάομαι, ῶμαι. ἠπάτημαι. ἀπατήσομαι.
Ἀτιμάζομαι. ἠτίμασμαι. ἀτιμάσομαι.

Βάλλομαι. βέβλημαι. βλήσομαι. ὁμοίως καὶ τὸ βαπτίζομαι. κρίνομαι. βαστάζομαι. βασανίζομαι. λυποῦμαι. αἰτιῶμαι. καὶ τὰ ἄλλα ὡσαύτως κατὰ τὸν τῶν παθητικῶν τύπον. Δεῖ δὲ εἰδέναι ὅτι ἐν τοῖς παθητικοῖς τίθεται δοτικὴ ἡ αὐτὸ σημαίνουσα ὅπερ ἡ γενικὴ μετὰ προθέσεως. οἷον, φιλοῦμαί σοι, ἀντὶ ὑπὸ σοῦ. ἔτι ὀργανικῶς, βάλλομαι μήλοις. καὶ γενικὴ ἐλλειπτικῶς, ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς, φιλοῦμαι ὑπὸ σοῦ τῆς ἀρετῆς, ἢ διὰ τὴν ἀρετήν. μισοῦμαι τῆς κακίας, ἀντὶ ἕνεκα. Ἔτι ἴδιον τῶν παθητικῶν συνεκδοχικῶς λαμβάνειν αἰτιατικήν, ὅτε τὸν πάσχοντα τόπον δηλοῦσιν. οἷον, πλήττομαι τὸν πόδα. τέρπομαι τὴν φρένα.

Δεύτερον εἶδος.

Τὸ δεύτερον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου πάσχοντος, καὶ μεθ' αὐτὸ γενικὴν προσώπου ἐνεργοῦντος μετὰ τῆς προσηκούσης προθέσεως. Βοηθέομαι, οῦμαι. βεβοήθημαι. βοηθήσομαι.
Πολεμέομαι, οῦμαι. πεπολέμημαι. πολεμήσομαι.
Βασκαίνομαι. βασκανοῦμαι.
Φθονέομαι, οῦμαι. ἐφθόνημαι. φθονήσομαι.
Πιστεύομαι. πεπίστευμαι. πιστεύσομαι.
Ἀπιστέομαι, οῦμαι. ἠπίστημαι. ἀπιστήσομαι.
Λειτουργέομαι, οῦμαι. Ὑπηρετέομαι, οῦμαι.
Ἐνοχλοῦμαι. ἠνώχλημαι. ἐνοχλήσομαι.

Ἐμπαίζομαι. ἐγκαλοῦμαι. ἐπιβουλεύομαι. προσκρούομαι, καὶ τἄλλα. Ὁμοίως καὶ τούτοις ἕπεται τὰ τοῦ πρώτου. βοηθοῦμαί σοι, ἀντὶ ἀπὸ σοῦ. πολεμοῦμαι ὅπλοις. πιστεύομαι τῆς καλοκαγαθίας. ἀπιστοῦμαι τῆς κακίας. φθονοῦμαι τῆς εὐτυχίας.

Τρίτον εἶδος.

Τὸ τρίτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ τὴν συνήθη ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὑτὸ γενικὴν μετὰ προθέσεως. οἷον, ἡ σικελία ἄρχεται ἀπὸ τοῦ βασιλέως τῆς ἀραγονίας.

Ἄρχομαι. ἠρξάμην. ἄρξομαι. Βασιλεύομαι. βεβασίλευμαι. βασιλεύσομαι. Κυριεύομαι. κεκυρίευμαι. κυριεύσομαι. Ἡγεμονεύομαι. ἡγεμόνευμαι. ἡγεμονεύσομαι. Δυναστεύομαι. δεδυνάστευμαι. δυναστεύσομαι.

Κρατοῦμαι. κεκράτημαι. κρατήσομαι.

Κατηγοροῦμαι. κατηγόρημαι. κατηγορήσομαι.

Ἀμελοῦμαι. ἠμέλημαι. ἀμελήσομαι.

Φροντίζομαι. πεφρόντισμαι. φροντίσομαι.

Ὀλιγωροῦμαι. ὠλιγώρημαι. ὀλιγωρήσομαι.

Τίθεται καὶ τούτοις τὰ αὐτά. βασιλεύομαί σοι, ἀντὶ ὑπὸ σοῦ. τυραννοῦμαι ὑπὸ σοῦ ὅπλοις. καὶ ἐλλειπτικῶς, ὀλιγωροῦμαι τῆς ἀχαριστίας. ἀμελοῦμαι τῆς φειδωλίας. Τέταρτον εἶδος.

Τὸ τέταρτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν δρῶσαν, καὶ μεθ' αὑτὸ γενικὴν ἐνεργοῦσαν. μεθ' ἣν τὴν οὖσαν αἰτιατικὴν ἐν τοῖς ἐνεργητικοῖς. οἷον, οἱ μαθηταὶ διδάσκονται ὑπὸ κωνσταντίνου γραμματικήν. Διδάσκομαι παρὰ σοῦ λόγοις. δεδίδαγμαι. ἐδιδάχθην. διδάξομαι. ἐδιδαξάμην. καὶ διδάσκομαί σοι ῥητορικήν, ἀντὶ ὑπὸ σοῦ. καὶ τὸ τοῦ κωμικοῦ, ἐδιδαξάμην μέντοι σε νὴ Δί' ὦ μέλε, ἀντὶ εἰς διδάσκαλον ἔπεμψα διδαχθῆναι. Παιδεύομαι ἀπὸ σοῦ παιδείαν. πεπαίδευμαι. παιδεύσομαι. Νουθετοῦμαι πρὸς σοῦ νουθεσίαν σεμνοτάτην. Ζημιοῦμαι παρὰ σοῦ χρυσίον, ἢ χρυσίῳ. Κλέπτομαι παρὰ σοῦ τὰ χρήματα. ἀποστεροῦμαι παρὰ σοῦ τὰς βίβλους, ἢ τῶν βίβλων. ἀπεστέρημαι. ἀποστερήσομαι. Ἀφαιροῦμαι ὑπὸ σοῦ τὴν ἐσθῆτα, ἢ τῆς ἐσθῆτος. ἀφῄρημαι. ἀφαιρήσομαι. ἀφῄρημαι παιδείας καὶ λόγων, οὓς κτήσασθαι ἠδυνάμην καὶ ἠμέλησα. ἀπεστέρημαι δὲ τῶν ἐμῶν ἄκων. Ἐνδύομαι ὑπὸ σοῦ χιτῶνα, καὶ περιδύομαι, καὶ ἐκδύομαι. Μυοῦμαι ὑπὸ σοῦ τὰ ἱερὰ γράμματα. Εἰσπράττομαι παρὰ σοῦ χρήματα. Ἀπαιτοῦμαι παρὰ σοῦ τὸ χρέος.

Πέμπτον εἶδος.

Τὸ πέμπτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὐτὸ τὴν συνήθη γενικὴν, καὶ τὴν οὖσαν δοτικὴν ἐν τοῖς ἐνεργητικοῖς. οἷον, τὸ βιβλίον ἐστάλη μοι παρὰ σοῦ. Ἀγγέλλομαι. ἤγγελμαι. ἀγγελοῦμαι. Μηνύομαι. μεμήνυμαι. ἐμηνύθην. μηνύσομαι. Δίδομαι. δέδομαι. ἐδόθην. δόσομαι. Λέγομαι. ἐλέχθην. λέξομαι. Ποιοῦμαι. πεποίημαι. καὶ πεποίηται τῷ δεῖνι λόγος, ἀντὶ ὑπ' ἐκείνου συνετέθη. ποιήσομαι. Δρῶμαι. δράσομαι. Κομίζομαι. κεκόμισμαι. κομίσομαι. Φέρομαι. ἐνήνεγμαι. οἴσομαι. Ἄγομαι. ἦγμαι. ἤχθην. ἄξομαι. Ἀφίεμαι. ἀφεῖμαι. ἀφέθην. ἀφήσομαι. Πέμπομαι. ἐπέμφθην. πέμψομαι. Γράφομαι. γέγραμμαι. γράψομαι. Ἐπιστέλλομαι. ἐπέσταλμαι. ἐπιστελοῦμαι. Θύομαι. τέθυμαι. θύσομαι.

Ἕκτον εἶδος.

Τὸ ἕκτον εἶδος ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὐτὸ τὴν συνήθη γενικὴν. μεθ' ἣν τὴν οὖσαν αἰτιατικὴν ἐν τοῖς ἐνεργητικοῖς. ὁ δεῖνα ἀξιοῦται παρὰ τοῦ βασιλέως τιμῆς. Ἀξιοῦμαι τιμῆς, ἀντὶ ἄξιος κρίνομαι τιμῆς. ἠξίωμαι. ἠξιώθην. ἀξιώσομαι. Γυμνοῦμαι τῆς ἀρχῆς. γεγύμνωμαι. γυμνώσομαι. Ἐλαττοῦμαι τοῦ ἑταίρου. ἠλάττωμαι. ἐλαττώσομαι. Ἀθωοῦμαι τοῦ ἐγκλήματος. Κενοῦμαι τῶν χρημάτων. Πληροῦμαι τῶν ἀγαθῶν. Γεμίζεται ἡ φιάλη ὕδατος. Κορέννυμαι τροφῆς. ἐν πᾶσι διαλυτικῶς, ὡς εἴρηται. Παύομαι τῶν κακῶν. Διώκομαι τῆς οἰκίας. Ἐλαύνομαι τῆς πόλεως. Ἐκκλείομαι τῆς οἰκίας. Ἐλαφρύνομαι τοῦ βάρους. κουφίζομαι τοῦ χρέους. Ἀπαλλάττομαι τῆς δουλείας. καὶ ἀπαλλάττομαι ἀπὸ σοῦ, ἀντὶ ἀπέρχομαι. Ἐλευθεροῦμαι τῶν δεινῶν. Μακρύνομαι τῆς ὁδοῦ. Ἁρπάζομαι τοῦ πυρός. Κρεμῶμαι τοῦ ποδός. Καθαίρομαι τοῦ ῥύπου. καὶ περὶ μὲν τῶν παθητικῶν, ταῦτα. Εἰσὶ δὲ καί τινα ῥήματα ἃ ἐν μὲν τοῖς ἐνεργητικοῖς, τρισὶ προσώποις κλίνονται. ἐν δὲ τοῖς παθητικοῖς, κατὰ τὸ τρίτον μόνον. οἷον, σπείρω τὴν γῆν. ἡ γῆ σπείρεται ὑπὸ τῶν γεωργῶν. ἀροτριῶ τὸν ἀγρόν. ὁ ἀγρὸς ἀροτριᾶται ὑπὸ τῶν συνήθων. θερίζω τὸ λήϊον. τὸ λήϊον θερίζεται ὑπὸ τῶν θεριστῶν. σκάπτω τὰς ἀμπέλους. αἱ ἄμπελοι σκάπτονται ὑπὸ τῶν σκαφέων. ῥάπτω τὸ ἱμάτιον. τὸ ἱμάτιον ῥάπτεται ὑπὸ τῶν ῥαπτῶν. πλέω τὴν θάλατταν. ἡ θάλαττα πλεῖται ὑπὸ τῶν ναυτῶν. οἰκοῦ μὲν πό-

λιν. ἡ πόλις οἰκεῖται ὑφ' ἡμῶν. οἰκίζομεν τόπον. ὁ τόπος οἰκίζεται ὑφ' ἡμῶν. Ἔτι εἰσὶν ἔνια ῥήματα, ὧν τρίτον μόνον πρόσωπον εὕρηται. ἐπὶ θεοῦ νοούμενον, νίφει. χειμάζει. βρέχει. ὕει. βροντᾷ. καὶ βροντῶσιν αἱ νεφέλαι ὁ κωμικός φησιν. ἀστράπτει. λάμπει. κεραυνοῖ.

Περὶ οὐδετέρων ῥημάτων. ὑπαρκτικά.

Οὐδέτερον ῥῆμά ἐστι κυρίως τὸ λῆγον εἰς ω, καὶ μὴ σχηματίζον παθητικὸν εἰς μαι. οἷον, ζῶ. πλουτῶ. ὑγιαίνω. πάσχω. ἐρυθριῶ. Τούτων δὲ τὰ μὲν, ὑπαρκτικὰ καλοῦνται, ὅσα καὶ πρὸ ἑαυτῶν καὶ μεθ' αὐτὰ ὀνομαστικὴν ἀπαιτοῦσιν. οἷον, ἐγώ εἰμι ἀμαθής. σὺ εἶ σοφός. ἐκεῖνος ὑπάρχει δίκαιος. καὶ ἔτι ἀττικῶς μετὰ γενικῆς. ἐκεῖνος ὑπάρχει τῶν δικαίων. τῶν ἀγαθῶν. Εἰμί. εἶ. ἐστί. ἦν. ἦς. ἦν. ἤμην. ἦσο. ἦτο. ἔσομαι. ἔσῃ. ἔσεται, καὶ ἔσται. περίειμι δὲ, ἀντὶ τοῦ ἔτι ζῶ. ἔνεστι δέ μοι, καὶ ἔξεστί μοι τόδε, καὶ σύνεστι, καὶ πρόσεστι, καὶ πάρεστί μοι ὁ δεῖνα. μέτεστι δέ μοι πλούτου, ἀντὶ μετουσία μοι ἐστὶ πλούτου ἀπροσώπως. Ὑπάρχω. ὁ ἀόριστος, ὑπῆρξα. ὁ μέλλων, ὑπάρξω. ἀφ' οὗ καὶ ὑπηργμένων εὕρηται παθητικῶς. Τυγχάνω, ἀντὶ τοῦ εἰμί. καὶ τυγχάνω τοῦδε, ἀντὶ τοῦ ἐπιτυγχάνω. ἔτι καθέστηκα, ἀντὶ τοῦ εἰμὶ καὶ διατελῶ ὁμοίως. τὸ δὲ κυρῶ, καὶ πέλω, καὶ πελέθω, ποιητικά. τὰ δὲ τοιαῦτα ὑπαρκτικὰ καὶ μετοχὰς προσλαμβάνει ἀττικῶς. εἰ μὲν ἔτυχες παρὼν, γράψον. εἰ δὲ ἀπὼν τυγχάνεις, ἐπάνηκε.

Αὐτοουδέτερα.

Τὰ δὲ, αὐτοουδέτερα καλοῦνται, ἃ πρὸ ἑαυτῶν ὀνομαστικὴν αὐτοουδετερότητος ἀπαιτοῦσι. ζῶ. καὶ ζῶ ζωὴν ἀττικῶς. ἔζηκα. ζήσω. τὸ δὲ ζήσεις με μεταβατικὸν, τῆς θείας ἐστὶ γραφῆς. Πλουτῶ ἐγώ, ἀντὶ πλούσιός εἰμι. πλουτίζω δὲ ἕτερον ἀντὶ τοῦ πλούσιον ποιῶ, μεταβατικόν. Ὑγιαίνω ἐγώ. καὶ ὑγιαίνω τῷ σώματι, καὶ τὸ σῶμα συνεκδοχικῶς. ὑγιάζω δὲ ἕτερον, μεταβατικόν. Σωφρονῶ ἐγὼ, ἀντὶ σώφρων εἰμί. σωφρονίζω δὲ ἕτερον. Ἁγνεύω, ἀντὶ ἁγνός εἰμι. ἁγνίζω δὲ ἕτερον. Παρθενεύω. Ἀληθεύω. Εὐτυχῶ. Εὐδαιμονῶ. Εὐημερῶ. Εὐσεβῶ. Ἀσεβῶ εἰς θεόν.

Οὐδέτερα μεταβατικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα μεταβατικὰ, ὅσα πρὸ ἑαυτῶν αἰτιατικὴν ἀπαιτοῦσι, καὶ μεθ' αὐτὰ αἰτιατικὴν μετὰ προθέσεως. ἀναβαίνω εἰς τὸ ὄρος. καταβαίνω εἰς τὸ πεδίον. ἐμβαίνω εἰς τὴν ναῦν. καὶ ἔτι ἐπιβαίνω νεώς. ἧκον εἰς τὴν πόλιν. ἦλθον εἰς τὴν ἀγοράν.

βαδίζω εἰς τὸ φροντιστήριον. εὕρηται δὲ καὶ βαδιοῦμαι καὶ βαδι-
σίμην ἀποθετικά. χωρῶ πρὸς ἔργον. περιπατῶ εἰς τὸν κῆπον.
φοιτῶ τῷ διδασκάλῳ, καὶ φοιτῶ εἰς τὸ διδασκαλεῖον. Θέω, τὸ
ἁπλῶς τρέχω. καὶ θέω πρὸς τὸν διδάσκαλον. ὁμοίως καὶ τὸ τρέχω.
καὶ τρέχω περὶ τὸ βραβεῖον. καὶ τρέχω τὸν περὶ ψυχῆς. Ὁδεύω εἰς τὴν
πόλιν. Ἀπαντῶ πρὸς τὸ δικαστήριον. Αὐτομολῶ πρὸς τοὺς πολεμί-
ους. Θαμίζω περὶ τὴν ἀγοράν. Εἶμι πρὸς τόδε, ἀντὶ τοῦ ἀπέρ-
χομαι. Οὐδέτερα περιποιητικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα περιποιητικά, ὅσα πρὸ ἑαυτῶν ὀνο-
μαστικὴν ἀπαιτοῦσι, καὶ μετ' αὐτὰ δοτικὴν περιποίησιν σημαί-
νουσαν. Δουλεύω σοι. δεδούλευκα. δουλεύσω. Εἴκω καὶ ὑπείκω,
τὸ ὑποχωρῶ. Ἀρέσκω σοι, καὶ ἀπαρέσκω σοι. καὶ ἀρέσκομαι εὕρη-
ται. Ἀρήγω, τὸ βοηθῶ. ἐπικουρῶ. ἀκολουθῶ. εὐχαριστῶ κοινόν.
ἔχω σοι χάριν. οἶδά σοι χάριν. ὁμολογῶ σοι χάριν, ἑλληνικόν. ὁμιλῶ.
πειθαρχῶ. ὁμοφρονῶ. ὑπαντῶ. ξυναντῶ. ἐντυγχάνω.

Οὐδέτερα κτητικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα κτητικά, ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν
ἀπαιτοῦσι, καὶ μετ' αὐτὰ γενικήν. Χρήζω βιβλίων, ἀντὶ χρείαν
ἔχω. καὶ χρήζω κερδαίνειν, ἀντὶ θέλω. Ἀμοιρῶ σοφίας. Εὐπο-
ρῶ φίλων. Ἀπορῶ ἱματίων, ἀντὶ στεροῦμαι. καὶ ἀπορῶ τόδε τὸ
πρόβλημα, ἀντὶ τοῦ εἰς ἀπορίαν προτίθεμαι. Σπανίζω χρημά-
των. Τυγχάνω τοῦ σκοποῦ, καὶ ἐπιτυγχάνω. Ἀποτυγχάνω τῆς
ἐλπίδος. Ἁμαρτάνω τῆς ὁδοῦ, ἀντὶ τοῦ ἀποτυγχάνω. καὶ ἁμαρ-
τάνω ἁμαρτίαν. Ἀπολαύω τῶν ἀγαθῶν, καὶ παραπολαύω, καὶ ἐπαπο-
λαύω. ἅπερ σπανίως καὶ μετ' αἰτιατικῆς. ἀπολαύσω. ἀπέλαυον,
καὶ ἀπήλαυον ἀττικῶς. Οὐδετεροπαθητικά.

Τὰ δὲ, καλοῦνται οὐδετεροπαθητικά, εἴτε ἰδιοπαθητικά, καὶ
αὐτοπαθῆ, ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀπαιτοῦσι, καὶ σημαίνου-
σιν αὐτοπάθειαν. καὶ μετ' αὐτὰ διαφόρους πτώσεις. Πάσχω
ὑπὸ τῶν ἐχθρῶν. Ἀλγῶ, τὸ λυποῦμαι. καὶ ἀλγῶ τοῖς κακοῖς τῶν
φίλων, ἢ ἐπὶ τοῖς κακοῖς. καὶ ἀλγῶ τὴν κεφαλήν, συνεκδοχικῶς.
Ἀλγύνω τὴν κεφαλὴν, τίνος οὐ μέλει. Χαίρω, τὸ εὐφραίνομαι. καὶ
χαίρω τῇ εὐτυχίᾳ τοῦ φίλου, ἢ ἐπὶ τῇ εὐτυχίᾳ, ἢ διὰ τὴν εὐτυχίαν. καὶ χαί-
ρω τῇ ἀναγνώσει, ἀντὶ τοῦ πρόσκειμαι. Χαίρω λέγεις οὐχὶ χαίρομαι ὥς-
περ Δάτις ὁ πέρσης οἰόμενος ἀττικίζειν. ἀφ' οὗ δατισμὸς ἁμάρτη-
μα, διότι πρῶτος εἶπε χαίρομαι.

Νοσῶ, καὶ νοσῶ νόσον. ἀῤῥωστῶ ἀῤῥωστίαν, ἀσθενῶ ἀσθένειαν συνεκδοχικῶς. λημμῶ λήμμαις. πεινῶ. διψῶ. μεθύω. μεθύσκω δὲ ἕτερον. λιμώττω. βουλιμιῶ. ὀφθαλμιῶ. ἀλύω, τὸ ἀδημονῶ. ἐρυθριῶ. ὠχριῶ. γηρῶ καὶ γηράσκω. θνήσκω. κλαίω. καὶ κλαίω τὸν ἀποθανόντα. ὡσαύτως καὶ τὸ θρηνῶ, καὶ δακρύω συνεκδοχικῶς. φρίττω. τρέμω. φεύγω. καὶ φεύγω φόνον, ἀντὶ κατηγοροῦμαι. τὸ δὲ φεύγω τοὺς λῃστὰς, καὶ τρέμω τὸν θάνατον, καὶ δέδοικα τοὺς ἐχθροὺς, ἤτοι διὰ τοὺς λῃστὰς, καὶ ἐχθροὺς, νοουμένης ἔξωθεν τῆς διὰ προθέσεως, συνεκδοχικῶς. οὕτω γοῦν δοκεῖ λέγειν τῷ δεινῷ Ἀπολλωνίῳ. Ἰστέον ὅτι ἐν τοῖς τοιούτοις καὶ διάφορος σύνταξις εὑρίσκεται, καὶ παθητικαὶ φωναὶ, ἀδείᾳ τῆς θείας γραφῆς, καὶ τῶν ποιητῶν, οἷς ἔξεστι τὸ κοινὸν ἔθος μεταβάλλειν.

Περὶ μέσων ῥημάτων.

Κοινὸν ῥῆμα εἴτε μέσον ἐστὶ τὸ λῆγον εἰς μαι, καὶ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος σημαῖνει. καὶ τὸ μὲν ἐνέργειαν σημαῖνον, ἐνεργητικὰς συντάξεις κατὰ τὰ εἴδη τῶν ἐνεργητικῶν. τὸ δὲ πάθος, παθητικάς. οἷον, βιάζομαι τὸν φίλον, καὶ βιάζομαι ὑπὸ τοῦ φίλου. ἄγομαι τὸν ἄνθρωπον, καὶ ἄγομαι ὑπὸ τοῦ ἀνθρώπου. κομίζομαι τὸν ἄνδρα, καὶ κομίζομαι ὑπ᾽ αὐτοῦ. Δεῖ δὲ εἰδέναι ὅτι καθαρὰ κοινὰ ὀλίγα εἰσί. τὰ δὲ πλεῖστα τῶν παθητικῶν κοινῶς λαμβάνονται ἔθει ἀττικῷ. καὶ μάλιστα οἱ καλούμενοι μέσοι χρόνοι αὐτῶν. οἷον, τύπτομαι, ἀντὶ δαίρω, καὶ δαίρομαι. ἐτυψάμην, ἀντὶ ἔτυψα, καὶ ἐτύφθην. τύψομαι, ἀντὶ τύψω, καὶ τυφθήσομαι. καὶ τἄλλα ὡσαύτως, ὡς ἂν ἡ χρῆσις ἀπαιτεῖ. Αἰτοῦμαι. αἰτήσομαι. ᾐτησάμην. Μισθοῦμαι. μισθώσομαι. ἐμισθωσάμην. Ἐπιστρέφομαι. ἐπεστρεψάμην. ἐπιστρέψομαι. Πλάττομαι. ἐπλασάμην. πλάσομαι. Ἐπαινοῦμαι. ἐπῃνεσάμην. ἐπαινέσομαι. Ποιοῦμαι. ἐποιησάμην. ποιήσομαι. Φιλοῦμαι. ἐφιλησάμην. φιλήσομαι. Γεννῶμαι. ἐγεννησάμην. γεννήσομαι. καὶ τἄλλα πάμπολλα ὄντα. ἃ συντάξεις καθὰ ἡ ἔννοια τοῦ λόγου ἀπαιτεῖ. Ἰστέον καὶ τοῦτο, ὅτι τῶν καλουμένων μέσων χρόνων οἱ μὲν, ἐνεργητικῶς γράφονται. οἷον ὁ τέτυπα καὶ ὁ ἐτετύπειν. διὸ καὶ τοῖς ἐνεργητικοῖς τετάχαται. οἱ δὲ, παθητικῶς καὶ ἐν παθητικοῖς τεταγμένοι. οἷον ὁ ἐτυψάμην. ὁ ἐτυπόμην. ὁ τύψομαι, καὶ ὁ τυποῦμαι. περὶ ὧν διάφοροι αἱ δόξαι τῶν ἡμετέρων γραμματικῶν. οἱ μὲν γάρ φασι τὰ μέσα ῥήματα ἀεὶ ἐνέργειαν καὶ

πάθος σημαίνειν. οἱ δὲ, εἰ καὶ μέσα λέγονται, ἀλλ' ὅμως τινὰ μὲν, ἐνέργειαν, τινὰ δὲ πάθος, ὡς ὁ τέτυπα, καὶ ὁ ἐτετύπειν ἐνέργειαν. ὁ δὲ τέτηκα, καὶ ἐτετήκειν, πάθος. καὶ τὸ μὲν ἐποιησάμην, ἐνέργειαν. τὸ δὲ ἐλυσάμην, πάθος. ἄλλοι δὲ ταύτης ἐγένοντο τῆς δόξης, ὅτι οἱ δύο μέσοι χρόνοι οἱ ἐνεργητικῶς γραφόμενοι πλεῖον ῥέπουσιν εἰς τὸ παθητικὸν, ὡς τέτηκα, ἐτετήκειν. μέμηνα, ἐμεμήνειν. οἱ δὲ γραφόμενοι παθητικῶς τέσσαρες, πλεῖον ῥέπουσιν εἰς τὸ ἐνεργητικὸν, ἐποιησάμην, ποιήσομαι. ἐπῃνεσάμην, ἐπαινέσομαι. εὑρίσκονται δὲ καὶ παθητικῶς λαμβανόμενοι. δεῖ δὲ μᾶλλον περιεργείας ἐν τούτοις ἢ τέχνης.

Περὶ ἀποθετικῶν ἐνεργητικῶν.

Ἀποθετικὸν ῥῆμα κυρίως ἐστὶ τὸ παθητικῶς μὲν γραφόμενον, ἐνέργειαν δὲ σημαῖνον ὡς τὰ πολλά. σπανίως δὲ καὶ πάθος. καὶ τὸ μὲν σημαῖνον ἐνέργειαν, αὐτενέργητον καλεῖται. τὸ δὲ πάθος, αὐτοπαθές. τούτου δὲ ἑξαχῶς συνταττομένου, ὥσπερ καὶ τὰ ἐνεργητικὰ, τὸ πρῶτον εἶδος ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν ἐνεργοῦσαν, καὶ μεθ' αὑτὸ αἰτιατικὴν πάσχουσαν.

Πρῶτον εἶδος τῶν ἀποθετικῶν.

Αἰτιῶμαί σε, καὶ αἰτιῶμαί σε τῆς κακίας. καὶ αἰτιῶμαι τόδε τοῦδε, ἀντὶ τοῦ αἴτιον ἡγοῦμαι. μέμφομαι, καὶ διαμέμφομαί σε τῆς ἀχαριστίας, καὶ μέμφομαί σοι μέμψιν δικαίαν, τὸ τοῦ κωμικοῦ. καταμέμφομαι δέ σου. ἐνθυμοῦμαι. κτῶμαι. ἀσπάζομαι, τὸ φιλῶ, καὶ προσαγορεύω. δέχομαι καὶ ἀποδέχομαί σου τὸν λόγον. θεῶμαι. τεκμαίρομαι. ληΐζομαι. τιμωροῦμαι, τὸ κολάζω. ἡγοῦμαι, τὸ νομίζω. καὶ ἡγοῦμαί σε ἀγαθὸν εἶναι. ἡγοῦμαι δὲ τὸ ἄρχω, γενικῇ. καὶ ἡγοῦμαί σοι τὴν ὁδὸν, ἀντὶ τοῦ προηγοῦμαι. ἐξηγοῦμαι τὰ γεγραμμένα, καὶ ὑφηγοῦμαι. καὶ εἰσηγοῦμαί σοι τόδε, ἀντὶ τοῦ παραινῶ. ἐπίσταμαι, τὸ γινώσκω. λογίζομαι. σκέπτομαι, τὸ φροντίζω. σκήπτομαι, τὸ προφασίζομαι. σιτοῦμαι. διϊσχυρίζομαι. καρποῦμαι. ἰῶμαι. ἀναίνομαι. ἀρνοῦμαι. λυμαίνομαί σε, καὶ σοί. δεδίττομαι, τὸ ἐκφοβῶ. μηχανῶμαι. παλαμῶμαι. μιμοῦμαι. πυνθάνομαι, τὸ νοῶ καὶ ἀκούω. πυνθάνομαι τὸ ἐρωτῶ, μετὰ γενικῆς. ἔρομαι, τὸ ἐρωτῶ. αἰνίττομαι. μαντεύομαι. διαχειρίζομαι, τὸ φονεύω.

Δεύτερον εἶδος.

Τὸ δεύτερον εἶδος τῶν ἀποθετικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν, καὶ μεθ' αὐτὸ, δοτικήν. Μάχομαί σοι. Ἀνθίσταμαί σοι, καὶ προσίσταμαι, καὶ παρίσταμαι. Ἁμιλλῶμαί σοι. Ἐναντιοῦμαι τοῖς σοῖς λόγοις. Ἀκολουθοῦμαι καὶ ἐπακολουθοῦμαι τῇ σοφίᾳ. Εὔχομαι καὶ προσεύχομαι τῷ θεῷ. καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιεῖ. κατεύχομαι δέ σου, καὶ ὑπερεύχομαί σου. ἐπεύχομαι δέ σοι. Θυμοῦμαί σοι. Ὀργίζομαί σοι. Ἕπομαί σοι. καὶ ἕπου μετ' ἐμοῦ παιδάριον τὸ τοῦ κωμικοῦ. Συναγελάζομαί σοι. Φιλιοῦμαί σοι. Χρῶμαι τοῖς σοῖς, καὶ τὰ σά. τὸ δὲ κεχρημένοις, πολλάκις παθητικῶς. Ἀνέχομαί σοι. Ἀποκρίνομαί σοι ἐρωτηθείς. Ἀπολογοῦμαί σοι αἰτιαθείς. Λοιδοροῦμαί σοι, καί σε σπανίως. Συντίθεμαί σοι, καὶ προστίθεμαί σοι, καὶ ἐπιτίθεμαί σοι, καὶ ὑποτίθεμαί σοι τόδε. Τρίτον εἶδος.

Τὸ τρίτον εἶδος τῶν ἀποθετικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν, καὶ μεθ' αὐτὸ γενικήν. Ἐφίεμαί σου. Μεθίεμαί σου. Γλίχομαι. Ἱμείρομαι, τὸ ἐπιθυμῶ. Προΐσταμαι, καὶ ὑπερίσταμαι, καὶ διΐσταμαι. Ἐπιμελοῦμαι καὶ ἐπιμέλομαι τῶν σῶν πραγμάτων. Μέμνημαι τοῦ πράγματος, καὶ ἔτι τὸ πρᾶγμα σπανίως. Ὠνάμην καὶ ἀπωνάμην τῶν μαθημάτων. Αἰσθάνομαι, καὶ αἴσθομαι. Ὀσφραίνομαι. Γεύομαι. Ἅπτομαι. τὰ δὲ τῶν αἰσθήσεων πολλάκις καὶ μετὰ αἰτιατικῆς. Αἰσθάνομαι τὸ νοῶ μετὰ μετοχῆς. αἰσθάνομαι φερόμενος ἔξω τοῦ καιροῦ. εἰ δὲ πρὸς ἕτερον πρόσωπον φέρεται, μετὰ αἰτιατικῆς. αἰσθάνομαί σε ποιοῦντα τόδε. αἰσθάνομαι τὸ αἴσθησιν ἔχω, μετὰ γενικῆς. αἰσθάνομαι τῆς τῶν λόγων ἡδύτητος. ὡσαύτως καὶ τὸ γεύομαι, ὀσφραίνομαι. ὀρέγομαι. προμηθοῦμαι. προνοοῦμαι. στοχάζομαι. κήδομαι, τὸ φροντίζω. φείδομαι, τὸ ἀκριβολογοῦμαι, καὶ τὸ ἐλεῶ. Ἀκροῶμαι τῶν φυσικῶν. Ἀπέχομαι κρεῶν. Ἐπιλανθάνομαί σου, καί σε. Πειρῶμαί σου. Μεταποιοῦμαι καὶ ἀντιποιοῦμαι τῶν σῶν. Δέομαί σου. καὶ δέομαί σου τὰ δίκαια, ἤτοι διὰ τὰ δίκαια. Τέταρτον εἶδος.

Τὸ τέταρτον εἶδος τῶν ἀποθετικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν, καὶ μεθ' αὐτὸ αἰτιατικήν. μεθ' ἣν, ἑτέραν. Πράττομαί σε χρήματα. τοῦτο δὲ καὶ μέσον ἂν εἴη. εἰσπράττομαί σε φόρον. Ἀφῄρημαι τὴν παιδείαν ἢ λόγον. ὃς δυνάμενος κτήσασθαι, ὠλιγώρησα. Ἐστερήθην δὲ τῶν ἐμῶν ἄκων. Ἀφαιροῦμαί σε χρήματα ἢ χρήμα-

πων. Ἐργάζομαί σε κακὸν ἀττικῶς, ἐργάζομαι δέ σοι κακὸν κοινῶς.

Πέμπτον εἶδος.

Τὸ πέμπτον εἶδος τῶν ἀποθετικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν, καὶ μεθ' αὐτὸ, αἰτιατικήν. μεθ' ἣν, δοτικὴν, ἢ καὶ ἀντιστρόφως. Δωροῦμαί σοι βίβλον, καὶ δωροῦμαί σε βίβλῳ. Χαρίζομαί σοι ἵππον. Ἀφοσιοῦμαί σοι τὸ χρέος. Εὐαγγελίζομαί σοι νίκην. Ἡγοῦμαί σοι τὴν ὁδόν. Μέμφομαί σοι μέμψιν. Ἐπαγγέλλομαί σοι χρήματα δίχα ἀξιώσεως. Ὑπισχνοῦμαί σοι δὲ τόδε, καὶ ὑπόσχομαι ἀξιωθείς. Ἀπεργάζομαί σοι τόδε. Κοινοῦμαί σοι, καὶ ἀνακοινοῦμαί σοι τὰ ἐμά.

Ἕκτον εἶδος.

Τὸ ἕκτον εἶδος τῶν ἀποθετικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν, καὶ μεθ' αὐτὸ, αἰτιατικήν. μεθ' ἣν, γενικήν. Αἱροῦμαι καὶ προαιροῦμαι ζωὴν θανάτου. Ἐξαιροῦμαί σε τοῦ κινδύνου. Παραιτοῦμαί σε τῆς διαβολῆς. Ῥύομαί σε τοῦ χρέους. Λυτροῦμαί σε τῆς ποινῆς. Ἀλλάττομαι οἶνον σίτου. Πρίαμαι δοῦλον εἴκοσι μνῶν. Ὠνοῦμαι βίβλον δέκα χρυσῶν. Ἀποδίδομαι τὸ ἱμάτιον πολλοῦ.

Περὶ ἀποθετικῶν παθητικῶν.

Ἀποθετικὸν παθητικόν ἐστι τὸ σημαῖνον αὐτοπάθειαν, καὶ ἀπαιτοῦν πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὐτὸ, γενικήν. καὶ ἄλλας πτώσεις. Γίνομαι ὑπὸ τοῦ δεῖνος. Συγγίνομαι δὲ τῷ δεῖνι, καὶ περιγίνομαι τοῦδε. Οἴχομαι, τὸ φθείρομαι. Οἴχομαι πρὸς τόδε, ἀντὶ πορεύομαι. Ἄχθομαι, καὶ ἄχθομαι τοῖς κακοῖς τῶν φίλων. Ἥδομαι, καὶ ἥδομαι τοῖς ἀγαθοῖς. Ἐφήδομαί σοι, ἀντὶ κακοῦ. καὶ συνήδομαί σοι, ἀντὶ ἀγαθοῦ. Ἀγαλλιῶμαι. Βρενθύομαι. Κεῖμαι. Πτόομαι. Θρύπτομαι. Κοιμῶμαι. Κάθημαι. Ὀδυνῶμαι. Ῥαστωνεύομαι. Ψεύδομαι ἐγώ. καὶ ψεύδομαί σε, ἀντὶ ἀπατῶ. Καταψεύδομαι δέ σου. Φοβοῦμαι. καὶ φοβοῦμαι τοὺς ἐχθρούς, ἤτοι διὰ τοὺς ἐχθροὺς συνεκδοχικῶς, ὥσπερ ἐν τοῖς οὐδετεροπαθητικοῖς. ὡσαύτως καὶ αἰδοῦμαι, καὶ εὐλαβοῦμαι, καὶ αἰσχύνομαι, καὶ ὅσα συντάσσονται αἰτιατικῇ.

Ἰστέον ὅτι πολλὰ τῶν κοινῶν ῥημάτων ἔχουσι καὶ ἐνεργητικά. καὶ πλεῖστα τῶν παθητικῶν κοινὰ γίνονται. Ἔτι τῶν ἀποθετικῶν ἐνεργητικῶν ἔνια ἐνεργητικὰ ἔχουσιν ἄλλό τι σημαίνοντα. ὅτε δὲ ἐνέργειαν σημαίνουσιν, οὐδαμῶς σημαίνουσι πάθος, εἰ μὴ μόνον ἐν τοῖς παθητικοῖς ἀορίστοις. ἐλέχθην. ἠσφαλίσθην. καὶ ἐν τοῖς παρακειμένοις σπανίως. τούτοις δὲ μάλιστα προσγίνεται ὅτε μέσοις ἀορίστοις

ἔχουσιν. Ἔτι πολλὰ τῶν ῥημάτων εἰς ἀπαρέμφατον ἀποδιδοῦσι τὴν σύνταξιν. Ἀδυνατῶ γράφειν διὰ τὸ γῆρας. Αἰδοῦμαι ζητεῖν νέος ὤν. Δύναμαι τρέχειν. Ἐπιθυμῶ μανθάνειν. Ἔοικας τῶν ἀγαθῶν εἶναι. Κινδυνεύω ἀποθανεῖν. καὶ κινδυνεύει, ἀντὶ τοῦ δοκεῖ. Μοριμνῶ τοὺς ἐμαυτοῦ θρέψαι παῖδας. Ἔτι πολλὰ τῶν ῥημάτων εἰς ὄνομα καὶ ἀπαρέμφατον μεταβαίνουσι. Προαιροῦμαι ζωὴν θανάτου. καὶ προαιροῦμαι μᾶλλον ζῆν ἢ θανεῖν. Ἀρνοῦμαι τὴν στρατείαν, καὶ ἀρνοῦμαι στρατεύειν. Γινώσκω γράμματα, καὶ γινώσκω γράφειν. Ἔτι πολλὰ τῶν ῥημάτων εἰς ὄνομα μεταβαίνουσιν οὐκ ἄνευ προθέσεως. Παραγίνομαι εἰς τὴν πόλιν. Καταγίνομαι εἰς τόδε. Ἔρχομαι πρὸς σέ. Πορεύομαι πρὸς τὸν Ἰωάννην. Παραινῶ εἰς τοὺς συμπότας. καὶ ἄλλα πλεῖστα. ἀλλὰ περὶ μὲν τῶν προσωπικῶν, ταῦτα. νῦν δὲ λεκτέον ὀλίγα καὶ περὶ τῶν ἀπροσώπων.

Περὶ ἀπροσώπων ῥημάτων.

Ἀπρόσωπον ῥῆμά ἐστι τὸ σπανίζον τῆς προσωπείας, καὶ μιᾷ καταλήξει ταύτην ἀποπληροῦν. Δεῖ ἐμὲ ἀναγινώσκειν. δεῖ σε ἀκούειν. δεῖ ἐκεῖνον σπουδάζειν. ἀπαιτοῦσι δὲ τὰ ἀπρόσωπα διαφόρους πτώσεις μεθ' ἑαυτά, καὶ δύο αἰτιατικὰς πολλάκις μετὰ ἀπαρεμφάτου. μίαν μὲν ἐκ τῆς τοῦ ῥήματος φύσεως, ἑτέραν δὲ ἐκ τῆς τοῦ ἀπαρεμφάτου. οἷον, δεῖ τὸν καθηγητὴν ἐπιμελῶς διδάσκειν τοὺς ἑαυτοῦ μαθητάς. καὶ δεῖ τοὺς μαθητὰς φιλεῖν καὶ τιμᾶν τὸν διδάσκαλον. χρή με φιλεῖν σε, καὶ χρή σε ἀντιφιλεῖν ἐμέ. καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως, ὅτε μάλιστα τὸ ῥῆμα ἐπ' αἰτιατικὴν φέρεται.

Ὁ ἐνεστώς, δεῖ. ὁ παρατατικός, ἔδει. τὸ ἀπαρέμφατον δεῖν, ἀντὶ τοῦ πρέπειν. Δεῖ δέ μοι χρημάτων διαλυτικῶς, ἀντὶ τοῦ ἔνδειά μοι ἐστὶ χρημάτων. Ὁ ἐνεστώς, χρή. ὁ παρατατικὸς χρῆν, καὶ ἐχρῆν. τὸ ἀπαρέμφατον χρῆναι, ἀντὶ τοῦ πρέπειν. τί δὲ χρὴ φίλων, ἀντὶ τίς χρεία φίλων. Πρέπει τοὺς παῖδας τιμᾶν τοὺς γονεῖς. καὶ πρέπει μοι τόδε, ἀντὶ ἁρμόζει. ἔπρεπε. πρέπειν. Μέλλει μοι ἀνθρώπου, καὶ μέλλει μοι τοῦ ἀνθρώπου. καὶ μέλλει μοι γράφειν. ἔμελλε. μέλλειν. Προσήκει μοι τόδε, καὶ προσήκει μοι καθεύδειν. προσῆκε. προσήκειν. ὁμοίως καὶ ἀνήκει. Ἀρέσκει μοι τὸ καλὸν, καὶ ἀπαρέσκει μοι τὸ κακόν. καὶ ἀρέσκει μοι σπουδάζειν, καὶ ἀπαρέσκει μοι παίζειν. Συμφέρει μοι τόδε, καὶ συμφέρει μοι ὑγιαίνειν. ὡσαύτως καὶ τὸ ἀρκεῖ, καὶ
(ἐξαρκεῖ, καὶ διαρκεῖ, καὶ

καταρκεῖ. καὶ τὸ ἁρμόζει. καὶ τὸ ἔξεστι. συμβαίνει μοι τόδε, καὶ συμβαίνει μοι καθεύδειν ἡμέρας. δοκεῖ μοι τόδε, καὶ δοκεῖ μοι ἄριστον φιλοσοφεῖν. καὶ ἐπὶ ἄλλων πολλῶν. ἔξεστί μοι τόδε. πάρεστι. μέτεστι δέ μοι τοῦδε, ἀντὶ μετουσία ἐστίν. ὡσαύτως καὶ ἐπὶ παθητικῆς φωνῆς. ἐνδέχεται αὔριον βρέξαι. δύναται σήμερον τόδε γενέσθαι. λέγεται τοῦτο, καὶ λέγεται τὸν φίλον ἐλθεῖν. εἴρηταί μοι τόδε. καὶ τὰ περιφραστικά. ἤκουσταί μοι. ἔγνωσταί μοι. καὶ ἤκουσται ὑπ' ἐκείνων. καὶ ταῦτα μὲν ἱκανὰ ὡς ἐν ἐπιτομῆς εἴδει. παρ' ἄλλοις δὲ διεξοδικώτατα ταῦτα εὑρήσετε. Ἔρρωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. ἐν Μεσσήνῃ τῆς Σικελίας ἐξεδόθη, ἔτει ἀπὸ θεογονίας χιλιοστῷ, τετρακοσιοστῷ, ἑξηκοστῷ ἕκτῳ.

Περὶ αὐθυποτάκτων καὶ ἀνυποτάκτων ῥημάτων.

Τῶν ῥημάτων τὰ μὲν, αὐθυπότακτα καλεῖται. τὰ δὲ, ἀνυπότακτα. καὶ τῶν αὐθυποτάκτων τὰ μὲν, ἐνεργητικῶς, τὰ δὲ, παθητικῶς προφέρονται. ὡσαύτως καὶ τὰ ἀνυπότακτα. Εἰσὶ δὲ αὐθυπότακτα ἐνεργητικὰ, ὧν τὸ ῥῆμα βαρύνεται, καὶ ἡ μετοχὴ ὀξύνεται, καὶ τὸ ἀπαρέμφατον περισπᾶται. τούτων τὰ ἑνικὰ δεύτερα καὶ τρίτα πρόσωπα καὶ τὰ πληθυντικὰ πρῶτα αὐθυπότακτα λέγονται. οἷον, δάκω, δακὼν, δακεῖν, ἐὰν δάκῃς, δάκῃ, ἐὰν δάκωμεν. δράμω, δραμὼν, δραμεῖν, ἐὰν δράμῃς, δράμῃ, ἐὰν δράμωμεν. λάθω, λαθὼν, λαθεῖν, ἐὰν λάθῃς, λάθῃ, ἐὰν λάθωμεν. πίω, πιὼν, πιεῖν, ἐὰν πίῃς, πίῃ, ἐὰν πίωμεν. ἀνάσχω, ἀνασχὼν, ἀνασχεῖν, ἐὰν ἀνάσχῃς, ἀνάσχῃ, ἐὰν ἀνάσχωμεν. ὡσαύτως καὶ ἄλλα πλεῖστα. τὰ δὲ παθητικῶς προφερόμενα, ταῦτα. ἀνάσχωμαι, ἀντισχῶμαι. ἀπόσχωμαι. ἀφίκωμαι. γένωμαι. ἐπιλάθωμαι, ἀνυπότακτα. πρόωμαι. καὶ τὰ ὅμοια. ἐνεργητικὰ καλοῦνται ὧν οἱ ἀόριστοι οὐ φυλάττουσι τὸ τοῦ μέλλοντος σύμφωνον. μὴ ἔχοντες δὲ, οὐδὲ ὑποτακτικὰ ποιοῦσι. δώσω, δώσεις, δώσει. δώσομεν. εὑρήσω. ἁμαρτήσω. ἀφήσω. θήσω. παρήσω. ἔτι ἀνυπότακτα εἰσὶ τὸ ἕξω, ἕξεις, ἕξει. ἥξω, ἥξεις, ἥξει. οἴσω, οἴσεις, οἴσει. ὡσαύτως οὐδὲ οἱ παθητικοὶ μέσοι ἀόριστοι πρῶτοι, οὐδὲ οἱ μέλλοντες. αἱρήσομαι. ἀφίξομαι. βήσομαι. βουλήσομαι. γενήσομαι. οὐδὲ οἱ Ἀττικοὶ μέλλοντες τῶν ἀπὸ τῶν εἰς ζω ὑποτάσσονται. ἀφανιῶ. κομιῶ. γνωριῶ. ἀγωνιοῦμαι. βαδιοῦμαι. καὶ τὰ ἄλλα.

ΚΩΝΣΤΑΝΤΙ͂ΝΟΥ ΛΑΣΚΑ͂ΡΕΩΣ ΤΟΥ͂ ΒΥΖΑΝΤΙ͂ΟΥ ΠΡΟΟΙ͂ΜΙΟΝ ΤΟΥ͂ ΠΕΡΙ͂ ὈΝΟ͂ΜΑΤΟΣ ΚΑΙ͂ ῬΗ͂ΜΑΤΟΣ. ΒΙΒΛΙ͂ΟΝ ΤΡΙ͂ΤΟΝ.

ἐ Ν τοῖς προεκδοθεῖσιν ἡμῖν δυσὶ βιβλίοις, ἥ τε τῶν ὀκτὼ μερῶν τοῦ λόγου παράδοσις ἐξέδοτο, ἥ τε τῶν ῥημάτων εἰς τὰς πτώσεις μετάβασις, καὶ ἄλλα ἀναγκαῖα τοῖς εἰσαγωγικοῖς ἕλλησι καὶ λατίνοις. ταῦτα δὲ πάντα βραχύτατα συνετέθη, διά τε τὸ τῶν λατίνων ἀλλόφωνον, καὶ διὰ τὸ ἐν ἡλικίᾳ ὄντας, συζῆν τοῖς οἰκείοις, καὶ μὴ δύνασθαι εὐχερῶς τὰ ἡμέτερα μανθάνειν. ἐπεὶ δὲ ἀπὸ τῆς σκιαγραφίας εἰς ἀληθῆ ζωγραφίαν ἀνῆλθον, διὰ ζώσης φωνῆς καὶ ἐπιμελείας, καὶ τῇ τῆς γλώττης εὐμουσίᾳ κατακηληθέντες, γλίχονται ἐπιμελῶς εἰδέναι τὸ βάθος, δεῖν ᾠήθην διεξιὼν πάντα τὰ λείψανα τῶν παλαιῶν γραμματικῶν καὶ νέων, καὶ πάντας τοὺς ποιητὰς, καὶ τρίτον συνθεῖναι περὶ ὀνόματος καὶ ῥήματος. ἐν ᾧ διεξοδικώτατα τεχνολογίαν τινὰ ποιήσομαι περὶ τῆς κλίσεως πάντων τῶν ὀνομάτων, γενῶν τε καὶ καταλήξεων, καὶ σχηματισμῶν τῶν πτώσεων. οὐ μόνον κατὰ τὴν κοινὴν γλῶτταν, ἀλλὰ καὶ τὰς ἄλλας διαλέκτους, καὶ ποιητικὴν χρῆσιν. ὁμοιοτρόπως καὶ περὶ τοῦ ῥήματος. οἶμαι δὲ τουτὶ πολυωφελέστατον τοῖς εἰσαγωγικοῖς εἰς πρακτικὴν γραμματικὴν καὶ ποιητικὴν, πάμπολλα διεσπαρμένα περιέχον. δεῖ δὲ ὅμως τοῖς μαθηταῖς, οὐ μόνον γραμματικῆς ἀρχῶν, ἀλλὰ καὶ ποιητικῆς, καὶ μετρικῆς τέχνης, ἵν' ἀκριβῶς ἐπαΐωσι. πολλὰ γὰρ περιέχει ἀξιώματα τῶν ποιητῶν εἰς βεβαίωσιν τῆς ἀληθείας. μηδεὶς δὲ θαυμαζέτω, μήτε διασυρέτω, πρὶν ἂν τὸ βιβλίον ἀναγνῷ. οὔτε γὰρ δόξῃ κενῇ, οὔτε χρημάτων ἐλπίδι, οὔτε ἐπαίνου τοσοῦτον ἀνέλαβον πόνον, ἀλλ' ὠφελείας χάριν τῶν φιλολόγων. ὥς εἴ τις δυνάμενος ὠφελεῖν ἀποκνοίη, φθονερὸς ἂν καὶ προδότης κριθείη, τὸ τάλαντον ἀποκρύψας. τί γὰρ ἂν κερδαίνοιμεν, ἄλλοις μὴ κοινοῦντες ἃ μεμαθήκαμεν. ἢ πῶς οὐ κακοὶ καὶ ὀλιγομαθεῖς κριθείημεν, τὰ μετὰ πόνου ἐγνωσμένα κοινὰ μὴ ποιεῖν ἐθέλειν λόγῳ ἢ γραφῇ. καὶ μάλιστα ἐν τῷ παρόντι, ἐν ᾧ καὶ διδασκάλων, καὶ βιβλίων ἔλλειψις, διὰ τὴν δυστυχίαν τοῦ γένους. εἴ τις δ' ὄνησις λατίνοις ἢ γραικοῖς ἐκ τοῦ παρόντος γένοιτο, τοῖς δεινοῖς μὲν περὶ ταῦτα κριταῖς τοῦτο ἀφίημι. ἐμοὶ δὲ ὡς δέδοκται, οὕτω καὶ εἴρηται. σπου

διαστέον δὴ, καὶ συνεχῶς ἀναγνωστέον, τὴν πολλῶν χρησίμων καὶ ἀναγκαίων τῆς πρακτικῆς γραμματικῆς χάριν. μεθ' ἣν εἰς τὴν θεωρητικὴν ἀναχθῆναι χρεὼν, ἣν περιέχει τὰ τέτταρα βιβλία τοῦ σοφοῦ καὶ δυσκόλου Ἀπολλωνίου. ἃ εἰ καὶ δυσνόητα τυγχάνει γε ὄντα, ὅμως ἀναγκαιότατα. ἔτι τὸ περὶ συντάξεως τῶν ὀκτὼ μερῶν τοῦ λόγου Μιχαὴλ τοῦ συγκέλλου τοῦ ἱεροσολυμίτου, μικρὸν, σαφὲς, καὶ ὠφέλιμον. καὶ ἄλλα πολλὰ λογίων ἀνδρῶν. ἀφ' ὧν ἀρυσάμενος ὁ σοφὸς Θεόδωρος, κάλλιστα καὶ ἐλλογιμώτατα τὸ τέταρτον τῆς ἑαυτοῦ γραμματικῆς συνέταξε. βραχὺ μὲν, καὶ δηλίου κολυμβητοῦ δεόμενον. ἐπαινετὸν δὲ τοῖς εἰδόσι, καὶ ἐπωφελὲς, τὰς σκιὰς τῶν παλαιῶν περιέχον. μετὰ τὰ πρακτικὰ δὴ, εἰς τὰ θεωρητικὰ ἀνακτέον. τῆς τε εὐρυθμίας, καὶ ἁρμονίας, καὶ καταλληλότητος τῆς ἑλληνικῆς εὐγλωττίας ἀπογευστέον. ἣν οὐκ οἶδ' ὅπως φεῦ κακὴ τύχη σὺν τοῖς ἄλλοις ἀγαθοῖς τῶν ἑλλήνων ἀποσβέσασα, σχεδὸν εἰς τὸ μὴ ὂν μετέβαλεν. ἀλλ' οὐκ ἀποκνητέα τὰ καλὰ ἐν ταῖς δυσπραγίαις. τὸ γοῦν καλὸν κατὰ τὸν εἰπόντα, οὐκ ἔσθ' ὅτ' οὐ καλόν. ἄλλως τε καὶ τῶν εἰδότων σπανίων ὄντων διὰ τὴν δυστυχίαν τοῦ γένους, ὅσον ὀλίγοι, τοσοῦτον ἐπαινετώτεροι.

βιβλίον τρίτον περὶ ὀνόματος καὶ ῥήματος.

Τμῆμα πρῶτον.

Ἐπειδὴ δὲ ἡμῖν ὁ λόγος περὶ ὀνόματος, διοριστέον ἂν εἴη πρῶτον αὐτὸ, ἔπειτα διαιρετέον. ὄνομα τοίνυν ἐστὶ μέρος λόγου πτωτικὸν, σημαντικὸν οὐσίας κοινῆς καὶ ἰδίας τῶν ὑποκειμένων σωμάτων τε καὶ πραγμάτων. τούτου δὲ τὰ μὲν, ἁπλᾶ καὶ ἀπαθῆ. τὰ δὲ, συνηρημένα καὶ ἐμπαθῆ. καὶ τῶν ἁπλῶν, τὰ μὲν, ἰσοσύλλαβα. τὰ δὲ, περιττοσύλλαβα. καὶ τῶν μὲν ἰσοσυλλάβων, τέσσαρές εἰσι κλίσεις. τῶν δὲ περιττοσυλλάβων, μία. ταῦτά τοι καὶ πέντε κλίσεις εἰσίν. ὧν ἡ μὲν, πρώτη, ἡ δὲ, δευτέρα, ἡ δὲ, τρίτη, ἡ δὲ, τετάρτη, ἡ δὲ, πέμπτη καλεῖται. περὶ ὧν ἐροῦμεν ἀρξόμενοι ἀπὸ τῆς πρώτης.

Περὶ τῆς πρώτης κλίσεως.

Ἡ πρώτη κλίσις, δύο καταλήξεις ἔχει. εἰς ας μόνον ἀρσενικῶν ἰσοσυλλάβων ὀνομάτων, καὶ εἰς ης ἀρσενικῶν καὶ κοινῶν. οἷον, ὁ αἰνείας, ὁ παππίας. ὁ χρύσης, ὁ πέρσης. ὁ καὶ ἡ ληστὴς, ὁ καὶ ἡ ἐθελοντής. τὰ δὲ κοινὰ, οἱ παλαιοὶ διῃρημένως ἔκλινον, ὁ ἐθελοντὴς, καὶ ἡ ἐθελοντὴς λέγοντες. εὑρήσεις δὲ παρὰ ποιηταῖς ὀνομαστικὰς τῶν εἰς ας καὶ εἰς ης ὀνομάτων τῆς πρώτης κλίσεως ὁμοίας ταῖς αὐτῶν κλητικαῖς, ληγούσας εἰς α βραχὺ, ἔθει αἰολικῷ, καὶ βοιωτικῷ, καὶ θετταλικῷ. οἷον, ὑβραγόρα, ἀντὶ ὑβραγόρας. θυέστα, ἀντὶ θυέ

στης. νεφεληγερέτα, ἀντὶ νεφεληγερέτης. μητιέτα, ἀντὶ μητιέτης. ἠχέτα, ἀντὶ ἠχέτης. ἱππότα, ἀντὶ ἱππότης.

Περὶ τῶν εἰς ας ἰσοσυλλάβων ὀνομάτων τῆς πρώτης κλίσεως.

Ὁ αἰνείας ποίου μέρους λόγου ἐστίν; ὀνόματος. Ποίου γένους; ἀρσενικοῦ. Ποίου εἴδους; παραγώγου. Πόθεν παράγεται; ἀπὸ τοῦ αἰνῶ, αἰνέας, καὶ πλεονασμῷ τοῦ ι, αἰνείας. Ποίου σχήματος; ἁπλοῦ. Ποίου ἀριθμοῦ; ἑνικοῦ. Ποίας πτώσεως; ὀνομαστικῆς. ἥ τις ὀρθὴ καὶ εὐθεῖα καλεῖται. ἡ δὲ γενική, πατρική τε καὶ κτητική. ἡ δὲ δοτική, ἐπισταλτική, καὶ χαριστική. ἡ δὲ κλητική, προσαγορευτική. Τὸ ο; μικρόν. τὰ γὰρ ἄρθρα τῆς ὀνομαστικῆς καὶ αἰτιατικῆς τῶν ἑνικῶν ἀρσενικοῦ καὶ οὐδετέρου γένους, διὰ τοῦ ο μικροῦ γράφονται. Ἐπὶ τῷ ο; δασεῖαν. πᾶν γὰρ ἄρθρον προτακτικὸν καθαρὸν, δασύνεται μόνον. ὑποτακτικὸν δὲ, δασύνεται, καὶ τόνον ἐπιδέχεται. Τὸ αι; δίφθογγον. αἰνῶ, αἶνος, αἰνείας, αἰνὸς, δίφθογγα. ἐνῶ, ἔνωσις, ἔνος, ψιλά. Ἐπὶ τῷ αι; ψιλή. ἡ γὰρ αι δίφθογγος ἐν ταῖς πολυσυλλάβοις λέξεσι, ψιλοῦται. οἷον, αἴας. αἰνείας. αἶνος. αἰάζω. αἰακίζω. αἰζηός. εἰ μὴ τὸ μ ἐπάγοιτο. τότε γὰρ δασύνεται. οἷον, αἷμα. αἱμύλος. αἱμασιά. πλὴν τοῦ αἴμων, ὁ ἐπιστήμων. σεσημείωται αἱρῶ τὸ κρατῶ, καὶ αἱροῦμαι τὸ βούλομαι καὶ προκρίνω, δασυνόμενα. Τὸ ει; δίφθογγον. αἰνέας γὰρ. καὶ πλεονασμῷ τοῦ ι, αἰνείας. Ἐπὶ τῷ ει; ὀξεῖα. μακρὰ γὰρ πρὸ μακρᾶς παροξύνεται. Τὸ ας; μακρόν. τὰ γὰρ εἰς ας ἀρσενικὰ ὀνόματα βαρύτονα, εἴτε ἰσοσύλλαβα, εἴτε περιττοσύλλαβα, καὶ αἱ εἰς ας μετοχαὶ, ἐκτεταμένον τὸ ας ἔχουσιν. οἷον, ὁ αἰνείας. ὁ αἴας. ὁ ποιήσας. ὁ γράψας. ἐξαιρεῖται τὸ μέγας ὅτι ἐπίθετον εἴη, καὶ τὸ λάας ὅτι προσηγορικόν. ὅτι δὲ ταῦτα κύρια εἰσὶν, ἐκτεταμένον τὸ ας ἔχουσι. σπανίως δὲ εὑρήσεις τὸ ας βραχὺ παρὰ ποιηταῖς ἔθει δωρικῷ, ἑπομένου φωνήεντος. καὶ παρ' Ἡσιόδῳ ἐν θεογονίᾳ, Δῆσας ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον. καὶ παρ' Ἀλκμᾶνι ὡς γέγραπται, Δουρὶ δὲ ξυστῷ μέμηνεν αἴας αἱματά τε μίμνων.

Περὶ τῶν εἰς ας ὀξυτόνων.

Τὰ δὲ εἰς ας ὀξύτονα, εἴτε θηλυκὰ, εἴτε κοινὰ, καὶ τὰ εἰς ας οὐδέτερα, συνεσταλμένον τὸ ας ἔχουσιν. οἷον, ἡ ψιάς. ὁ καὶ ἡ ἁρπάς. ὁ καὶ ἡ φυγάς. τὸ κρέας. τὸ κέρας. ὁ δὲ ἱμὰς καὶ ἀνδριὰς, εἰ καὶ ὀξύνονται, ὅμως ἀρσενικὰ ὄντα, ἐκτείνουσι τὸ ας. καὶ ὅσα ἀπὸ τοῦ κεκρᾶσθαι. ἐλικράς. μελικράς. οἱ Ἴωνες δὲ, τὸ α εἰς η τρέπουσιν, ἑρμείης ἀντὶ ἑρμείας, καὶ αὐγείης ἀντὶ αὐγείας λέγοντες.

Περὶ τῆς κοινῆς ἑνικῆς γενικῆς.

Ἡ γενικὴ κοινῶς, τοῦ αἰνείου. τὰ γὰρ εἰς ας καθαρὸν ἁπλᾶ, ὑπὲρ

δισύλλαβα βαρύτονα, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, αἰνείας, αἰνείου. κοχλίας, κοχλίου. ἀλλὰ περὶ μὲν τούτων, ἐν τῇ πρώτῃ κατὰ λέξιν ἀκριβέστερον ἐροῦμεν. καὶ αἰνεία δωρικῶς. οἱ γὰρ δωριεῖς, τὰς εἰς ας ληγόντων γενικὰς εἰς α μακρὸν ποιοῦσιν. οἷον, αἰνεία, ἀντὶ αἰνείου. κοχλία, ἀντὶ κοχλίου. οἱ δὲ βοιωτοὶ καὶ αἰολεῖς, αἰνείαο λέγουσι, τὸ α μακρὸν φυλάττοντες. καὶ οἱ ἴωνες ἀπαθῶς, αἰνείεω, τὸ α εἰς ε, καὶ τὸ ο εἰς ω τρέποντες. καὶ αἰνείω ἐμπαθῶς, ὥσπερ ἑρμείω, ἀντὶ τοῦ ἑρμείεω. τὸ του, μακρόν. αἱ δίφθογγοι γὰρ πᾶσαι φύσει μακραί εἰσι. παρὰ ποιηταῖς δὲ, πᾶσα δίφθογγος, ὁμοίως καὶ τὸ η καὶ τὸ ω μέγα ἐπὶ τέλους ἑπομένου φωνήεντος, κοινή ἐστιν. ἐπὶ τὸ του, περισπωμένη. πᾶσα γὰρ γενικὴ καὶ δοτικὴ παντὸς ἄρθρου, περισπᾶται. ὀνομαστικὴ δὲ καὶ αἰτιατικὴ, ὀξύνεται. περὶ τῆς δοτικῆς ἑνικῆς.

Ἡ δοτικὴ ἑνικὴ, τῷ αἰνείᾳ κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς, ἐκβολῇ τοῦ σ. ὅθεν καὶ τὸ α μακρὸν ἔχει. ὁ αἰνείας, τῷ αἰνείᾳ. καὶ ἰωνικῶς, αἰνείῃ. τὸ τῷ, μέγα. τὰ γὰρ ἄρθρα τῆς δοτικῆς ἑνικῆς, καὶ γενικῆς πληθυντικῆς, ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει, διὰ τοῦ ω μεγάλου γράφονται. ὑπὸ τῷ τῷ, ι. παντὶ γὰρ ἄρθρῳ δοτικῆς ἑνικῆς ὑπογράφεται ι. ὅπερ παρὰ τοῖς παλαιοῖς προεγράφετο, ὥσπερ καὶ πάσῃ διφθόγγῳ καταχρηστικῇ. ὑπὸ τῷ α, ι. πάσῃ γὰρ δοτικῇ εἰς α καὶ εἰς η καὶ ω ληγούσῃ, ὑπογράφεται ι ἀνεκφώνητον. οἷον, τῷ αἰνείᾳ. τῇ μούσῃ. τῷ λόγῳ. οἱ αἰολεῖς δὲ καὶ βοιωτοὶ, οὐχ ὑπέγραφον. ὅπερ φυλάττουσιν οἱ ποιηταὶ ἐν ταῖς πεπονθυίαις μεταπλασμὸν δοτικαῖς. ὡς ἀντίμαχος, πᾶσί τε κυανοχαῖτα ποσειδάωνι πεποιθώς. κυανοχαῖτα, ἀντὶ κυανοχαίτῃ. διὰ τὸ μέτρον ἔλεξεν, ἵνα δάκτυλον ποιήσηται. περὶ τῆς αἰτιατικῆς ἑνικῆς.

Ἡ αἰτιατικὴ, τὸν αἰνείαν κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς τροπῇ τοῦ σ εἰς ν. ὅθεν καὶ τὸ αν μακρὸν ἔχει. ὁ αἰνείας, τὸν αἰνείαν. καὶ ἰωνικῶς, αἰνείην. ὥσπερ ἑρμείην ἀντὶ ἑρμείαν. καὶ αἰνείεα ὁμοίως, ὥσπερ ἀμύντεα παρ' ἡροδότῳ, ἀντὶ ἀμύνταν. περὶ τῆς κλητικῆς ἑνικῆς.

Ἡ κλητικὴ, ὦ αἰνεία κοινῶς. τὰ γὰρ εἰς ας ἰσοσύλλαβα, ἀπὸ τῆς ὀνομαστικῆς ἐκβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν. ὅθεν καὶ τὸ α μακρόν ἐστιν. ὁ αἰνείας, ὦ αἰνεία. πίνδαρος μέντοι, διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων, ἀκαμαντοχάρμαν αἶαν ἔλεξεν, ἀντὶ ἀκαμαντοχάρμα, ἵν' ἐκφύγῃ τὴν κακοφωνίαν. πᾶσα δὲ κλητικὴ τὸν ἴσον χρόνον ἔχει τῇ ἰδίᾳ ὀνομαστικῇ, ἢ ἐλάττονα. οὐδέποτε δὲ μείζονα. καὶ ὦ αἰνείας ἀττικῶς. οἱ γὰρ ἀττικοὶ, τὰς αὐτὰς ἔχουσιν ὀνομαστικὰς καὶ κλητικάς.

τὸ ω, μέγα. τὸ γὰρ ω τῆς κλητικῆς ἀεὶ διὰ τοῦ ω μεγάλου γράφεται, καὶ ψιλοῦται, καὶ περισπᾶται.

Περὶ τῆς ὀνομαστικῆς καὶ κλητικῆς δυϊκῆς.

Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ καὶ κλητικὴ, ἀπὸ τῆς ἑνικῆς δοτικῆς. ὅθεν καὶ τὸ α μακρὸν φυλάττουσι. τῷ αἰνείᾳ, τὼ αἰνεία, ὦ αἰνεία. διαφέρει δὲ ἡ ὀνομαστικὴ τῆς δοτικῆς. ὅτι ἐκείνης μὲν τὸ τῷ περισπᾶται, καὶ ὑπογραφόμενον ἔχει τὸ ι. ὁμοίως καὶ τὸ α. ταύτης δὲ οὔ.

Περὶ τῆς γενικῆς καὶ δοτικῆς.

Ἡ γενικὴ καὶ δοτικὴ δυϊκὴ, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ ι καὶ ν. τὼ αἰνεία, τοῖν αἰνείαιν. καλεῖται δὲ ἡ ὀνομαστικὴ, καὶ αἰτιατικὴ. καὶ ἡ γενικὴ, καὶ δοτικὴ. διότι συγγένειαν πρὸς ἀλλήλας αἱ τοιαῦται πτώσεις ἔχουσιν. ὅθεν καὶ μεταβαλλόμεναι, τὴν δύναμιν αὐτῶν λαμβάνουσιν. οἷον, τὼ αἰνεία, ἀντὶ οἱ αἰνεῖαι, καὶ τοὺς αἰνείας. τοῖν αἰνείαιν, ἀντὶ τῶν αἰνειῶν, καὶ ταῖς αἰνείαις. Ἡ δὲ δυϊκὴ κλητικὴ ἐν πάσῃ κλίσει ὁμοία ἐστὶ τῇ ἰδίᾳ ὀνομαστικῇ.

Περὶ τῆς ὀνομαστικῆς καὶ κλητικῆς πληθυντικῆς.

Ἡ ὀνομαστικὴ πληθυντικὴ, καὶ ἡ κλητικὴ, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς προσθέσει τοῦ ι. τὼ αἰνεία, οἱ αἰνεῖαι, ὦ αἰνεῖαι. Ἔστι τῷ ναι, περισπωμένη. πᾶσα γὰρ φύσει μακρὰ πρὸ βραχείας κειμένη, περισπᾶται. τὸ αι, βραχύ. ἡ γὰρ αι καὶ οι δίφθογγος ἐν τέλει τούτων καὶ τῶν ὁμοίων εὑρισκόμεναι λέξεων, ἀντὶ βραχέων νομίζονται. οἷον, αἰνεῖαι, μοῦσαι, λόγοι, ὅμηροι. πεποίημαι, πεποίησαι, πεποίηται, πεποίηνται. τύπτομαι, τύπτεται. ἐὰν τύπτωμαι, τύπτηται. τύπτωνται, τύψασθαι. τύψαι. ποιῆσαι. ποίησαι. πλὴν τῶν εὐκτικῶν. οἷον, τύπτοι. τύψαι. καὶ τῶν συγκειμένων δοτικῶν. οἷον, λητοῖ. αἰδοῖ. καὶ τῶν ἐπιρρημάτων. οἷον, οἴκοι. παπαί. βαβαί. χαμαί. ἐξαιρεῖται τὸ πάλαι, καὶ τὰ ἐξ αὐτοῦ, ἔκπαλαι, πρόπαλαι.

Περὶ τῆς γενικῆς πληθυντικῆς.

Ἡ γενικὴ, τῶν αἰνειῶν κοινῶς. πᾶσα γὰρ γενικὴ πληθυντικὴ παντὸς γένους, εἰς ων λήγει. οἷον, τῶν αἰνειῶν. τῶν μουσῶν. τῶν ῥημάτων. ὅθεν καὶ μέση ὀνομάζεται. καὶ τὰ ἀπ' αὐτῆς ἐπιρρήματα, μεσότητος. οἷον, καλῶς, ἀπὸ καλῶν. καὶ σοφῶς, ἀπὸ σοφῶν. οἱ αἰολεῖς δὲ προστιθέασιν α μακρὸν, αἰνειάων ἀντὶ αἰνειῶν, καὶ νυμφάων ἀντὶ νυμφῶν λέγοντες. οἱ δὲ δωριεῖς, τὰς περισπωμένας γενικὰς διὰ τοῦ αν μακροῦ προφέρουσιν. οἷον, αἰνειᾶν, ἀντὶ αἰνειῶν. καὶ μουσᾶν, ἀντὶ μουσῶν. Ἔστι τὸ ων, περισπωμένη. πᾶσα γὰρ γενικὴ πλη-

θυντική, ὀνομαστικῆς ληγούσης εἰς αι, περισπᾶται. οἷον, αἰνεῖαι, αἰνειῶν. χρῦσαι, χρυσῶν. πλὴν τοῦ χλοῦναι, χλούνων, καὶ χρῆσται, χρήστων, καὶ ἐτήσιαι, ἐτησίων. Ἔτι εἰ μὲν θηλυκὴ μονογενὴς εἴη, ὁμοίως περισπᾶται. οἷον, μοῦσαι, μουσῶν. γλῶσσαι, γλωσσῶν. χωρὶς τοῦ ἀφύαι, ἀφύων. εἰ δὲ τριγενής, ὁμοτονεῖ τῇ γενικῇ τοῦ ἰδίου ἀρσενικοῦ. οἷον, ἅγιοι, ἁγίων. ἅγιαι, ἁγίων. δίκαιοι, δικαίων. εἰ δὲ ἡ γενικὴ θηλυκὴ διοίσει τῆς ἀρσενικῆς γενικῆς κατὰ τὴν φωνήν, περισπᾶται. οἷον, ταχεῖς, ταχέων, ταχεῖαι, ταχειῶν. μέλανες, μελάνων, μέλαιναι, μελαινῶν.

Περὶ τῆς δοτικῆς πληθυντικῆς.

Ἡ δοτικὴ πληθυντική; ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, προσθέσει τοῦ σ. οἷον, οἱ αἰνεῖαι, τοῖς αἰνείαις. καὶ κατὰ προσχηματισμόν, αἰνείαισι. γίνεται δὲ οὗτος παρὰ ποιηταῖς καὶ ῥήτορσιν ἰωνικοῖς ἐν ταῖς ληγούσαις εἰς αις καὶ εἰς οις δοτικαῖς. οἷον, αἰνείαισιν, ἀντὶ αἰνείαις. λόγοισιν, ἀντὶ λόγοις. Περὶ τῆς αἰτιατικῆς πληθυντικῆς.

Ἡ αἰτιατικὴ πληθυντική; ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, τροπῇ τοῦ ι εἰς σ. οἱ αἰνεῖαι, τοὺς αἰνείας. Τὸ ας; μακρόν. τῶν γὰρ ἰσοσυλλάβων αἰτιατικῶν τὸ ας ἐκτείνεται. οἷον, αἰνείας. πέρσας. μούσας. τῶν δὲ περιττοσυλλάβων, συστέλλεται. οἷον, αἴαντας. θόαντας. Οἱ δωριεῖς δὲ ἑπομένου φωνήεντος, συστέλλουσι τὸ ας τῶν ἰσοσυλλάβων αἰτιατικῶν. τούτου μάρτυς Θεόκριτος ἐν τῷ πρώτῳ εἰδυλλίῳ, πάντα δ' ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι. τὸ γὰρ χνας βραχύ ἐστιν, ἵνα ὁ πέμπτος, δάκτυλος γένοιτο. Ἡ δὲ κλητικὴ πληθυντική; ἐν πάσῃ κλίσει ὁμοία ἐστὶ τῇ ἰδίᾳ ὀνομαστικῇ. Ὁ αἰνείας. τοῦ αἰνείου κοινῶς, καὶ αἰνεία δωρικῶς, καὶ αἰνείαο αἰολικῶς, καὶ αἰνείεω ἰωνικῶς. τῷ αἰνείᾳ κοινῶς, καὶ αἰνείῃ ἰωνικῶς. τὸν αἰνείαν κοινῶς, καὶ αἰνείην ἰωνικῶς, καὶ αἰνέεα. Ἡ κλητική; ὦ αἰνεία κοινῶς, καὶ ὦ αἰνείας ἀττικῶς. Τὼ αἰνεία. τοῖν αἰνείαιν. ὦ αἰνεία. Οἱ αἰνεῖαι. τῶν αἰνειῶν κοινῶς, καὶ αἰνειάων αἰολικῶς, καὶ αἰνειᾶν δωρικῶς. τοῖς αἰνείαις, καὶ αἰνείαισι. τοὺς αἰνείας, ὦ αἰνεῖαι.

Περὶ τῶν εἰς ης ἰσοσυλλάβων ὀνομάτων τῆς πρώτης κλίσεως.

Ὁ χρύσης πόθεν παράγεται; ἀπὸ τοῦ χρυσός. τὸ δὲ χρυσός; ἀπὸ τοῦ ῥύομαι. Τὸ χρυ; ψιλόν. τὸ γὰρ ῥύομαι, μηνύω, ἐρύω, ἑλκύω, κωλύω, θύω, δακρύω, ἀνύω, κωκύω, διὰ τοῦ υ ψιλοῦ γράφονται. τὸ δὲ κυλίω, κονίω, μηνίω, ἐθίω, διὰ τοῦ ι. Τὸ χρυ μακρὸν ἢ βραχύ; μακρόν. τὸ γὰρ θύω, ῥύομαι, λύω, δακρύω, κωκύω, ἐν μὲν τῷ ἐνεστῶτι, μακρὸν καὶ βραχὺ τὸ υ ἔχουσιν. ἐν δὲ τῷ μέλλοντι, μακρόν. Ἐπὶ τῷ χρυ;

ὀξεῖα. μακρὰ γὰρ πρὸ μακρᾶς παροξύνεται. Τὸ σης; η. Τὰ γὰρ εἰς ης ὀνόματα, εἰς ου καὶ εἰς τος καὶ ους ποιοῦντα τὴν γενικήν, διὰ τοῦ η γράφονται. τὰ δὲ εἰς δος καὶ εἰς ος ποιοῦντα, διὰ τοῦ ι. Οἱ δωριεῖς δὲ τὸ η εἰς α μακρὸν τρέποντες, χρύσας ἀντὶ χρύσης λέγουσιν. ὥσπερ παρὰ Πινδάρῳ, ἑλλανοδίκας, καὶ ἀμφιτρυωνίδας, ἀντὶ ἑλλανοδίκης, καὶ ἀμφιτρυωνίδης.

Περὶ τῆς γενικῆς ἑνικῆς.

Ἡ γενική; τοῦ χρύσου κοινῶς. τὰ γὰρ εἰς ης βαρύτονα ὑπερδισύλλαβα, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, χρύσης, χρύσου. πέρσης, πέρσου. καὶ δωρικῶς, χρύσα, ὥσπερ πηλείδα, ἀντὶ πηλείδου. καὶ βοιωτικῶς καὶ αἰολικῶς, χρύσαο. καὶ ἰωνικῶς, χρύσεω.

Περὶ τῆς δοτικῆς.

Ἡ δοτική; ἀπὸ τῆς ὀνομαστικῆς κοινῶς, ἐκβολῇ τοῦ σ. ὁ χρύσης, τῷ χρύσῃ. καὶ δωρικῶς, χρύσᾳ, τοῦ α μακροῦ ὄντος. τὸ δὲ παρ' Ἀντιμάχῳ σεσημειωμένον, Παῖδί τε κυανοχαῖτα Ποσειδάωνι πεποιθὼς, κατὰ μεταπλασμὸν ἀπὸ τοῦ κυανοχαίτῃ γέγονε διὰ τὸ μέτρον. ὅθεν καὶ τὸ α βραχύ ἐστι.

Περὶ τῆς αἰτιατικῆς.

Ἡ αἰτιατική; ὁμοίως ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ σ εἰς ν κοινῶς. ὁ χρύσης, τὸν χρύσην. καὶ δωρικῶς, χρύσαν. ὥσπερ παρὰ Πινδάρῳ δεσπόταν, ἀντὶ δεσπότην. καὶ ἰωνικῶς, χρύσεα. ὥσπερ παρ' Ἡροδότῳ ξέρξεα, ἀντὶ ξέρξην. Ἡ κλητική; ὦ χρύση κοινῶς. τὰ γὰρ εἰς ης ἰσοσύλλαβα, εἰς η ποιοῦσι τὴν κλητικήν. ὁ χρύσης, ὦ χρύση, καὶ ὦ χρύσης ἀττικῶς. σεσημείωται ὁ λάγνης, τοῦ λάγνου, ὦ λάγνα, καὶ πυραίχμης, πυραίχμου, ὦ πυραίχμα. καὶ τὸ, μάκαρ ὦ στρεψίαδες, παρ' Ἀριστοφάνει πέπαικται, καὶ Ἡρακλεῖδες. Τὰ δὲ εἰς της λήγοντα ἰσοσύλλαβα, εἰς α βραχὺ ποιοῦσι τὴν κλητικήν. οἷον, ὁ ποιητὴς, τοῦ ποιητοῦ, ὦ ποιητά. ὁ τοξότης, τοῦ τοξότου, ὦ τοξότα. ὁ προφήτης, τοῦ προφήτου, ὦ προφῆτα. ὁ λῃστὴς, τοῦ λῃστοῦ, ὦ λῃστά. σεσημείωται ὁ αἰήτης, τοῦ αἰήτου, ὦ αἰήτη. ὁ καλλιπέτης, τοῦ καλλιπέτου, ὦ καλλιπέτη. ὁ αἰναρέτης, τοῦ αἰναρέτου, ὦ αἰναρέτη. ὁ φιλοθερσίτης, τοῦ φιλοθερσίτου, ὦ φιλοθερσίτη. ὡς παρὰ τῷ ποιητῇ, ὦ φιλοθερσίτη φιλοκέρτομε. οὐ τὸ ἁπλοῦν διὰ τοῦ α ἔλεξεν. οἷον, θερσίτ' ἀκριτόμυθε. Ἔτι τὰ εἰς ης ἐθνικὰ, εἰς α ποιοῦσι τὴν κλητικήν. οἷον, ὁ σκύθης, ὦ σκύθα. ὁ καππαδόκης, ὦ καππαδόκα. ὁ πέρσης, ὦ πέρσα, καὶ ὦ πέρση σπανίως. ὅτε δὲ κύριον εἴη, εἰς η ποιεῖ τὴν κλητικήν. ὅθεν πολλάκις καὶ Ἡσίοδος, ὦ Πέρση εἴρηκεν. Ἔτι τὰ σύνθετα ἀπὸ τοῦ μετρῶ καὶ πωλῶ καὶ τρίβω, εἰς α ποιοῦσι

τὴν κλητικήν. οἷον, μετρῶ, γεωμέτρης, ὦ γεωμέτρα. πωλῶ, βιβλιοπώλης, ὦ βιβλιοπῶλα. τρίβω, οἷον, παιδοτρίβης, ὦ παιδοτρίβα. ἔτι τὰ εἰς ωπης ποιητικά, οἷον, ὁ κυνώπης, ὦ κυνῶπα. ὅθεν καὶ ὁ ποιητής, τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε κυνῶπα. ὁ ἐχθοδόπης, ὦ ἐχθοδόπα. ὅθεν καὶ Σοφοκλῆς, ἐχθοδόπ' ἀτρείδαις. ἔτι τὰ εἰς της περιττοσύλλαβα, εἰ μὴ διὰ τοῦ τος κλίνεται, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. λάχης λάχητος, ὦ λάχης. εἰ δὲ διὰ τοῦ ντ, εἰς ν ποιεῖ τὴν κλητικήν. τιμῆς, τιμῆντος τιμῆν. Ἡ ὀνομαστικὴ καὶ κλητικὴ δυϊκή· ἀπὸ τῆς γενικῆς δοτικῆς τροπῇ τοῦ η εἰς α. ὅθεν καὶ τὸ α μακρὸν ἔχουσι. τῷ χρύσῃ, τὼ χρύσα, ὦ χρύσα. Ἡ γενικὴ καὶ δοτικὴ δυϊκή· ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ ι καὶ ν. τὼ χρύσα, τοῖν χρύσαιν. Ἡ ὀνομαστικὴ καὶ κλητικὴ πληθυντική· ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ ι. τὼ χρύσα, οἱ χρῦσαι, ὦ χρῦσαι. Ἡ γενική· τῶν χρυσῶν κοινῶς, καὶ χρυσᾶν δωρικῶς, καὶ χρυσέων ἰωνικῶς, καὶ χρυσάων αἰολικῶς. Ἡ δοτικὴ πληθυντική, ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, προσθέσει τοῦ σ. οἱ χρῦσαι, τοῖς χρύσαις. καὶ προσχηματισμῷ, χρύσαισι. καὶ ἰωνικῶς, χρύσῃσι, τροπῇ τοῦ α εἰς η, καὶ τοῦ ι ὑπογραφομένου. Ἡ αἰτιατικὴ πληθυντική· ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ ι εἰς σ. οἱ χρῦσαι, τοὺς χρύσας. καὶ ταῦτα μὲν περὶ τῶν εἰς ας καὶ εἰς ης. ὧν τῷ κανόνι πάντα σχηματίσεις τῆς πρώτης κλίσεως ἀρσενικά καὶ κοινά.

Κανών.

Ὁ χρύσης, τοῦ χρύσου κοινῶς, καὶ χρύσα δωρικῶς, καὶ χρύσαο αἰολικῶς, καὶ χρύσεω ἰωνικῶς. τῷ χρύσῃ κοινῶς, καὶ χρύσᾳ δωρικῶς. τὸν χρύσην κοινῶς, καὶ χρύσαν δωρικῶς, καὶ χρύσεα ἰωνικῶς. ὦ χρύση κοινῶς, καὶ ὦ χρύσης ἀττικῶς. τὼ χρύσα, τοῖν χρύσαιν. ὦ χρύσα. οἱ χρῦσαι. τῶν χρυσῶν, καὶ χρυσᾶν, καὶ χρυσάων, καὶ χρυσέων. τοῖς χρύσαις, καὶ χρύσῃσι. τοὺς χρύσας, ὦ χρῦσαι.

Περὶ τῆς δευτέρας κλίσεως.

Ἡ δευτέρα κλίσις δύο καταλήξεις ἔχει εἰς α καὶ η θηλυκῶν ὀνομάτων. οἷον, ἡ μοῦσα, ἡ μαῖα. ἡ τιμή, ἡ ἑλένη.

Περὶ τῶν εἰς α θηλυκῶν.

Ἡ μοῦσα πόθεν παράγεται; ἀπὸ τοῦ μῶσθαι. ἢ ἀπὸ τοῦ ὁμοῦ οὖσαι, ὁμόουσαι, καὶ μοῦσαι. Τὸ η; η. τὰ γὰρ θηλυκὰ ἄρθρα διὰ τοῦ η γράφονται. Τὸ μου; μακρόν. αἱ δίφθογγοι πᾶσαι. Ἐπὶ τὸ μου; περισπωμένη. πᾶσα γὰρ φύσει μακρὰ πρὸ βραχέος κειμένη, περισπᾶται. Τὸ σα; βραχύ. περὶ οὗ εἰδέναι δεῖ, ὅτι πᾶν θηλυκὸν

εἰς α λῆγον ὀξύτονον, ἢ περισπώμενον, ἐκτεταμένον ἔχει αὐτό. οἷον, χαρά. πονηρά. φοβερά. ἀθηνᾶ. μνᾶ. ναυσικᾶ. ἀργυρᾶ. σιδηρᾶ. Ἔτι εἰ παροξύτονον διὰ τοῦ ια. οἷον, προσῳδία. κοιλία. τραγῳδία. κακῳδία. κωμῳδία. Ἔτι εἰ ἀπὸ τοῦ ευω ῥήματος γίνεται, οἷον, βασιλεύω, βασιλεία. ἀριστεύω, ἀριστεία. κολακεύω, κολακεία. δουλεύω, δουλεία. Ἔτι εἰ ὑπερδισύλλαβον εἴη τῇ αι διφθόγγῳ παραληγόμενον. οἷον, ἀθηναία. σεληναία. Ἔτι εἰ εἰς ρα μονοφθόγγῳ παραληγόμενον. οἷον, πήρα. θήρα. χώρα. ἢ μετ᾽ ἐπιπλοκῆς συμφώνου. οἷον, πέτρα. ἄγρα. καθέδρα. πλὴν τοῦ τάναγρα. καὶ σκολόπενδρα. Ἔτι τὰ εἰς δα, καὶ εἰς θα. οἷον, λήδα. κισσαίθα. καὶ τὰ εἰς α θηλυκὰ ἐπίθετα ἀπὸ τῶν εἰς ος τῇ γενικῇ τοῦ ἰδίου ἀρσενικοῦ ὁμοχρονοῦντα, ἐκτεταμένον ἔχουσιν. οἷον, ἀνδρεῖος, ἀνδρείου, ἀνδρεία. θεῖος, θείου, θεία. λόγιος, λογίου, λογία. πλὴν τοῦ πέπειρος, πέπειρα. δῖος, δῖα. ἴος, ἴα. καὶ μίος, μία. τὰ δὲ ἀπὸ τῶν εἰς υς ἐπίθετα τῇ γενικῇ τῶν ἰδίων ἀρσενικῶν ὁμοχρονοῦντα, συνεσταλμένον ἔχουσι τὸ α. οἷον, γλυκύς, γλυκέος, γλυκεῖα. ἡδύς, ἡδέος, ἡδεῖα. ὀξύς, ὀξέος, ὀξεῖα. βαρύς, βαρέος, βαρεῖα. Ἔτι τὰ δισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ, συνεσταλμένον ἔχουσι τὸ α. οἷον, μαῖα. γαῖα. γραῖα. αἶα. Ἔτι τὰ εἰς ρα διφθόγγῳ παραληγόμενα. οἷον, πεῖρα. μοῖρα. πλὴν τῆς φαίδρα. σαύρα. αὖρα. λαύρα. Ἔτι τὰ εἰς α ἄλλο τι σύμφωνον λήγοντα. οἷον, μοῦσα. πεῖρα. δίψα. Ἔτι τὰ προπαροξύτονα. οἷον, δέσποινα. αἴγινα. εὐσέβεια. εὐγένεια. θάλασσα.

Περὶ τῆς γενικῆς.

Ἡ γενικὴ τῆς μούσης. τὰ μὲν εἰς α καὶ εἰς η θηλυκά, κοινῶς εἰς ης ποιοῦσι τὴν γενικήν. Δεῖ δὲ εἰδέναι, ὅτι μόνα τὰ εἰς α μακρὸν, καὶ εἰς α καθαρὸν, καὶ εἰς ρα, καὶ εἰς δα, καὶ εἰς θα ὀνόματα θηλυκά, φυλάττουσι τὸ α ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς. οἷον, ἀθηνᾶ, ἀθηνᾶς, ἀθηνᾷ. μαῖα, μαίας, μαίᾳ. ἡμέρα, ἡμέρας, ἡμέρᾳ. λήδα, λήδας, λήδᾳ. μάρθα, μάρθας, μάρθᾳ. τὰ δὲ ἄλλα πάντα, τρέπουσι κοινῶς τὸ α εἰς η. οἷον, μοῦσα, μούσης, μούσῃ. δόξα, δόξης, δόξῃ. ῥίζα, ῥίζης, ῥίζῃ. Οἱ ἴωνες δὲ τὸ α μακρὸν τῶν εἰς α εἰς η τρέποντες, ἱστορίη ἀντὶ ἱστορία, καὶ ἡμέρη, ἀντὶ ἡμέρα λέγουσιν. ὁμοίως καὶ ἐπὶ τῶν ἐνικῶν ἄλλων πτώσεων. Οἱ δωριεῖς δὲ, τοὐναντίον τὸ η εἰς α μακρὸν τρέποντες, ᾠδὰ ἀντὶ ᾠδή, καὶ τιμὰ ἀντὶ τιμὴ λέγουσι. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τῶν συμφώνων τὰ μὲν, ἔχουσι τελικὸν τὸ α. τὰ δὲ, τὸ η. τὰ δὲ, ἀμφότερα. τὸ ζ ξ ψ ἓν σ καὶ δύο, καὶ δύο λλ, τὸ α ἔχουσιν. οἷον, ῥίζα. δόξα. δίψα. μοῦσα. θάλασσα. θύελλα. σκύλλα. πλὴν τοῦ ἔλλη.

καὶ πέλλη. τὸ δὲ β, γ, δ, ἐν λ, μ, π, τ, φ, χ, τὸ η ἔχουσιν. οἷον, θήβη. στέγη. ἴδη. αὐλή. φυλή. πλὴν τοῦ παῦλα, καὶ ἀνάπαυλα. οἴμη. πηνελόπη. ἀρετή. νύμφη. ψυχή. ὁμοίως δὲ καὶ τὸ λ ἐν ἐπιπλοκῇ ἑτέρου συμφώνου τὸ η ἔχει. οἷον, κίχλη. σίγλη. ὁμίχλη. ζεύγλη. καὶ ζεῦγλα παρὰ τοῖς ἀρχαίοις. Τὸ δὲ θ, καὶ κ, καὶ ν, τὸ α καὶ η ἔχουσιν. οἷον, μάρθα, λήθη. ναυσικᾶ, ἰοδόκη. ἀθηνᾶ, εἰρήνη. ἡ θέκλα δὲ καὶ αὐγοῦστα, λατινικά. αὐτοὶ γὰρ ἔθει αἰολικῷ τὸ η εἰς α βραχὺ τρέποντες, θέκλα ἀντὶ θέκλη, καὶ νύμφα ἀντὶ νύμφη, καὶ ἀφροδίτα ἀντὶ ἀφροδίτη λέγουσι. καὶ τὰ εἰς ρα μονογενῆ, εἴτε ἐπίθετα, τὸ α ἔχουσιν. οἷον, ἡμέρα, φαλάγρα, ποδάγρα, φοβερά, καθαρά. πλὴν τοῦ ἄκρη, κόρη, κόρρη, ἀθαρή, δέρη, κύρη, τερψιχόρη, ἐφύρη, ὀλυκρή, κάρη, ἄγρη, ἀντιζέρη, ἶρη. καὶ ταῦτα μὲν περὶ τῶν μονογενῶν. Τὰ δὲ θηλυκὰ τῶν εἰς ος καθαρὸν ἐπιθέτων, τὸ α ἔχουσιν. οἷον, λόγιος, λογία. τίμιος, τιμία. σεσημείωται ὄγδοος, ὀγδόη. τὰ δὲ μὴ καθαρὸν, τὸ η. οἷον, σοφὸς, σοφή. καλὸς, καλή. χωρὶς τῶν εἰς ρα ληγόντων. οἷον, καθαρὸς, καθαρά. πονηρὸς, πονηρά. Ὁμοίως καὶ τῶν φωνηέντων τὸ μὲν α, τὸ η ἔχει τελικόν. οἷον, δανάη. τὸ δὲ ε, τὸ α. οἷον, θέα. θεά. τὸ δὲ ι, τὸ α. οἷον, μανία, ἀνία. τὸ δὲ ο, τὸ α καὶ τὸ η. οἷον, στοά. ἀκοή. τὸ δὲ υ, τὸ η. οἷον, λιβύη. ἐγγύη. τὸ δὲ ω, τὸ η. οἷον, ζωή. ἰωή. Ἡ δοτική; τῇ μούσῃ, ἀπὸ τῆς γενικῆς, ἐκβολῇ τοῦ σ. μούσης, μούσῃ. καὶ μούσᾳ δωρικῶς. Ἡ αἰτιατική; ἀπὸ τῆς ὀνομαστικῆς, προσθέσει τοῦ σ. ὅθεν καὶ τὸ α βραχὺ ἔχει. ἡ μοῦσα, τὴν μοῦσαν. Ἡ κλητική; ὦ μοῦσα. τὰ γὰρ εἰς α καὶ εἰς η θηλυκὰ τὴν αὐτὴν ἔχουσιν ὀνομαστικὴν καὶ κλητικήν. ἡ μοῦσα, ὦ μοῦσα. ἡ τιμὴ, ὦ τιμή. Ἡ ὀνομαστικὴ καὶ κλητικὴ δυϊκή; ἀπὸ τῆς γενικῆς δοτικῆς, τροπῇ τοῦ η εἰς α. ὅθεν καὶ τὸ α μακρὸν ἔχουσι, μὴ ὑπογραφομένου ι. τῇ μούσῃ, τὰ μούσα, ὦ μούσα. Ἡ γενικὴ καὶ δοτικὴ δυϊκή; ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ ι καὶ ν. τὰ μούσα, ταῖν μούσαιν. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ ἡ κλητική; ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ ι. τὰ μούσα, αἱ μοῦσαι, ὦ μοῦσαι. Ἡ γενικὴ πληθυντική; τῶν μουσῶν κοινῶς, καὶ μουσᾶν δωρικῶς, καὶ μουσάων αἰολικῶς, καὶ μουσέων ἰωνικῶς. Ἡ δοτικὴ πληθυντική; ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, προσθέσει τοῦ σ. αἱ μοῦσαι, ταῖς μούσαις. καὶ πλεονασμῷ, μούσαισι. καὶ ἰωνικῶς, μούσῃσι, τροπῇ τοῦ α εἰς η, καὶ τοῦ ι ὑπογραφομένου. Ἡ αἰτιατικὴ πληθυντική; ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, τροπῇ τοῦ ι εἰς

σ. αἱ μοῦσαι, τὰς μούσας. Κανών.

Ἡ μοῦσα. τῆς μούσης. τῇ μούσῃ. τὴν μοῦσαν. ὦ μοῦσα. Τὰ μούσα. ταῖν μούσαιν. ὦ μούσα. Αἱ μοῦσαι. τῶν μουσῶν. ταῖς μούσαις. τὰς μούσας. ὦ μοῦσαι.

Περὶ τῶν εἰς η ληγόντων.

Τιμὴ πόθεν παράγεται; ἀπὸ τοῦ τίω. ὅθεν καὶ τὸ τι μακρὸν ἔχει. Τὸ τι; ι. τίω, χρίω, κυλίω, μηνίω, ι. χρείω δὲ, καὶ κλείω, καὶ ὀτρείω, καὶ κιχείω, διφθογγονεῖ. Τὸ μη; η. πάντα τὰ εἰς η θηλυκὰ διὰ τοῦ η γράφονται. Ἐπὶ τῷ μη; βαρεῖα. πᾶσα γὰρ ὀνομαστικὴ καὶ αἰτιατικὴ ἀσυναίρετος, ὀξύνεται. ἐν δὲ τῇ συνεπείᾳ, τὴν ὀξεῖαν εἰς βαρεῖαν τρέπομεν. Ἡ γενική; τῆς τιμῆς, ἀπὸ τῆς ὀνομαστικῆς, προσθέσει τοῦ σ. τιμή, τιμῆς. καὶ δωρικῶς, τιμᾶς. Ἐπὶ τῷ μης; περισπωμένη. πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος, ἐπὶ τέλους ἔχουσα τὸν τόνον, περισπᾶται. τιμῆς, τιμῇ. σοφοῦ, σοφῷ. Ἡ δοτική; ἀπὸ τῆς γενικῆς ἐκβολῇ τοῦ σ. τιμῆς, τιμῇ. καὶ δωρικῶς, τιμᾷ. εὑρήσεις δὲ καὶ παρὰ ποιηταῖς τοιαύτας δοτικὰς πεπονθυίας μεταπλασμὸν διὰ τὸ μέτρον. καὶ παρὰ τῷ ποιητῇ ἐν θ ἰλιάδος, Παυρότεροι μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι, ἀντὶ ὑσμίνῃ. καὶ ἀλκὶ πεποιθὼς, ἀντὶ ἀλκῇ. καὶ παρὰ Καλλιμάχῳ, Μήμε τὸν ἐν δωδῶνι λέγοι μόνον εἵνεκα χαλκοῦ. ἀντὶ δωδώνῃ. Ὁμοίως δὲ γίνεται αὐταῖς καὶ προσχηματισμὸς παρὰ τοῖς ποιηταῖς. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ β τῆς ἰλιάδος, ὡς φήτρη φήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. ἡ τοιαύτη δὲ παραγωγὴ γίνεται ἐν πολλαῖς πτώσεσι διαφόρων ὀνομάτων. ἐν ὀνομαστικῇ, ὡς ἑτέρηφιν, ἀντὶ ἑτέρῃ. ἐν γενικῇ, ὡς χαλκόφιν, ἀντὶ χαλκοῦ. ἐν δοτικῇ, ὡς βίηφι, ἀντὶ βίῃ. ἐν αἰτιατικῇ, ὡς εὐνῆφιν, ἀντὶ εὐνήν. καὶ δεξιόφιν, ἀντὶ δεξιόν. ἐν κλητικῇ, ὡς οὐρανίαφι φίλη, ἀντὶ οὐρανία φίλη. Ἡ αἰτιατική; ἀπὸ τῆς ὀνομαστικῆς, προσθέσει τοῦ ν. τιμή, τιμήν. καὶ δωρικῶς, τιμάν. τὴν δὲ τοιαύτην αἰτιατικὴν ὁ Θεοδόσιος ἐν τῷ περὶ τόνων πάσχειν φησὶ μεταπλασμόν. ὡς, φύγαδ' ἔτραπε μώνυχας ἵππους, ἀντὶ εἰς φυγήν. δύναται δὲ εἶναι φυγάδ', ἀντὶ εἰς φυγάδα, ἀπὸ τοῦ φυγὰς φυγάδος. Ἡ κλητική; ὦ τιμή. τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ σχηματίσεις τῷ κανόνι τῆς μούσης, καὶ πᾶν ὄνομα θηλυκὸν εἰς α καὶ εἰς η λῆγον.

Περὶ τῆς ζʹτης κλίσεως.

Ἡ ζʹτη κλίσις δύο καταλήξεις ἔχει, εἰς ως ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων ἀττικῶν, καὶ εἰς ων οὐδετέρων. οἷον, ὁ μενέλεως. ἡ ἅλως. ὁ καὶ ἡ εὔγεως, καὶ τὸ εὔγεων. Σημειωσαι δὲ ὅτι οἱ ἀττικοὶ τῶν εἰς ως καθαρὸν κοινῶν ὀνομάτων τῆς τετάρτης κλίσεως τὴν λήγουσαν ἐκτείνοντες, καὶ τὴν παραλήγουσαν συστέλλοντες, σχηματίζουσι τὰ εἰς ως, φυλάττοντες τὸν αὐτὸν τόνον. οἷον, ὁ μενέλαος, ὁ μενέλεως. ὁ νικόλαος, ὁ νικόλεως. ὁ ἰόλαος, ὁ ἰόλεως. ὁ λαὸς, ὁ λεώς. ὁ ναὸς, ὁ νεώς. ἐξαιρεῖται ὁ κάλος, ὁ κάλως, ὁ τάλος, ὁ τάλως, τὴν αὐτὴν φυλάξαντες παραλήγουσαν. καὶ ὁ ὄρφος, ὀρφὼς, καὶ ὁ λαγὸς, λαγὼς, μετήλλαξαν τὸν τόνον.

Περὶ τῶν εἰς ως ἀττικῶν.

ὁ μενέλεως πόθεν παράγεται; παρὰ τὸ μένος, καὶ λεώς. τὸ με; ψιλόν. μένω, ψιλόν. μαίνω δὲ, δίφθογγον. τὸ νε; ψιλόν. ἀπὸ τοῦ μένος, τροπῇ τοῦ ο εἰς ε. προπαροξύνεται δὲ καὶ μακρᾶς οὔσης τῆς ληγούσης. οἱ γὰρ ἀττικοὶ παραβαίνουσι τὸν κοινὸν κανόνα. Ἡ γενική; τοῦ μενέλεω. ἀπὸ τῆς ὀνομαστικῆς, ἐκβολῇ τοῦ σ. προσλαμβάνει δὲ πολλάκις παρὰ ποιηταῖς ο διὰ τὸ μέτρον. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ δ τῆς ἰλιάδος, ὦ υἱὲ πετεῶο διοτρεφέος βασιλῆος. πετεὼς γὰρ πετεώ. καὶ προσθέσει τοῦ ο, πετεῶο. ὁμοίως καὶ ταλαῶο, ἀντὶ ταλαώ. καὶ ἀνδρογεῶο, ἀντὶ ἀνδρόγεω. καὶ μινῶο ἀντὶ μίνω. Ἡ δοτική; ὁμοίως τῇ γενικῇ, ὑπογραφομένου καὶ ι. Ἡ αἰτιατική; ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ σ εἰς ν. ὁ μενέλεως, τὸν μενέλεων. εὕρηνται δὲ αὗται αἱ αἰτιατικαὶ χωρὶς ν ἔθει ἀρχαίῳ ἀττικῷ. ἄθω, λαγὼ, κῶ, κέω, ἕω. Ἡ ὀνομαστικὴ καὶ κλητικὴ δυϊκή; ὁμοίως τῇ ἑνικῇ δοτικῇ, μὴ ὑπογραφομένου ἰῶτα. τὼ μενέλεω, ὦ μενέλεω. Ἡ γενικὴ καὶ δοτικὴ δυϊκή; ἀπὸ τῆς γενικῆς καὶ δοτικῆς κοινῆς, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, ὑπογραφομένου καὶ τοῦ ι. τοῖν μενελάοιν, τοῖν μενέλεῳν. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ ἡ κλητική; ἀπὸ τῆς κοινῆς ὀνομαστικῆς καὶ κλητικῆς πληθυντικῆς, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, ὑπογραφομένου καὶ τοῦ ι. οἱ μενέλαοι, ὦ μενέλαοι. οἱ μενέλεῳ, ὦ μενέλεῳ. Ἡ γενική; τῶν μενέλεων. Ἡ δοτικὴ πληθυντική; ἀπὸ τῆς κοινῆς δοτικῆς πληθυντικῆς, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, ὑπογραφομένου καὶ τοῦ ι. τοῖς μενελάοις, τοῖς μενέλεῳς. Ἡ αἰτιατικὴ πληθυντική; ἀπὸ

τῆς κοινῆς αἰτιατικῆς πληθυντικῆς, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, καὶ ἐκβαλλομένου τοῦ υ. τοὺς μενελάους, τοὺς μενέλεως. ὁμοίως τούτῳ τῷ κανόνι σχηματίσεις τὰ θηλυκὰ καὶ κοινὰ καὶ ἐπίκοινα. καὶ τὰ οὐδέτερα δὲ οὕτω, ὧν τρεῖς πτώσεις εἰσὶν ὅμοιαι. καὶ ἡ ὀνομαστικὴ δὲ, καὶ αἰτιατικὴ πληθυντικὴ, καὶ κλητικὴ, εἰς ω μέγα λήγει ἀττικῶς, μὴ ὑπογραφομένου ι. εὕρηται δὲ καὶ τὸ χρέως, τοῦ χρέω, τῷ χρέῳ, τὸ χρέως ἀττικῶς.

κανών.

ὁ μενέλεως. τοῦ μενέλεω. τῷ μενέλεῳ. τὸν μενέλεων. ὦ μενέλεως. τὼ μενέλεω. τοῖν μενέλεῳν. ὦ μενέλεω. οἱ μενέλεω. τῶν μενέλεων. τοῖς μενέλεῳς. τοὺς μενέλεως. ὦ μενέλεω.

τὸ εὔγεων. τοῦ εὔγεω. τῷ εὔγεῳ. τὸ εὔγεων. ὦ εὔγεων. τὼ εὔγεω. τοῖν εὐγέῳν. ὦ εὔγεω. τὰ εὔγεω. τῶν εὔγεων. τοῖς εὔγεῳς. τὰ εὔγεω. ὦ εὔγεω.

περὶ τῆς τετάρτης κλίσεως.

Ἡ τετάρτη κλίσις δύο καταλήξεις ἔχει, εἰς ος ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων, καὶ εἰς ον οὐδετέρων. οἷον, ὁ λόγος, ἡ ὁδός. ὁ καὶ ἡ ἄνθρωπος. ὁ ἀετός. τὸ ξύλον.

περὶ τῶν εἰς ος.

Ὁ λόγος πόθεν παράγεται, ἀπὸ τοῦ λέγω. τὸ λο, μικρόν. ἀπὸ τοῦ λέγω, τροπῇ τοῦ ε εἰς ο. ὅτι γὰρ τὰ ῥήματα τὸ ε ἔχουσι, τότε καὶ τὰ ἐξ αὐτῶν ὀνόματα τὸ ο ἀντὶ παρακείμενον ἔχουσιν. οἷον, λέγω, λόγος. θέω, θόος. στέγω, στόγος. τρέχω, τροχός. φέρω, φόρος. τὸ γος, μικρόν. τὰ δὲ εἰς ος πάντα κοινὰ μὲν ὄντα, διὰ τοῦ ο μικροῦ γράφονται. οἷον, λόγος, ὁδὸς, ἄνθρωπος. ἀττικὰ δὲ, διὰ τοῦ ω μεγάλου. οἷον, μενέλεως, νεὼς, εὔγεως. Ἡ γενικὴ, τοῦ λόγου. τὰ γὰρ εἰς ος κοινῶς, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, λόγος, λόγου. παρθένος, παρθένου. οἱ δὲ ἀττικοὶ καὶ ἴωνες, διὰ τοῦ οιο προφέρουσι τὰς τοιαύτας γενικάς, λόγοιο λέγοντες, ἀντὶ λόγου. καὶ πριάμοιο, ἀντὶ πριάμου. καὶ σοφοῖο, ἀντὶ σοφοῦ. καὶ καλοῖο, ἀντὶ καλοῦ, φυλάττοντες τὸν τόνον τῆς κοινῆς γενικῆς. Οἱ δωριεῖς δὲ τὸ ου εἰς ω τρέποντες, διὰ τοῦ ω προφέρουσι τὰς τοιαύτας γενικάς. ὅθεν καὶ θεόκριτος ἐν τῷ πρώτῳ εἰδυλλίῳ, ἢ κατὰ πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ πίνδω. ἀντὶ πηνειοῦ, καὶ πίνδου. Ἡ δοτική, ἀπὸ τῆς γενικῆς, τροπῇ τοῦ ου εἰς ῳ. τοῦ λόγου, τῷ λόγῳ. εὑρήσεις δὲ τοιαύτας δοτικὰς μεταπεπλασμένας εἰς ι. οἷον, διχόμηνι, ἀντὶ διχομήνῳ. καὶ πολυπάταγι, ἀντὶ πολυπατάγῳ. καὶ κλάδι, ἀντὶ κλάδῳ. Ἡ αἰτιατική, ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ σ εἰς ν. ὁ λόγος, τὸν λόγον. Ἡ κλητική, ὦ λόγε κοινῶς.

τὰ γὰρ εἰς ος, εἰς ε ποιοῦσι τὴν κλητικήν. ὁ λόγος, ὦ λόγε, καὶ ὦ λόγος ἀττικῶς. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, καὶ ἡ κλητικὴ, ἀπὸ τῆς ἑνικῆς δοτικῆς. τῷ λόγῳ, τὼ λόγω, ὦ λόγω. διαφέρει δὲ ἡ ὀνομαστικὴ τῆς δοτικῆς, ὅτι ἐκείνης μὲν τὸ τῷ περισπᾶται, καὶ ὑπογεγραμμένον τὸ ι ἔχει. ὁμοίως καὶ τὸ ω. ταύτης δὲ, οὔ. Ἡ γενικὴ καὶ δοτικὴ δυϊκὴ, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς τροπῇ τοῦ ω εἰς οιν. τὼ λόγω, τοῖν λόγοιν. σημείωσαι δὲ τὰ κατ᾽ ἐπέκτασιν γινόμενα. οἷον, τοσοῖνδε, καὶ τοιοῖνδε, ἀντὶ τόσοιν, καὶ τοίοιν. οἱ Ἴωνες δὲ προστιθέασι τὸ ι ταῖς τοιαύταις δυϊκαῖς. ὅθεν πολλάκις εὑρήσεις παρὰ ποιηταῖς ὤμοιϊν, ἀντὶ ὤμοιν. καὶ μαρναμένοιϊν, ἀντὶ μαρναμένοιν. καὶ ποδοῖϊν, ἀντὶ ποδοῖν. Ἡ ὀνομαστικὴ πληθυντικὴ, καὶ ἡ κλητικὴ, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, τροπῇ τοῦ ω εἰς οι. τὼ λόγω, οἱ λόγοι, ὦ λόγοι. Ἡ γενικὴ, τῶν λόγων. Ἡ δοτικὴ, τοῖς λόγοις, ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, προσθέσει τοῦ σ. οἱ λόγοι, τοῖς λόγοις. καὶ τοῖσι λόγοισι κατὰ προσχηματισμόν. Ἡ αἰτιατικὴ πληθυντικὴ, ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, τροπῇ τοῦ οι εἰς ους. οἱ λόγοι, τοὺς λόγους. Τὸ δὲ νάσος παρὰ Πινδάρῳ ἀντὶ νήσους, ἐκβολῇ τοῦ υ, διὰ τὸ μέτρον ἐγένετο. καὶ δωρικῶς, τὼς λόγως. αὐτοὶ γὰρ τὴν ου εἰς ω τρέποντες, τὼς λύκως ἀντὶ λύκους, καὶ τὼς ταύρως ἀντὶ ταύρους λέγουσι, τὸ ως βραχὺ φυλάττοντες, ἑπομένου φωνήεντος. ὅθεν καὶ Θεόκριτος, μισέω τὰς δασυκέρκως ἀλώπεκας, αἳ τὰ Μίκωνος. καὶ πάλιν. καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρως, οἳ τὰ Φιλώνδα. τὸ γὰρ κως καὶ ρως, βραχύ. Τούτῳ τῷ κανόνι σχηματίσεις πάντα τὰ εἰς ος κοινὰ, ἀρσενικὰ, καὶ θηλυκὰ, καὶ ἐπίκοινα.

Περὶ τῶν εἰς ον οὐδετέρων.

Τὰ δὲ εἰς ον οὐδέτερα πάντα, εἰς ου ποιοῦσι τὴν γενικὴν κοινῶς. οἷον, τὸ ξύλον, τοῦ ξύλου. τὸ ἀγαθὸν, τοῦ ἀγαθοῦ. ἐξαιροῦνται τὰ εἰς ον οὐδέτερα τῶν ων κοινῶν ἐπιθέτων, καὶ τὰ εἰς ον ἀνώμαλα συγκριτικὰ, καὶ τὰ εἰς ον μετοχικά. ταῦτα γὰρ ἑπόμενα τῇ κλίσει τῶν ἰδίων ἀρσενικῶν, περιττοσυλλάβως κλίνονται. οἷον, τὸ εὔδαιμον τοῦ εὐδαίμονος, ὅτι ὁ καὶ ἡ εὐδαίμων εὐδαίμονος. τὸ σῶφρον τοῦ σώφρονος, ὅτι ὁ καὶ ἡ σώφρων σώφρονος. τὸ μεῖζον τοῦ μείζονος, ὅτι ὁ καὶ ἡ μείζων μείζονος. τὸ κρεῖττον τοῦ κρείττονος, ὅτι ὁ καὶ ἡ κρείττων κρείττονος. τὸ τύπτον τοῦ τύπτοντος, ὅτι ὁ τύπτων τοῦ τύπτοντος.
τὸ ξύλον. Ἡ γενικὴ, τοῦ ξύλου. Ἡ δοτικὴ, τῷ ξύλῳ κοινῶς. πάσχει δὲ καὶ μεταπλασμόν. οἷον, μελίκρατι, ἀντὶ μελικράτῳ. λῖτι, ἀντὶ λιτῷ. ὅθεν καὶ τὸ ἐν ἀργοναυτικοῖς ἐκεῖνο ὀρφικὸν, λῖτι καλύψα

μένη ἑαυτῷ δέ, νύκτερον ὄρφνην. ἀντὶ λιτῷ. τὸ δὲ λίπ' ἐλαίῳ πολλάκις παρὰ ποιηταῖς, ἀντὶ λιπαρῷ ἐλαίῳ κατὰ ἀποκοπήν. Ἡ αἰτιατική, τὸ ξύλον κοινῶς. πάσχει δὲ καὶ μεταπλασμόν. οἷον, λῖτα, ἀντὶ λιτόν. ὅθεν καὶ ὁ ποιητὴς ἐν α τῆς ὀδυσσείας, αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων λῖτα πετάσσας, ἀντὶ λιτόν. ὦ ξύλον. τὼ ξύλω, τοῖν ξύλοιν, ὦ ξύλω. τὰ ξύλα, τὰ ξύλα, ὦ ξύλα. πᾶσα δὲ ὀνομαστικὴ πληθυντική, καὶ αἰτιατική, καὶ κλητική, εἴτε ἰσοσυλλάβου εἴτε περιττοσυλλάβου ὀνόματος, εἰς α βραχὺ λήγει. οἷον, τὰ ξύλα, τὰ βήματα. ἐξαιρεῖται τὰ εἰς ον συγκριτικά. ταῦτα γὰρ ἔθει ἀττικῷ κατὰ κρᾶσιν εἰς ω μέγα ποιοῦσι τὰς ὀνομαστικάς, καὶ αἰτιατικάς. οἷον, τὰ μείζονα, καὶ μείζω. τὰ κρείττονα, καὶ κρείττω. τὰ ἐλάττονα, καὶ ἐλάττω. τὰ ἀμείνονα, καὶ ἀμείνω. τὰ καλλίονα, καὶ καλλίω. τὰ χείρονα, καὶ χείρω. Ἡ γενική, τῶν ξύλων. Ἡ δοτική, τοῖς ξύλοις, ἀπὸ τῆς δοτικῆς ἑνικῆς, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρόν, καὶ ἐπενθέσει τοῦ ὑπογεγραμμένου ι καὶ σ. τῷ ξύλῳ, τοῖς ξύλοις. πάσχει δὲ καὶ μεταπλασμόν. οἷον, πρόβασιν, ἀντὶ προβάτοις. ἀνδραπόδεσσιν, ἀντὶ ἀνδραπόδοις. προσώπασιν, ἀντὶ προσώποις. ἄστρασιν, ἀντὶ ἄστροις. ἔγκασιν, ἀντὶ ἐγκάτοις. Καὶ ταῦτα μὲν περὶ τῶν οὐδετέρων. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι πολλά ἐστιν ὀνόματα εἰς ος ἀρσενικῶς ἢ θηλυκῶς κλινόμενα μὲν ἐν ἑνικῷ ἀριθμῷ, οὐδετέρως δὲ ἐν πληθυντικῷ. οἷον, ὁ τάρταρος, καὶ ἡ τάρταρος, τὰ τάρταρα. ὁ ζυγός, τὰ ζυγά. ὁ νῶτος, τὰ νῶτα. ὁ σταθμός, τὰ σταθμά. ὁ μοχλός, τὰ μοχλά. ὁ κύκλος, τὰ κύκλα. ὁ χαλινός, τὰ χαλινά. ὁ ἐρετμός, τὰ ἐρετμά. ὁ λύχνος, τὰ λύχνα. ὁ τράχηλος, τὰ τράχηλα. ὁ δίφρος, τὰ δίφρα. ἡ κέλευθος, τὰ κέλευθα.

Περὶ τῆς πέμπτης κλίσεως.

Ἡ πέμπτη κλίσις διαφόρους καταλήξεις ἔχει πάντων τῶν περιττοσυλλάβων ὀνομάτων. περὶ ὧν ἐπιμελῶς διαληψόμεθα μετὰ τὴν τεχνολογίαν τοῦ αἴαντος. οὗ ὁ σχηματισμὸς κοινός ἐστι.

Περὶ τῶν εἰς ας περιττοσυλλάβων.

Ὁ αἴας πόθεν παράγεται; ἀπὸ τοῦ αἰάζειν, ἢ ἀπὸ τοῦ αἴσσειν. τὸ αι; δίφθογγον, ὡς εἴρηται. Ἐπὶ τῷ αι; ψιλή, ὡς προείρηται, καὶ ὀξεῖα. μακρὰ γὰρ πρὸ μακρᾶς παροξύνεται. τὸ ας; μακρόν, ὡς αἰνείας. Οἱ δωριεῖς δὲ ἐνίοτε προστι-

θέντος ι, θόαις ἀντὶ θόας, καὶ μέλαις, ἀντὶ μέλας λέγουσιν. Ἡ γενική, τοῦ αἴαντος. τὰ γὰρ εἰς ας καθαρὸν δισύλλαβα βαρύτονα, διὰ τοῦ ντ ποιοῦσι τὴν γενικήν. οἷον, αἴας, αἴαντος. θόας, θόαντος. ὕας, ὕαντος. Εὑρήσεις δὲ καὶ γενικὰς εἰς α παρὰ ποιηταῖς διὰ τὸ μέτρον· αἴα, ἀντὶ αἴαντος. καὶ θόα, ἀντὶ θόαντος. Τὸ αν, μακρὸν θέσει. Τὸ τος, βραχὺ φύσει. πᾶσα γὰρ γενικὴ περιττοσύλλαβος μὲν, βραχυκαταληκτεῖ. ἰσοσύλλαβος δὲ, μακροκαταληκτεῖ. Ἡ δοτική, τῷ αἴαντι. ἀπὸ τῆς γενικῆς, τροπῇ τοῦ ος εἰς ι. Τὸ τι, βραχύ. ἀεὶ γὰρ τῆς δοτικῆς τὸ ι βραχύ ἐστι. παρὰ ποιηταῖς δὲ, καὶ μακρὸν εὑρήσεις, κοινῆς γινομένης συλλαβῆς. Ἡ αἰτιατική, ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς α. οἷον, αἴαντι, αἴαντα. πᾶσα δὲ αἰτιατικὴ περιττοσύλλαβος, εἰς α βραχὺ λήγει, εἰ μὴ ἀποκοπὴ εἴη. οἷον, ποσειδῶ, ἀντὶ ποσειδῶνα. καὶ ἱδρῶ, ἀντὶ ἱδρῶτα. Γράφουσι δὲ καὶ κρᾶσιν ἔθει ἀττικῷ αἱ τῶν εἰς ων συγκριτικῶν αἰτιατικαί. οἷον, τὸν μείζονα, καὶ μείζω. τὸν ἐλάττονα, καὶ ἐλάττω. τὸν βελτίονα, καὶ βελτίω. τὸν κρείττονα, καὶ κρείττω. τὸν ἥττονα, καὶ ἥττω. τὸν ἡδίονα, καὶ ἡδίω. τὸν χείρονα, καὶ χείρω. Ἡ κλητική, ἀπὸ τῆς γενικῆς ἐκβολῇ τοῦ τος, κοινῶς. τοῦ αἴαντος, ὦ αἶαν. Τὸ αν, βραχύ. πᾶσα γὰρ κλητική, τὸν ἴσον χρόνον ἔχει τῇ ἰδίᾳ ὀνομαστικῇ, ἢ ἐλάττονα, ὡς ἐνταῦθα. διὸ καὶ τὸ αι περισπᾶται. Καὶ αἴας ἀττικῶς. εὕρηνται δὲ παρὰ ποιηταῖς καὶ κλητικαὶ εἰς α τῶν εἰς ας ὑπερδισυλλάβων, παρὰ τὸ δάμνω συντεθειμένων. οἷον, ὁ λαοδάμας, τοῦ λαοδάμαντος, ὦ λαοδάμα. ὁ πολυδάμας, τοῦ πολυδάμαντος, ὦ πολυδάμα. τούτου μάρτυς ὁ ποιητὴς ἐν τῷ σ τῆς ἰλιάδος. Πουλυδάμα, σὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις. καὶ ὦ πολυδάμαν παρ' Ἀλκαίῳ, ὡς γέγραπται. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκή, καὶ ἡ κλητική, ἀπὸ τῆς δοτικῆς ἑνικῆς, τροπῇ τοῦ ι εἰς ε. οἷον, τῷ αἴαντι, τὼ αἴαντε, ὦ αἴαντε. Ἡ γενικὴ καὶ δοτικὴ δυϊκή, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, τροπῇ τοῦ ε εἰς οιν. τὼ αἴαντε, τοῖν αἰάντοιν. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ κλητική, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς, προσθέσει τοῦ σ. τὼ αἴαντε, οἱ αἴαντες, ὦ αἴαντες. πᾶσα γὰρ ὀνομαστικὴ πληθυντικὴ ὀνόματος περιττοσυλλάβου, εἰς ες λήγει. πλὴν τῶν οὐδετέρων. εἰς α γὰρ καὶ ω, καὶ εἰς οι, ἰσοσυλλάβου. τὰ γὰρ εἰς ων συγκριτικά, κατὰ κρᾶσιν ἔθει ἀττικῷ εἰς ους ποιοῦσιν ὀνομαστικὰς πληθυντικάς. οἷον, οἱ μείζονες, καὶ μείζους. οἱ κρείττονες, καὶ κρείττους. οἱ χείρονες, καὶ χείρους. οἱ ἐλάττονες, καὶ ἐλάττους. οἱ ἥττονες, καὶ ἥττους. οἱ βελτίονες, καὶ βελτίους. Ἡ γενική, τῶν αἰάντων. πᾶσα γὰρ γενικὴ πληθυντική, κοινῶς εἰς ων λήγει.

λήγει. χωρὶς τῶν μονοπτώτων. τῶν πέντε. τῶν δέκα. τῶν εἴκοσι. τῶν
πεντήκοντα. τῶν ἑκατὸν, καὶ τῶν ἐπέκτασιν παρεχόντων. οἷον, τοιῶνδε.
τοσῶνδε. τουτωνί. Ἡ δοτικὴ πληθυντική· ἀπὸ τῆς ὀνομαστικῆς ἑνι-
κῆς καὶ δοτικῆς. οὕτω. πᾶσα ὀνομαστικὴ περιττοσύλλαβος εἰς σ λή-
γουσα, προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν πληθυντικήν. οἷον, ὁ αἴας,
τοῖς αἴασιν. ὁ λέβης, τοῖς λέβησιν. ὁ ζὼς, τοῖς ζωσίν. ὁ πηλεὺς, τοῖς πη-
λεῦσιν. ὁ βοῦς, τοῖς βουσίν. ἐξαιρεῖται πούς, ποσί, καὶ ἠΰς, ἠέσι, καὶ
δρομεὺς, δρομέσι παρὰ Καλλιμάχῳ. Ὁμοίως καὶ αἱ εἰς διπλοῦν
λήγουσαι ὀνομαστικαί. οἷον, ὁ ἅρπαξ, τοῖς ἅρπαξιν. ὁ ἄραψ, τοῖς ἄ-
ραψιν. Ἔτι ὅτε ἡ ἑνικὴ δοτικὴ εἰς ι καθαρὸν λήγει, προσλήψει τοῦ
σ, ἡ δοτικὴ πληθυντικὴ γίνεται. οἷον, τῷ ὄφιϊ, τοῖς ὄφισι. τῷ ἡδεῖ,
τοῖς ἡδέσι. τῷ δημοσθένει, τοῖς δημοσθένεσιν. Ὅτε δὲ ἡ ἑνικὴ δοτι-
κὴ ν ἔχει, τροπῇ τοῦ ν εἰς σ, ἡ δοτικὴ πληθυντικὴ γίνεται. οἷον, τῷ
πλάτωνι, τοῖς πλάτωσι. τῷ ποιμένι, τοῖς ποιμέσι. τῇ ζυγόνι, ταῖς
ζυγόσιν. ὅτε δ᾽ ἡ ἑνικὴ δοτικὴ σύμφωνον ἔχει πρὸ τοῦ ι, προσλαμβά-
νει τὸ σ ἡ πληθυντική, καὶ παραιτεῖται τὰ μὴ δυνάμενα προφέ-
ρεσθαι σὺν αὐτῷ στοιχεῖα. οἷον, αἴαντι, αἴασι. χαρίεντι, χαρίεσι. Τὸ
α· μακρόν. ἡ γὰρ παραλήγουσα τῆς δοτικῆς, ἰσοχρονεῖ ταῖς ἄλλαις
πλαγίαις. ἐνίοτε δὲ καὶ μείζονα χρόνον ἔχει. οἷον, λέοντος, λέουσι.
γράφοντος, γράφουσι. Τὸ σι· βραχὺ φύσει, εἰ μὴ ὅτε κοινὴ συλλαβὴ
γίνεται παρὰ ποιηταῖς. προστίθεται δὲ ν ταῖς εἰς ι δοτικαῖς,
ὅτε φωνῆεν ἐπιφέρεται. οἷον, τοῖς αἴασιν ἐδωρησάμην τόδε. ὅτε δὲ
σύμφωνον, οὔ. οἷον, τοῖς αἴασι δέδωκα τόδε. παρὰ ποιηταῖς δὲ πολ-
λάκις τίθεται τὸ ν καὶ συμφώνου ἑπομένου διὰ τὸ μέτρον, ἵνα τὸ
ι μακρὸν γένηται. Καὶ ἰωνικῶς αἰάντεσσι κατ᾽ ἐπέκτασιν. αὐτοὶ γὰρ
ἀπὸ τῆς ληγούσης εἰς ες ὀνομαστικῆς, προσθέσει σι, σχηματίζουσι τὴν
δοτικὴν πληθυντικήν. οἷον, αἴαντες, αἰάντεσσι. γίγαντες, γιγάντεσσιν.
ἥρωες, ἡρώεσσι. ζυγόνες, ζυγόνεσσιν. ἀηδόνες, ἀηδόνεσσιν. εἰ μὴ τὸ ἓν ἐκ-
βληθείη διὰ τὸ μέτρον. Ἡ αἰτιατικὴ πληθυντική· ἀπὸ τῆς αἰτιατι-
κῆς ἑνικῆς, προσθέσει τοῦ σ. οἷον, αἴαντα, αἴαντας. ἀεὶ δὲ αἱ περιττο-
σύλλαβοι ἁπλαῖ αἰτιατικαὶ εἰς ας βραχὺ λήγουσι, πλὴν τῶν αἰτι-
ατικῶν τῶν εἰς ων συγκριτικῶν. αὗται γὰρ ἔθει ἀττικῷ κατὰ κρᾶ-
σιν εἰς ους λήγουσιν. οἷον, τοὺς κρείττονας, καὶ κρείττους. τοὺς μείζο-
νας, καὶ μείζους. τοὺς ἐλάττονας, καὶ ἐλάττους. τοὺς ἥττονας, καὶ
ἥττους. τοὺς βελτίονας, καὶ βελτίους. τοὺς χείρονας, καὶ χείρους.
τοὺς πλείονας, καὶ πλείους. Καὶ οὗτος μὲν ὁ σχηματισμὸς πάντων

τῶν περιττοσυλλάβων ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων.

Κανών.

ὁ αἴας. τοῦ αἴαντος. τῷ αἴαντι. τὸν αἴαντα. ὦ αἶαν κοινῶς, καὶ ὦ αἴας ἀττικῶς. τὼ αἴαντε. τοῖν αἰάντοιν. ὦ αἴαντε. οἱ αἴαντες. τῶν αἰάντων. τοῖς αἴασι. τοὺς αἴαντας. ὦ αἴαντες.

Περὶ κλινῶν, εἴτε καταλήξεων τῶν ὀνομάτων.

Τμῆμα δεύτερον.

ἐ πειδὴ δὲ ἡμῖν ὁ σχηματισμὸς τῶν ὀνομάτων τῶν πέντε ἁπλῶν κλίσεων ἤνυσται, ἑπόμενον ἂν εἴη ἐπιμελῶς περὶ τῶν καταλήξεων τῶν περιττοσυλλάβων ὀνομάτων τάξει διαλαβεῖν ὡς οἱ σπουδαιότατοι παλαιοὶ παρέδωκαν. καὶ πρῶτον περὶ τῶν εἰς ας πάντων, τίνα τε αὐτῶν ἰσοσύλλαβα ὄντα εἰς ου καὶ εἰς α ποιοῦσι τὴν γενικὴν, καὶ τίνα περιττοσύλλαβα εἰς αντος. πρὸ τούτου δὲ εἰδέναι δεῖ ὅτι πέντε εἰσὶ τελικὰ πάντων τῶν ἀρσενικῶν ὀνομάτων. ν. ξ. ρ. σ. ψ. οἷον, δίων. φοῖνιξ. νέστωρ. αἴας. ἄραψ. τὸ δὲ τοιόσδε, καὶ τοσόσδε, καὶ οὗτοι, καὶ τηλικοῦτοι, κατ' ἐπέκτασιν γίνονται. τὸ δὲ Ἀδὰμ, Ἀβραὰμ, Ἰακὼβ, Ἰωσὴφ, Δανιὴλ, Μιχαὴλ, ἰουδαϊκὰ ὄντα, μετασχηματιστέα εἰσὶν εἰς τὴν ἑλλάδα κατάληξιν. οὐ γὰρ τὰ τοιαῦτα σύμφωνα τελικὰ τῶν ἑλληνικῶν ὀνομάτων εὑρίσκονται. ταῦτά τοι ἰουδαίους ἐάσαντες χαίρειν, Ἄδαμος, καὶ Ἄβραμος, καὶ Ἰάκωβος, καὶ Ἰώσηπος, καὶ Δανιῆλος, καὶ Μιχαῆλος ἑλληνικῶς λέγομεν.

Περὶ τῶν εἰς ας ἰσοσυλλάβων, κατάληξις πρώτη τῶν ἀρσενικῶν.

Τὰ εἰς ας καθαρὸν ἰσοσύλλαβα, ἁπλᾶ, βαρύτονα, κοινῶς εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ὁ αἰνείας, τοῦ αἰνείου. ὁ παπίας, τοῦ παπίου. πλὴν τῶν ἐθνικῶν ἀπὸ τοῦ π ἀρχομένων. οἷον, πικίας, πικίαντος. πευκετίας, πευκετίαντος. ὁ δὲ ἀφίας, φλεγίας, σατύας, ἀρίας, παρείας, ἰσοσυλλάβως καὶ περιττοσυλλάβως κλίνονται.

Περὶ τῶν εἰς α ποιούντων τὴν γενικήν.

Τὰ εἰς ας μονοσύλλαβα περισπώμενα, εἰς α ποιοῦσι τὴν γενικήν. οἷον, ὁ γρᾶς, τοῦ γρᾶ. ὁ λᾶς, τοῦ λᾶ. ὁ χνᾶς, τοῦ χνᾶ.

Εἰς ας περισπώμενα.

Τὰ εἰς ας πολυσύλλαβα περισπώμενα, ἰσοσύλλαβα μὲν ὄντα, εἰς α ποιοῦσι τὴν γενικήν. οἷον, θωμᾶς, θωμᾶ. κοσμᾶς, κοσμᾶ. μηνᾶς, μηνᾶ. περιττοσύλλαβα δὲ, εἰς αντος. οἷον, πελεκᾶς, πελεκᾶντος.

εὕρηνται καί τινα ἰωνικὰ εἰς δος ποιοῦντα τὴν γενικήν. οἷον, ὁ βιτ
τάς, τοῦ βιτάδος. ὁ κυρᾶς, τοῦ κυρᾶδος. Ἔτι τὰ εἰς βας πρὸ τοῦ
β ἄλλο σύμφωνον ἔχοντα καὶ μὴ ρ, εἰς α ποιοῦσι τὴν γενικήν.
ὁ σάμβας, τοῦ σάμβα. ὁ χάλβας, τοῦ χάλβα. ὁ κρίσβας, τοῦ κρίσβα.
τούτοις ὁμοίως καὶ ὁ ἴβας, τοῦ ἴβα, καὶ ὁ βανέβας, τοῦ βανέβα, καὶ ὁ
ἀννίβας, τοῦ ἀννίβα. Ἔτι τὰ εἰς γας δισύλλαβα μόνον κύρια, οἷον,
ὁ μίγας, τοῦ μίγα. ὁ μέγας, τοῦ μέγα, καὶ ὁ μέγας, τοῦ μεγάλου ἑτερο
κλίτως ὅτι ἐπίθετον. ὁ ἄλγας, τοῦ ἄλγα. ἐξαιρεῖται ὁ σάλγας, τοῦ
σάλγαντος. Ἔτι τὰ ὑπερδισύλλαβα. οἷον, ὁ σατύργας, τοῦ σατύργα.
χωρὶς τοῦ, ἀκράγας, ἀκράγαντος, ποταμός. ἀφ' οὗ ἡ ἀκράγας τῆς
ἀκράγαντος, πόλις τῆς σικελίας. Ἔτι τὰ εἰς δας δισύλλαβα
καὶ ὑπερδισύλλαβα. οἷον, ὁ λάδας, τοῦ λάδα. ὁ ἴδας, τοῦ ἴδα.
ὁ λεωνίδας, τοῦ λεωνίδα. Ἔτι τὰ εἰς ζας, ξας, ψας, θας, κας.
οἷον, ὁ ἀρίζας, τοῦ ἀρίζα. ὁ ἐλίξας, τοῦ ἐλίξα. ὁ ἄψας, τοῦ
ἄψα. ὁ αἴθας, τοῦ αἴθα. ὁ πέλεκας, τοῦ πέλεκα. Ἔτι τὰ εἰς
λας ἁπλᾶ, δισύλλαβα, μονογενῆ, μὴ παραληγόμενα φύσει μα
κρᾷ, καὶ τὰ ὑπερδισύλλαβα δύο λλ ἔχοντα. οἷον, ὁ ὕλας, τοῦ
ὕλα. ὁ γέλας, τοῦ γέλα. ὁ ἰόλλας, τοῦ ἰόλλα. ὁ ἀβόλλας, τοῦ
ἀβόλλα. Ἔτι τὰ εἰς μας ἔχοντα σύμφωνον πρὸ τοῦ μ. οἷον, ὁ
σίλμας, τοῦ σίλμα. ὁ ἀκαμαντοχάρμας, τοῦ ἀκαμαντοχάρμα.
ἐξαιρεῖται ὁ τόλμας, τοῦ τόλμαντος. Ἔτι τὰ εἰς μας περσι
κά. οἷον, ὁ σαλάμας, τοῦ σαλάμα. ὁ σπιτάμας, τοῦ σπιτάμα.
Ἔτι τὰ εἰς νας. οἷον, ὁ πίνας, τοῦ πίνα. πλὴν τοῦ ὁ κάνας, τοῦ κά
ναντος. Ἔτι τὰ εἰς πας μονογενῆ. οἷον, ὁ πάπας, τοῦ πάπα.
ὁ λάμπας, τοῦ λάμπα. ἐξαιρεῖται ὁ κύπας, τοῦ κύπαντος. ὁ πᾶς
δὲ τοῦ παντός, ἐπίθετον ὄν. Ἔτι τὰ εἰς ρας μὴ ἔχοντα πρώτην
καὶ δευτέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου, ἢ ἀντιστοίχου
ἀρχομένην. οἷον, ὁ συμμόρας, τοῦ συμμόρα. ὁ κύδρας, τοῦ κύδρα.
Ἔτι τὰ εἰς σας δισύλλαβα, μὴ παραληγόμενα τῷ ε. οἷον, ὁ χρύ
σας, τοῦ χρύσα. ὁ κύρσας, τοῦ κύρσα. Ἔτι τὰ εἰς τας. οἷον, ὁ ἀρχύ
τας, τοῦ ἀρχύτα. ὁ εὐρώπας, τοῦ εὐρώπα. πλὴν τοῦ ὁ τελεύτας,
τοῦ τελεύταντος. Ἔτι τὰ εἰς φας δισύλλαβα, καὶ τὰ εἰς χας. οἷον, ὁ
δέλφας, τοῦ δέλφα. ὁ ἄφας, τοῦ ἄφα. ἐξαιρεῖται ὁ κύφας, τοῦ κύφαντος. ὁ
καλλίχας, τοῦ καλλίχα. ὁ λάχας, τοῦ λάχα. ἐξαιρεῖται ὁ κάλχας, τοῦ κάλ
χαντος. Ἔτι τὰ εἰς ας περισπωμένων ῥημάτων συντεθειμένα. οἷον, ὁ πατρα
λοίας, τοῦ πατραλοία, ἀπὸ τοῦ ἀλοιῶ, τὸ τύπτω. Ἔτι τὰ εἰς ας ἀπὸ θηλυ

κῶν συντεθειμένα, οἷον, ἡ φαρέτρα, ὁ εὐφαρέτρας, τοῦ εὐφαρέτρα. ἡ βία, ὁ εὐρυβίας, τοῦ εὐρυβία. ἡ ἀγορὰ, ὁ πυθαγόρας, τοῦ πυθαγόρα, καὶ πυθαγόρου. ἡ ἀνία, ὁ παυσανίας, τοῦ παυσανία. καὶ ταῦτα μὲν περὶ τῶν ἰσοσυλλάβων. περὶ δὲ τῶν περιττοσυλλάβων, ἑξῆς λέγωμεν.

Περὶ τῶν εἰς ας εἰς ντος ποιούντων τὴν γενικήν.

Τὰ εἰς ας καθαρὸν ὀνόματα, δισύλλαβα, βαρύτονα, μὴ ἀπὸ δωρίδος διαλέκτου ὄντα, διὰ τοῦ ντ κλίνονται. οἷον, ὁ αἴας, τοῦ αἴαντος. ὁ θόας, τοῦ θόαντος. ὁ βίας, τοῦ βίαντος. ἐξαιρεῖται ὁ λάας, τοῦ λάαος, καὶ κράσει τῶν δύο αα, λᾶος, καὶ ὁ λάας, τοῦ λάου, τῷ λάᾳ, τὸν λάαν. Ἔτι τὰ εἰς ας μονοσύλλαβα ὀξύτονα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ πρὰς, τοῦ πραντός. ὁ ξὰς, τοῦ ξαντός. ὁ φθὰς, τοῦ φθαντός. καὶ τὰ πολυσύλλαβα ὁμοίως. οἷον, ὁ ἀνδριὰς, τοῦ ἀνδριάντος. ὁ ἱμὰς, τοῦ ἱμάντος. Ἔτι τὰ εἰς βας ἔχοντα ἐν τῇ παραληγούσῃ δίχρονον συνεσταλμένον. οἷον, ὁ βίβας, τοῦ βίβαντος. ὁ λυκάβας, τοῦ λυκάβαντος. ὁ ἀλύβας, τοῦ ἀλύβαντος. οὗ ἡ παραλήγουσα καὶ μακρά. ἐξαιρεῖται ὁ βαρνάβας, τοῦ βαρνάβα, ὁ λάβας, τοῦ λάβα, ὁ κάβας τοῦ κάβα, ὁ ἄβας, τοῦ ἄβα ἐθνικόν. ὁ ἄβας δὲ τοῦ ἄβαντος, κύριον. ὁμοίως καὶ ἰόβας, ἰόβα, καὶ ῥήβας, ῥήβα. Ἔτι τὰ εἰς βας πρὸ τοῦ β ἔχοντα ρ, περιττοσυλλάβως κλίνονται. οἷον, ὁ φόρβας, τοῦ φόρβαντος. ὁ κύρβας, τοῦ κύρβαντος. Ἔτι τὰ εἰς γας δισύλλαβα κύρια, καὶ προσηγορικὰ, ἢ ἐθνικά. οἷον, ὁ γίγας, τοῦ γίγαντος. ὁ βρείγας, τοῦ βρίγαντος. Ἔτι τὰ εἰς δας δισύλλαβα διφθόγγῳ παραληγόμενα. οἷον, ὁ φείδας, τοῦ φείδαντος. ὁ οἴδας, τοῦ οἴδαντος. Ἔτι καὶ τὰ ὑπὲρ δισύλλαβα ἀπὸ βαρυτόνων ῥημάτων γινόμενα. οἷον, χαρείζομαι, χαρείδας, χαρείδαντος. μείδομαι, μείδας, μείδαντος. τὸ δὲ ὑπερκυδάντας ἀχαιοὺς, ἢ ὄνομά ἐστιν ἀπὸ τοῦ ὑπερκυδαίνω ὑπερκυδάνας, καὶ συγκοπῇ ὑπερκύδας ὑπερκύδαντος, ἢ μετοχὴ τοῦ πρώτου ἀορίστου ἐστὶν, ἀπὸ τοῦ ὑπερκυδαίνω, ὑπερκυδανῶ, ὑπερκύδανα. ἡ μετοχὴ, ὁ ὑπερκυδάνας, τοῦ ὑπερκυδάναντος. καὶ κατὰ συγκοπὴν, ὑπερκύδας, ὑπερκύδαντος. ἡ αἰτιατικὴ, τοὺς ὑπερκύδαντας. Ἔτι τὰ εἰς ζας ἔχοντα υ πρὸ τοῦ ζ. οἷον, ὁ βύζας, τοῦ βύζαντος. ὁ πύζας, τοῦ πύζαντος. Ἔτι τὰ εἰς λας δισύλλαβα μονογενῆ, παραληγόμενα φύσει μακρᾷ. οἷον, ὁ φύλας, τοῦ φύλαντος. ὁ χήλας, τοῦ χήλαντος. Ὁμοίως καὶ τὰ ἔχοντα σύμφωνον μετὰ τὸ λ. οἷον, ὁ ἄτλας, τοῦ ἄτλαντος. Ἔτι τὰ δύο λλ ἔχοντα. οἷον, ὁ πάλλας, τοῦ πάλλαντος. ὁ βάλλας, τοῦ βάλλαντος. ὁ μέλας δὲ τοῦ μέ

λάνος, καὶ ὁ τάλας τοῦ τάλανος, ζητεῖ. Ἔτι τὰ εἰς μας δισύλλαβα καὶ ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ μ φωνῆεν βραχὺ, περιττοσυλλάβως κλίνονται. οἷον, ὁ ἀδάμας, τοῦ ἀδάμαντος. ὁ ἀθάμας, τοῦ ἀθάμαντος. ὁ πολυδάμας, τοῦ πολυδάμαντος. μεθ' ὧν καὶ ὁ θαῦμας, τοῦ θαύμαντος. Ἔτι τὰ εἰς ρας δισύλλαβα ἔχοντα τὴν πρώτην καὶ δευτέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἢ αὐτοῦ στοιχείου ἀρχομένην. οἷον, ὁ βάβρας, τοῦ βάβραντος. ὁ πρόφρας, τοῦ πρόφραντος. ὁ τεύθρας, τοῦ τεύθραντος. ὁμοίως καὶ τὰ συνεμπίπτοντα μετοχῇ. οἷον, ὁ πείρας, τοῦ πείραντος. ὁ ἄρας, τοῦ ἄραντος. ὁμοίως καὶ τὰ ἔχοντα α πρὸ τοῦ ρ. οἷον, ὁ τάρας, τοῦ τάραντος. ὁ κάρας, τοῦ κάραντος. Ἔτι τὰ εἰς σας ὑπερδισύλλαβα τῷ ε παραληγόμενα. οἷον, ὁ ἀπέσας, τοῦ ἀπέσαντος. Ἔτι τὰ εἰς φας ὑπερδισύλλαβα. οἷον, ὁ κορύφας, τοῦ κορύφαντος. ὁ ἐλέφας, τοῦ ἐλέφαντος. ὁ ὀνόφας δὲ, τοῦ ὀνόφα. Τὰ εἰς ας σύνθετα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λυκοθόας, λυκοθόαντος, ὅτι θόας θόαντος. σύμπας, σύμπαντος, ὅτι πᾶς παντός. Ἀλλὰ περὶ μὲν τῶν εἰς ας, ἅλις. νῦν δὲ περὶ τῶν εἰς ης τὸν αὐτὸν λέγωμεν τρόπον.

Περὶ τῶν εἰς ης πάντων. καὶ πρῶτον περὶ τῶν ἰσοσυλλάβων.

κατάληξις δευτέρα.

Τὰ εἰς ης βαρύτονα [illegible], εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ὁ χρύσης, τοῦ χρύσου. ὁ ξέρξης, τοῦ ξέρξου. ἐξαιρεῖται ὁ μάσθλης, τοῦ μάσθλητος. ὁ μόργης, τοῦ μόργητος. ὁ ναίης, τοῦ ναίητος. ὁ κούρης, τοῦ κούρητος. ὁ πίγρης, τοῦ πίγρητος. ὁ τίγρης, τοῦ τίγρητος, ποταμὸς, ὃς καὶ τίγρις τίγριδος, καὶ τίγριος ἰωνικῶς λέγεται. φάγρης, φάγρητος. μάγνης, μάγνητος. ἴγνης, ἴγνητος. μάσπης, μάσπητος. μένδης, μένδητος. γλοίης, γλοίητος. Ἔτι τὰ εἰς ης περισπώμενα, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ὁ θαλῆς, τοῦ θαλοῦ. καὶ ὁ θάλης, τοῦ θάλητος. ὁ ἑρμῆς, τοῦ ἑρμοῦ. ὁ σωσῆς, τοῦ σωσοῦ. ὁ μωσῆς, τοῦ μωσοῦ. καὶ ὁ μωϋσῆς, τοῦ μωϋσοῦ. καὶ ὁ μωσεὺς, τοῦ μωσέως ἀττικῶς. καὶ ὁ μωϋσεὺς, τοῦ μωϋσέως παρὰ τῇ θείᾳ γραφῇ. Ἔτι τὰ εἰς ης βαρύτονα ἀπὸ τῶν εἰς η θηλυκῶν συντεθειμένα. οἷον, ἡ λέσχη, ὁ λέσχης, τοῦ λέσχου. ἡ ἀράχνη, ὁ ἀράχνης, τοῦ ἀράχνου. ἡ χαίτη, ὁ κυανοχαίτης, τοῦ κυανοχαίτου. Ἔτι τὰ εἰς δης πατρωνυμικά. οἷον, ὁ ἀτρείδης, τοῦ ἀτρείδου. ὁ πηλείδης, τοῦ πηλείδου. καὶ τὰ εἰς δης κύρια τύπον πατρωνυμικοῦ ἔχοντα. οἷον, ὁ θουκυδίδης, τοῦ θουκυδίδου. ὁ μιλτιάδης, τοῦ μιλτιάδου. ὁ πυλάδης, τοῦ πυ-

λάδου. Ἔτι τὰ εἰς ης βαρύτονα ἁπλᾶ, εἴτε παρασύνθετα, ἀπὸ τῶν εἰς ος γινόμενα. οἷον, ἄραξος, ὁ ἀράξης, τοῦ ἀράξου. λάπιθος, ὁ λαπίθης, τοῦ λαπίθου. οἰδίπους, οἰδίποδος, ὁ οἰδιπόδης, τοῦ οἰδιπόδου. Ἔτι τὰ εἰς της μὴ συντεθειμένα ἀπὸ τοῦ κρατῶ. οἷον, ὁ δότης, τοῦ δότου. ὁ χάρτης, τοῦ χάρτου. ὁ θύτης, τοῦ θύτου. καὶ τὰ εἰς θης ὁμοίως. οἷον, ὁ σκύθης, τοῦ σκύθου. Ἔτι τὰ διὰ τοῦ ανης, καὶ ινης, καὶ ονης, καὶ υνης, καὶ ωνης, καὶ ολης. οἷον, ὁ ἰορδάνης, τοῦ ἰορδάνου. ὁ αἰσχίνης, τοῦ αἰσχίνου. ὁ μηρυόνης, τοῦ μηρυόνου. ὁ γηρυόνης, τοῦ γηρυόνου, καὶ γηρυὼν, γηρυόνος, καὶ γηρυονεὺς, γηρυονέος κοινῶς. πολλάκις δὲ καὶ παρὰ ποιηταῖς, καὶ παρ' Ἡσιόδῳ ἐν θεογονίᾳ, χρυσάωρ δ' ἔτικτε τρικέφαλον γηρυονῆα. ὁ κερωύνης, τοῦ κερωύνου. ὁ τελώνης, τοῦ τελώνου. ὁ ὀζόλης, τοῦ ὀζόλου. Ἔτι τὰ εἰς ης βαρύτονα ὑπερδισύλλαβα, πρὸ τοῦ ης δύο τὰ αὐτὰ ἀμετάβολα ἔχοντα. οἷον, ὁ Ἰωάννης, τοῦ Ἰωάννου. ὁ καβάλλης, τοῦ καβάλλου. ἐξαιρεῖται ὁ πόλλης, τοῦ πόλλητος. δισύλλαβον γάρ. καὶ ὁ ἀελλὴς, τοῦ ἀελλοῦ. ὀξύτονον γάρ. Ἔτι τὰ εἰς ης μονογενῆ ἀπὸ ῥημάτων συντεθειμένα. οἷον, πωλῶ, ὁ βιβλιοπώλης, τοῦ βιβλιοπώλου. μετρῶ, ὁ γεωμέτρης, τοῦ γεωμέτρου. τρίβω, ὁ παιδοτρίβης, τοῦ παιδοτρίβου. τύπτω, ὁ πατροτύπτης, τοῦ πατροτύπτου. βαίνω, ὁ σχοινοβάτης, τοῦ σχοινοβάτου. Τὰ εἰς ης μονοσύλλαβα περισπώμενα, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν. οἷον, ὁ δρῆς, τοῦ δρῆ. ὁ τρῆς, τοῦ τρῆ. Καὶ ταῦτα μὲν περὶ τῶν εἰς ης ἰσοσυλλάβων. περὶ δὲ τῶν περιττοσυλλάβων νῦν λεκτέον.

Περὶ τῶν εἰς ης περιττοσυλλάβων.

Τὰ εἰς ης βαρύτονα ἰαμβικὰ, ἀπὸ ἐνεστῶτος γινόμενα, τὸ σύμφωνον φυλάττουσιν, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, λείβω, ὁ λέβης, τοῦ λέβητος. λήχω, ὁ λάχης, τοῦ λάχητος. πένω, ὁ πένης, τοῦ πένητος. πλανῶ, ὁ πλάνης, τοῦ πλάνητος, καὶ ὁ πλανήτης, τοῦ πλανήτου. κρατῶ, ὁ κράτης, τοῦ κράτητος. ὁ δάρης δὲ, δάρητος, καὶ δάρου. ὁ κόμης, τοῦ κόμητος, καὶ κόμου. ὁ γύνης, τοῦ γύνητος, καὶ γύνου. ὁ μύκης, τοῦ μύκητος, καὶ μύκου. ὁ πύδης, τοῦ πύδητος, καὶ πύδου. ὁ χάρης, τοῦ χάρητος, καὶ χάρου. ὁ πύλης, τοῦ πύλητος, καὶ πύλου. ὁ μύνης, τοῦ μύνητος, καὶ μύνου. ὁ μέγης, τοῦ μέγητο, καὶ μέγου. Ἔτι τὰ εἰς ης μονοσύλλαβα ὀξύτονα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ κρὴς, τοῦ κρητός. ὁ γνὴς, τοῦ γνητός. ὁ θὴς, τοῦ θητός. Ἔτι τὰ εἰς ης πολυσύλλαβα κοινά. οἷον, ἀργὴς, ἀργῆτος. ἀβλὴς, ἀβλῆτος. ἀδμὴς, ἀδμῆτος. ὁμιθνὴς, ὁμιθνῆτος. ταῦτα δὲ σύνθετα

ὄντα, φυλάττουσι τὴν τοῦ παρακειμένου συλλαβήν. Ἔτι τινὰ
εἰς ης, ἔχοντα πρὸ τοῦ ης ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φω
νῆεν. οἷον, ἐπιάλης, ἐπιάλητος. ὑπέρης, ὑπέρητος. ἀκέλης, ἀκέλη
τος. κεφάλης, κεφάλητος. Ἔτι τὰ εἰς ης περισπώμενα ἀπὸ τῶν
εἰς εις. οἷον, δαφνῆς, δαφνῆντος, ἀπὸ τοῦ δαφνήεις. τιμῆς, τιμῆντος,
ἀπὸ τοῦ τιμήεις. Ἔτι σεσημείωνται ταῦτα τῶν εἰς ης, εἰς εντος ποιοῦντα
τὴν γενικήν. οἷον, ὁ κλήμης, τοῦ κλήμεντος. ὁ μαίνης, τοῦ μαίνεντος. ὁ
οὐάλης, τοῦ οὐάλεντος. ὁ κρίσκης, τοῦ κρίσκεντος. ὑπόλοιπα δὲ ἡμῖν
τὰ εἰς ης συνῃρημένα τῆς πρώτης τῶν περισπωμένων κλίσεως.

Περὶ τῶν εἰς ης εἰς ους κατὰ κρᾶσιν ποιούντων τὴν γενικήν.

Τὰ εἰς ης περισπώμενα, ἀπὸ τοῦ κλέος συντεθειμένα, εἰς ους
ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. οἷον, ὁ ἡρακλῆς, τοῦ ἡρακλέος, οῦς.
Ἔτι τὰ εἰς ης κύρια ἀπὸ ῥημάτων συντεθειμένα, εἰς ους ποιοῦσι
τὴν γενικὴν κατὰ κρᾶσιν. οἷον, δεύκω, ὁ πολυδεύκης, τοῦ πολυδεύ
κεος, ους. μήδω, ὁ διομήδης, τοῦ διομήδεος, ους. φαίνω, ὁ ἀριστοφά
νης, τοῦ ἀριστοφάνεος, ους. Ἔτι τὰ εἰς ης ἀπὸ τῶν εἰς ος οὐδετέρων συν
τεθειμένα. οἷον, σθένος, δημοσθένης, δημοσθένεος, ους. γένος, διογένης,
διογένεος, ους. τέλος, ἀριστοτέλης, ἀριστοτέλεος, ους. ἦθος, κακοήθης,
κακοήθεος, ους. μῆκος, ἐπιμήκης, ἐπιμήκεος, ἐπιμήκους. ἐξαι
ρεῖται ὁ ἀμέλης, τοῦ ἀμέλητος, καὶ ὁ ἀμενύης, τοῦ ἀμενύητος. Ἔτι
τὰ εἰς ης ἐπίθετα, κοινὰ, ὀξύτονα, καὶ βαρύτονα, οὐδέτερον εἰς ες
ἔχοντα. οἷον, ὁ καὶ ἡ ἀληθὴς, ἀληθέος, οῦς. ὁ καὶ ἡ εὐμενὴς, εὐμενέος,
οῦς. ὁ καὶ ἡ καλοήθης, καλοήθεος, ους. Ἔτι τὰ εἰς ρης δισύλλα
βα. οἷον, ὁ πλήρης. ὁ ἄρης δὲ ἄρου, καὶ ἄρης ἄρητος, καὶ ἄρης, ἄρεος,
ους, καὶ ἄρευς, ἄρεος κοινῶς, καὶ ἄρηος ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς,
καὶ ἄρεος αἰολικῶς. Ἔτι τὰ διὰ τοῦ ωρης, καὶ ηρης, καὶ ωδης.
οἷον, διώρης, τριήρης, λοιμώδης. Ἔτι τὰ εἰς νης ὀξύτονα. οἷον, σαφη
νὴς, γαληνής. καὶ τὰ εἰς ης, ἀπὸ τῶν εἰς υς γινόμενα. οἷον, βαρὺς, ἀβα
ρής. ὠκὺς, ποδώκης. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι τὰ εἰς ης σύνθετα
ἀπὸ τῶν εἰς ος οὐδετέρων, εἰ μὲν ὦσι κύρια, βαρύνονται. οἷον, δημοσθένης.
διογένης. ἀριστοτέλης. εἰ δὲ ὦσιν ἐπίθετα, ὀξύνονται. οἷον, εὐμενής.
δυσμενής. εὐγενής. εὐκλεής. δυσκλεής. διετής. τριετής. τετραετής. πεν
ταετής. τὰ δὲ παρὰ τὸ ἔτος, οἱ ἀθηναῖοι βαρύνουσι, διέτης, καὶ τριέτης,
καὶ τετραέτης λέγοντες. Ἔτι τὰ ἀπὸ εἰς ος τρισυλλάβου ἐπίθετα σύν
θετα, καὶ τὰ ἀπὸ δισυλλάβου ἔχοντος ἐν τῇ παραληγούσῃ η, μεθ' οὗ σύμ
φωνον ἕπεται, βαρύνονται. οἷον, μέγεθος, παμμεγέθης. κῆτος, με

γακήτης. ἦθος, καὶ ὁ ἤθης. μῆκος, ἐπιμήκης. Τούτων δὲ οὕτως εἰρημένων, ἑξῆς περὶ τῶν εἰς ις λέγωμεν.

Κανών.

Ὁ λάχης. τοῦ λάχητος. τῷ λάχητι. τὸν λάχητα. ὦ λάχης. Τὼ λάχητε. τοῖν λαχήτοιν. ὦ λάχητε. Οἱ λάχητες. τῶν λαχήτων. τοῖς λάχησι. τοὺς λάχητας. ὦ λάχητες.

Περὶ τῶν εἰς ις. καὶ πρῶτον περὶ τῶν εἰς ος ποιούντων τὴν γενικήν. κατάληξις τρίτη.

Τὰ εἰς ις μονοσύλλαβα, μακρὸν ἔχοντα τὸ ι, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, κὶς, κιός. λὶς, λιός. οὗ τὸ λι καὶ βραχὺ εὕρηται. τὶς δὲ τινός. τὸ γὰρ τι, βραχύ. Ἔτι τὰ εἰς ις προσηγορικὰ καὶ βραχυπαράληκτα, μὴ ὄντα παρώνυμα, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ὄφις, ὄφιος. μάντις, μάντιος. ἔχις, ἔχιος. Ἔτι ὥς φησιν Ὦρος, καὶ Ἀρκάδιος οἱ γραμματικοί, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικὴν ταῦτα τὰ κύρια. οἷον, ζῆνις, ζήνιος. ἶφις, ἴφιος. σέντις, σέντιος. πόλις, πόλιος. ἀνάχαρσις, ἀναχάρσιος. σύβαρις, συβάριος. ζάλλις, ζάλλιος. τάξις, τάξιος. ἄγις, ἄγιος, καὶ ἄγιδος. θάμυρις, θαμύριος, καὶ θαμύριδος. ἀγησίπολις, ἀγησιπόλιος, καὶ ἀγησιπόλιδος. γάοζις, γαόζιος. βούσιρις, βουσίριος, καὶ βουσίριδος.

Περὶ τῶν εἰς δος ποιούντων τὴν γενικήν.

Τὰ δὲ εἰς ις κύρια ἀρσενικά, εἴτε εἰς ρις, εἴτε εἰς νις, εἴτε εἰς ἄλλο τι σύμφωνον λήγοντα, εἰς δος κοινῶς ποιοῦσι τὴν γενικήν. οἷον, πάρις, πάριδος. ἄδωνις, ἀδώνιδος. θέογνις, θεόγνιδος. Ἔτι τὰ μακροπαράληκτα παρώνυμα. οἷον, γνώνις, γνώνιδος. λάζις, λάζιδος. εὔνις, εὔνιδος. Ἔτι τὰ παρὰ τὸ πόλις σύνθετα ἀρσενικὰ μόνα ἢ κοινά. οἷον, ὁ σώπολις, τοῦ σωπόλιδος. ὁ ἀγησίπολις, τοῦ ἀγησιπόλιδος. ὁ καὶ ἡ φυγόπολις, φυγοπόλιδος. ὁ καὶ ἡ ἄπολις, ἀπόλιδος. Φθοῖς, φθοΐδος. φθοΐδες, καὶ φθοῖς. φθοΐδας, καὶ φθοῖς. ὅθεν καὶ τὸ τοῦ Ἀριστοφάνους, τοὺς φθοῖς ἁρπάζοντα. οὕτω καὶ οἶς, οἴδος. Ἔτι τὰ εἰς ις σύνθετα παρὰ τὸ μάντις κοινῶς. οἷον, κοσκινομάντις, κοσκινομάντιδος. πρόμαντις, προμάντιδος. Ἔτι τὰ ἔχοντα πρὸ τοῦ ις ἓν σύμφωνον. οἷον, κράθις, κράθιδος. τὰ δὲ ἔχοντα δύο ἀμετάβολα, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ ἡ ὄρνις, ὄρνιθος. μέρμις, μέρμιθος. Δεῖ δὲ εἰδέναι ὅτι πάντα τὰ εἰς ις βαρύτονα, φύσει βραχὺ τὸ ι ἔχουσιν ἐν πάσαις ταῖς πτώσεσι. τὸ ὄρνις δὲ, καὶ τὸ εὔκνημις, καὶ ἄλλ' ἄττα, οἱ ἀττικοὶ ἐκτείνουσιν. Ἔτι αἱ ἄλλαι πτώσεις φυλάττουσι τὸ σύμφωνον τῆς γενικῆς. ἂν δὲ αὕτη καθαρὰ ᾖ, ὁμοίως καὶ αὗται.

Ὁ πάρις. τοῦ πάριδος κοινῶς, καὶ πάριος ἰωνικῶς. τὰ δὲ εἰς δος

ποιοῦντα τὴν γενικὴν κοινῶς, καὶ εἰς ος ποιοῦσιν ἰωνικῶς. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ γ τῆς ἰλιάδος, ἂψ ὁρόων, πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσε. τῷ πάριδι, καὶ πάριϊ, καὶ πάρι παρὰ ποιηταῖς. τὸν πάριδα, καὶ πάριν. Ἰστέον δὲ ὅτι ἔνιοι φασὶν ὡς τὰ εἰς ις κύρια ποιοῦντα τὴν γενικὴν εἰς δος, καὶ ος, ποιοῦσι δύο αἰτιατικάς. εἰς δα τῆς εἰς δος γενικῆς. οἷον, πάριδος, πάριδα. εἰς ιν τῆς εἰς ος. οἷον, πάριος, πάριν. Τὰ δὲ προσηγορικὰ διὰ καθαροῦ τοῦ ος μόνον ποιοῦντα τὴν γενικὴν, εἰς ιν ποιοῦσι τὴν αἰτιατικήν. οἷον, ὁ ὄφις, τοῦ ὄφιος, τὸν ὄφιν. ὁ μάντις, τοῦ μάντιος, τὸν μάντιν. Ἡ κλητικὴ; ὦ πάρι κοινῶς. τὰ γὰρ εἰς ις ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν. καὶ ὦ πάρις ἀττικῶς. τὰ δὲ λοιπὰ σχηματίσεις τῷ σχηματισμῷ τοῦ αἴαντος.

Κανών.

ὁ πάρις. τοῦ πάριδος. τῷ πάριδι. τὸν πάριδα, καὶ πάριν. ὦ πάρι, καὶ ὦ πάρις. τὼ πάριδε. τοῖν παρίδοιν. ὦ πάριδε. οἱ πάριδες. τῶν παρίδων. τοῖς πάρισι. τοὺς πάριδας. ὦ πάριδες.

Περὶ τῶν εἰς εις, κατάληξις τετάρτη.

Τὰ εἰς εις μονοσύλλαβα ἀρσενικὰ, διὰ τοῦ ενος ποιοῦσι τὴν γενικήν. οἷον, εἷς, ἑνός. κτεὶς, κτενός. δεὶς, δενός. ἀφ' οὗ οὐδεὶς, οὐδενὸς, καὶ μηδεὶς, μηδενός. σεσημείωται ἡ κλεὶς, τῆς κλειδός. θηλυκὸν γάρ. τὰ δὲ πολυσύλλαβα μονογενῆ, καὶ τριγενῆ, εἰς εντος ποιοῦσι τὴν γενικήν. μονογενῆ μὲν, οἷον, σιμόεις, σιμόεντος. σελήεις, σελήεντος. τριγενῆ δὲ, οἷον, χαρίεις, χαρίεντος. τιμήεις, τιμήεντος. φωνήεις, φωνήεντος. ὁμοίως καὶ αἱ εἰς εις μετοχαί. οἷον, τυφθεὶς, τυφθέντος. τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς ἐκβολῇ τοῦ σ, καὶ ὦ χαρίεις ἀττικῶς, καὶ ὦ χαρίεν, ἀπὸ τῆς γενικῆς ἐκβολῇ τοῦ τος, ὥσπερ ἀπὸ τοῦ αἴαντος, αἶαν. ὅθεν καὶ τὸ οὐδέτερον, τὸ χαρίεν.

Κανών.

ὁ χαρίεις. τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει, καὶ ὦ χαρίεις, καὶ ὦ χαρίεν. τὼ χαρίεντε. τοῖν χαριέντοιν. ὦ χαρίεντε. οἱ χαρίεντες. τῶν χαριέντων. τοῖς χαρίεισι, καὶ χαρίεσι. τοὺς χαρίεντας. ὦ χαρίεντες.

Περὶ τῶν εἰς υς ὀνομάτων. κατάληξις πέμπτη.

Τὰ εἰς υς μονοσύλλαβα, περισπώμενα ὄντα, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ υ ἐν ταῖς πλαγίαις. οἷον, μῦς, μυός. σῦς, συός. δρῦς, δρυός. Ἔτι τὰ πολυσύλλαβα περισπώμενα. οἷον, ὁ ἰχθῦς, τοῦ ἰχθύος. ἰστέον δὲ τὸ υ ἐν τῇ ὀνομαστικῇ μόνον ἐστὶ μακρόν. ἐν δὲ ταῖς πλαγίαις, βραχύ. Ἔτι τὰ εἰς υς βαρύτονα, μο

νογενῆ μὲν ὄντα, διὰ τοῦ νος ποιοῦσι τὴν γενικήν, φυλάττοντα τὸ υ. οἷον, τῖφυς, τίφυος. βότρυς, βότρυος. νέκυς, νέκυος. ὁ ῥαδάμανθυς, τοῦ ῥαδαμάνθυος. ἐξαιρεῖται ὁ πῆχυς, τοῦ πήχεως. ὁ πέλεκυς, τοῦ πελέκεως. ὁ πρέσβυς, τοῦ πρέσβεως. ἐν τούτοις γὰρ ὥς φησιν ὁ πολυμαθὴς Ἡρωδιανὸς μεταβληθέντος τοῦ ο μικροῦ εἰς ω μέγα ἔθει ἀττικῷ, μετεβλήθη καὶ τὸ υ εἰς ε. διγενῆ δὲ ὄντα ὀξύτονα, τρέπουσι τὸ υ εἰς ε ἐν ταῖς πλαγίαις. οἷον, ὁ ἡδὺς, τοῦ ἡδέος. ὁ ταχὺς, τοῦ ταχέος. ὁ βραδὺς, τοῦ βραδέος. ὁ ὠκὺς, τοῦ ὠκέος. ὁ ὀξὺς, τοῦ ὀξέος. πάντα δὲ τὰ τοιαῦτα πανταχοῦ τὸ υ βραχὺ ἔχουσι. Τὰ εἰς υς σύνθετα συντεθειμένα μετὰ τῶν εἰς υς ἁπλῶν, τὴν κλίσιν αὐτῶν φυλάττουσιν. οἷον, κάλλιχθυς, καλλίχθυος, ὅτι ἰχθὺς ἰχθύος. δίβραχυς, διβράχεος, ὅτι βραχὺς βραχέος. συντεθειμένα δὲ ἀπὸ ἄλλων, εἰς δος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ ἡ ἔπηλυς, ἐπήλυδος. ὁ καὶ ἡ νέηλυς, νεήλυδος. Τὰ εἰς υς ὑποκοριστικὰ περισπώμενα, πολυσύλλαβα, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καμῦς, τοῦ καμῦ. ὁ διονῦς, τοῦ διονῦ. ὁ κλαυσῦς, τοῦ κλαυσῦ. Ἐπειδὴ δὲ τὰ εἰς υς ἐπίθετα καὶ μονογενῆ, ὀλιγοπαθῆ ὄντα, συναίρεσιν καὶ κρᾶσιν ἐπιδέχονται, λεκτέον ἂν εἴη περὶ αὐτῶν ἐπιμελῶς, καὶ πρῶτον περὶ τῶν ὀξυτόνων ἐπιθέτων. Ὁ ἡδὺς, τοῦ ἡδέος. Ἡ δοτική· τῷ ἡδέϊ. καὶ συναιρέσει, ἡδεῖ. τὸ γὰρ ε καὶ ι εἰς ει δίφθογγον συναιρεῖται. Καὶ ἡ αἰτιατική· τὸν ἡδέα, ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς α. καὶ κράσει, ἡδὺν, ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ σ εἰς ν. Ἡ κλητική· ὦ ἡδὺ κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς, ἐκβολῇ τοῦ σ. Ἡ ὀνομαστικὴ δυϊκὴ καὶ κλητική· τὼ ἡδέε, ὦ ἡδέε, ἀσυναίρετοι. εὕρηται μέντοι ὥς φησι Θεοδόσιος παρὰ Ἴωνι τῷ κωμικῷ ταχῆ, ἀπὸ τοῦ ταχέε, καὶ κράσει, ταχῆ. Ἡ γενικὴ δυϊκή· τοῖν ἡδέοιν, ἀσυναίρετος. ὅτε γὰρ ἡ γενικὴ ἑνικὴ συναιρεῖται, τότε καὶ ἡ γενικὴ δυϊκὴ, καὶ πληθυντικὴ συναιρεῖται. ὅτε δὲ ἐκείνη ἀσυναίρετος εἴη, τότε καὶ αὗται ἀσυναίρετοι τυγχάνουσιν. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ ἡ κλητική· οἱ ἡδέες, ὦ ἡδέες. καὶ κράσει, ἡδεῖς. τὰ γὰρ δύο εε ἐν ταύταις, εἰς ει δίφθογγον κιρνῶνται. Ἡ γενική· τῶν ἡδέων. Ἡ δοτική· τοῖς ἡδέσιν, ἀσυναίρετοι. Ἡ αἰτιατική· τοὺς ἡδέας. καὶ κράσει, ἡδεῖς. τὸ γὰρ ε καὶ α ἐν ταύτῃ, εἰς ει δίφθογγον κιρνᾶται. καὶ οὕτω μὲν σχηματίσεις τὰ εἰς υς διγενῆ. τὰ δὲ μονογενῆ, ὧδε. Ὁ βότρυς. τοῦ βότρυος. τῷ βότρυϊ. τὸν βότρυν μόνως. πᾶσα γὰρ γενικὴ καθαρὰ διχρόνῳ παραληγομένη, εἰς ν μόνον σχηματίζει τὴν αἰτιατικήν. οἷον, βότρυος. βότρυν. ὄφιος, ὄφιν. εὑρήσεις δὲ σπανίως παρὰ ποιηταῖς βότρυα, καὶ δρύα, καὶ

κηλύα. τὼ βότρυε, τοῖν βοτρύοιν, ὦ βότρυε, ἀσυναίρετα. οἱ βότρυες, ὦ βότρυες. καὶ κράσει, βότρυς. τὸ γὰρ υ καὶ ε ἐν τούτοις, εἰς υ μακρὸν κιρνᾶται. τῶν βοτρύων. τοῖς βότρυσι. τοὺς βότρυας. καὶ κράσει, βότρυς.

Περὶ τῶν εἰς ους ὀνομάτων, κατάληξις ἕκτη.

Τὰ εἰς ους συνῃρημένα ἰσοσύλλαβα ὄντα, τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν. οἷον, χρυσοῦς, χρυσοῦ, ὅτι χρύσεος, χρυσέου. ἀργυροῦς, ἀργυροῦ, ὅτι ἀργύρεος, ἀργυρέου. νοῦς, νοῦ, ὅτι νόος, νόου, καὶ ὁ νοῦς, τοῦ νοός. Ἔτι τὰ εἰς πλοῦς ἰσοσύλλαβα ὄντα, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ἁπλοῦς, ἁπλοῦ. διπλοῦς, διπλοῦ. τριπλοῦς, τριπλοῦ. Ἔτι τὰ εἰς δοῦς. οἷον, ἀδελφιδοῦς, ἀδελφιδοῦ. θυγατριδοῦς, θυγατριδοῦ. Τὰ δὲ εἰς ους ἁπλᾶ περιττοσύλλαβα ὄντα, εἰς ος ποιοῦσι τὴν γενικήν. οἷον, βοῦς, βοός. νοῦς, νοός. χροῦς, χροός. χοῦς, χοός. ἐξαιρεῖται ὁ πούς, τοῦ ποδός, καὶ ὁ ὀδούς, τοῦ ὀδόντος. Ἔτι τὰ παρὰ τὸ πούς σύνθετα, τὴν τοῦ ἁπλοῦ φυλάττοντα κλίσιν, εἰς δος ποιοῦσι τὴν γενικήν. οἷον, δίπους, δίποδος. τρίπους, τρίποδος, καὶ τρίπου ἀττικῶς. ἑπτάπους, ἑπτάποδος, καὶ ἑπτάπόδης, ἑπταπόδου. ὅθεν καὶ Ἡσίοδος ἐν ἔργοις, Ἄξονα δ᾽ ἑπταπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν. Οἰδίπους, οἰδίποδος, καὶ οἰδίπου ἀττικῶς. καὶ οἰδιπόδης, οἰδιπόδου πολλάκις παρὰ ποιηταῖς. ὅθεν καὶ Ἡσίοδος ἐν ἠοίαις, Ὤλεσε μαρναμένους μήλων ἕνεκ᾽ οἰδιπόδαο. ἀντὶ οἰδιπόδου. καὶ Καλλίμαχος ἐν δευτέρῳ ὕμνῳ Ἀπόλλωνος, Ἐκ μέν σε Σπάρτης ἕκτον γένος οἰδιπόδαο. ἀντὶ οἰδιπόδου. Ἔτι τὰ εἰς ους περισπώμενα, ἀπὸ τῶν εἰς εις. οἷον, πλακόεις, πλακοῦς, πλακοῦντος. σιμόεις, σιμοῦς, σιμοῦντος. ὁ γὰρ πάντων δημιουργός, ὁ Ἰησοῦς, τοῦ Ἰησοῦ, τῷ Ἰησοῦ, τὸν Ἰησοῦν παρὰ τῇ ἱερᾷ γραφῇ. Πάντα δὲ τὰ εἰς ους ἁπλᾶ μὲν, περισπῶνται. οἷον, νοῦς. βοῦς. πλὴν τοῦ πούς, καὶ ὀδούς. ταῦτα γὰρ ἀλλάξαντα τὴν κλίσιν, ἤλλαξαν καὶ τὸν τόνον. σύνθετα δὲ, βαρύνονται. οἷον, εὔπλους. εὔχρους. εὔνους. σύννους. κακόνους. ἐπειδὴ γὰρ ταῦτα διαιροῦνται εἰς ὁλοπαθῆ, καὶ ὀλιγοπαθῆ, λεκτέον ἂν εἴη καὶ περὶ αὐτῶν. καὶ πρῶτον περὶ τῶν ὀλιγοπαθῶν.

Περὶ τῶν εἰς ους ὀλιγοπαθῶν.

Ὁ βοῦς. τοῦ βοός, καὶ βοῦ παρὰ ποιηταῖς. τῷ βοΐ. τὸν βόα, ἀπὸ τῆς δοτικῆς. καὶ βοῦν, ἀπὸ τῆς ὀνομαστικῆς. εὐχρηστοτέρα δὲ ἡ δευτέρα τῆς πρώτης. ἡ κλητική; ὦ βοῦ, ἀπὸ τῆς ὀνομαστικῆς, ἀποβολῇ τοῦ σ. τὰ γὰρ εἰς σ λήγοντα μετὰ διφθόγγου, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν. ὁ βοῦς, ὦ βοῦ. ὁ πλακοῦς, ὦ πλακοῦ. ὁ Πηλεύς, ὦ Πηλεῦ. τὼ βόε. τοῖν βόοιν. ὦ βόε ἀσυναίρετα. οἱ βόες. καὶ κράσει, βοῦς. ὁ γὰρ σπανίως

εὕρηται. τῶν βοῶν. τοῖς βουσί. τοὺς βόας, καὶ βοῦς κατὰ κρᾶσιν ὁμο-
φώνως τῇ ὀνομαστικῇ πληθυντικῇ. ὅτε γὰρ αὕτη εἰς ες λήγει συνῃ-
ρημένη οὖσα, ὁμόφωνον τὴν αἰτιατικὴν καὶ κλητικὴν ἔχει. οἷον,
οἱ βόες, καὶ βοῦς. τοὺς βόας, καὶ βοῦς. ὦ βόες, καὶ βοῦς. οἱ ἰχθύες,
καὶ ἰχθῦς. τοὺς ἰχθύας, καὶ ἰχθῦς. ὦ ἰχθύες, καὶ ἰχθῦς. τούτων δὴ
οὕτως ἐχόντων, σημειωτέον ὅτι καὶ τὰ εἰς ους συνῃρημένα πολυπα-
θῆ. Τὰ εἰς οος εἴτε μονογενῆ, εἴτε τριγενῆ συνῃρημένα, ἁπλῶς
τε, καὶ συνῃρημένως κλίνονται. οὕτως. ὁ νόος, καὶ νοῦς. τοῦ νόου,
καὶ νοῦ. τῷ νόῳ, καὶ νῷ. τὸν νόον, καὶ νοῦν. ὦ νόε, ὦ νοῦ. τὼ νόω, τὼ
νῶ. τοῖν νόοιν, τοῖν νοῖν. ὦ νόω, ὦ νῶ. οἱ νόοι, καὶ νοῖ. τῶν νόων, καὶ νῶν. τοῖς
νόοις, καὶ νοῖς. τοὺς νόους, καὶ νοῦς. ὦ νόοι, ὦ νοῖ. καὶ ὁ νοῦς, τοῦ
νοός. τῷ νοΐ. καὶ ὁ χροῦς, τοῦ χροός. τῷ χροΐ. τὸ δὲ Σοφοκλέους ἐν
Αἴαντι, ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο ὥστε μὴ χαίρειν τινά, ἢ ἀπὸ τοῦ ὁ χροῦς,
τοῦ χροῦ, τῷ χρῷ, ἢ ἀπὸ τοῦ χρὼς, χρὼ, χρῷ ἀττικῶς. ἢ καὶ ἀπὸ τοῦ
ὁ χρὼς, τοῦ χρωτὸς, τῷ χρωτὶ, καὶ χρῷ.

Περὶ τῶν εἰς ως, κατάληξις ἑβδόμη.

Τὰ εἰς ως μονοσύλλαβα περισπώμενα, ἀποβολῇ τοῦ σ ποιοῦσι
τὴν γενικήν. οἷον, ὁ σῶς, τοῦ σῶ. ὁ κρῶς, τοῦ κρῶ. ὁ κῶς, τοῦ κῶ.
ὁ γνῶς, τοῦ γνῶ. Ἔτι τὰ εἰς ως πάντα ἀττικά. οἷον, ὁ μενέλεως.
τοῦ μενέλεω. ὁ λεώς. τοῦ λεώ. ὁ κάλως. τοῦ κάλω. καὶ ὁ κάλος, τοῦ
κάλου κοινῶς. καὶ ὁ κάλως, τοῦ κάλωος. Τὰ εἰς ως ὀξύτονα μονο-
σύλλαβα, περιττοσυλλάβως εἰς ος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ ζώς,
τοῦ ζωός. ὁ δμὼς, τοῦ δμωός. ἐξαιρεῖται ὁ ζὼς, τοῦ ζῶ. Ἔτι τὰ
εἰς ως μονοσύλλαβα ἔχοντα σύμφωνον τῆς τρίτης συζυγίας τῶν
βαρυτόνων, ἤγουν δ, θ, τ. οἷον, δμὼς, δμωός. θὼς, θωός. ζὼς, ζωός.
Τὰ δὲ μὴ ἔχοντα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ χρὼς, τοῦ
χρωτός. ὁ φὼς, τοῦ φωτὸς, ὁ ἀνήρ. τὸ φῶς δὲ, τοῦ φωτός. Ἔτι τὰ εἰς
ως ὀξύτονα πολυσύλλαβα. οἷον, ὁ ἀπτὼς, τοῦ ἀπτῶτος. ὁ ἀγνὼς,
τοῦ ἀγνῶτος. ὁ ἱδρὼς, τοῦ ἱδρῶτος. Τὰ εἰς ως βαρύτονα, εἰ μὲν
βραχεῖᾳ παραλήγουσιν, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, γέλως,
γέλωτος, καὶ γέλω ἀττικῶς. ἔρως, ἔρωτος, καὶ ἔρω ἀττικῶς. καὶ ὁ ἔρος
τοῦ ἔρου αἰολικῶς, πολλάκις παρὰ ποιηταῖς. ὅθεν καὶ Ἡσίοδος ἐν θεο-
γονίᾳ, τῇ δ' ἔρος ὡμάρτησε, καὶ ἵμερος ἕσπετο καλός. εἰ δὲ μακρᾷ, διὰ
καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ἥρως. μίνως, μίνωος. πλὴν τοῦ εἵ-
λως, εἵλωτος. εἵλως γὰρ ἦν. οἱ ἀθηναῖοι δὲ, ἥρω καὶ μίνω λέγουσιν, ἰσοσύλ-
λαβον τὴν τούτων ποιοῦντες κλίσιν. Τὰ εἰς ως σύνθετα, κοινῶς μὲν

τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λυσίδρως, λυσίδρωτος. χρυσέρως, χρυσέρωτος. ἀττικῶς δὲ, εἰς ω ποιοῦσι τὴν γενικήν. οἷον, ὁ φιλόγελως, τοῦ φιλόγελω. ὁ δύσερως, τοῦ δύσερω. ὁ ἱδρώς. τοῦ ἱδρῶτος. τῷ ἱδρῶτι. καὶ κατὰ ἀποκοπὴν, ἱδρῶ πολλάκις παρὰ ποιηταῖς, καὶ παρὰ τῷ ποιητῇ ἐν τῷ ρ τῆς ἰλιάδος, καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεί. ἀντὶ ἱδρῶτι. τὸν ἱδρῶτα, καὶ κατὰ ἀποκοπὴν, ἱδρῶ, ὡς παρὰ τῷ αὐτῷ πολλάκις. καὶ ἐν τῷ κ τῆς ἰλιάδος, αὐτοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ. ἀντὶ ἱδρῶτα. ὦ ἱδρώς. τὼ ἱδρῶτε. τοῖν ἱδρώτοιν. ὦ ἱδρῶτε. οἱ ἱδρῶτες. τῶν ἱδρώτων. τοῖς ἱδρῶσι. τοὺς ἱδρῶτας. ὦ ἱδρῶτες. ὁ ἥρως. τοῦ ἥρωος. τῷ ἥρωϊ. τὸν ἥρωα. ὦ ἥρως. τὼ ἥρωε. τοῖν ἡρώοιν. ὦ ἥρωε. οἱ ἥρωες, καὶ κράσει ἥρως, ὡς παρ' Ἀριστοφάνει ἐν ὄρνισιν, οἱ δ' ἥρως ἐγγύς εἰσιν. ἀντὶ ἥρωες. τῷ δὲ ἅπαξ ῥηθέντι διὰ τὸ μέτρον, οὐ χρηστέον. τῶν ἡρώων. τοῖς ἥρωσι. τοὺς ἥρωας, καὶ ἥρως. ὦ ἥρωες.

Περὶ τῶν εἰς δύο σύμφωνα ληγόντων ὀνομάτων, κατάληξις ὀγδόη.

Τὰ δύο σύμφωνα τελικὰ ἔχοντα ὀνόματα, ἢ εἰς τὸ σ λήγουσιν ὡς ἅλς, ἢ εἰς τὸ ξ ὡς σάρξ. καὶ τὰ μὲν ἔχοντα τελικὸν ξ, πρὸ αὐτοῦ ἢ λ ἔχουσιν ὡς ὅλξ, ἢ ρ ὡς σάρξ, ἢ γ ὡς σφίγξ. Ἀλλὰ περὶ μὲν τούτων, ἐν ἄλλῳ. τὰ δὲ ἔχοντα τελικὸν τὸ σ, ἢ λ ἔχουσι πρὸ αὐτῶν ὡς ἅλς, ἢ ν ὡς τίρυνς, ἢ ρ ὡς μάκαρς. περὶ ὧν νῦν ῥητέον. τὰ εἰς δύο σύμφωνα λήγοντα περιττοσυλλάβως, διὰ δύο συμφώνων κλίνονται. οἷον, τίρυνς, τίρυνθος. ἕλμινς, ἕλμινθος. μάκαρς, μάκαρτος. ὁ δὲ ἅλς ὀφείλων εἶναι ἅλτος, ἁλὸς ἐγένετο, ἵνα φυλαχθῇ ἡ δασεῖα τῆς ὀνομαστικῆς. τὰ γὰρ πνεύματα τῆς ὀνομαστικῆς αἱ πλάγιαι τηροῦσιν. εἰ γοῦν ἦν ἅλτος, ἐψιλοῦτο. πᾶν γὰρ φωνῆεν προηγούμενον ἀμεταβόλου, μεθ' ὃ σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων ἕπεται, ψιλοῦται. ταῦτά τοι ἐξεβλήθη τὸ τ, καὶ ἐγένετο ἁλὸς, ἵνα αἱ πλάγιαι τὴν δασεῖαν τῆς ὀνομαστικῆς σῴζωσιν. ὁ ἅλς. τοῦ ἁλός. τῷ ἁλί. τὸν ἅλα. ὦ ἅλς. τὼ ἅλε. τοῖν ἁλοῖν. ὦ ἅλε. οἱ ἅλες. τῶν ἁλῶν. τοῖς ἁλσί. τοὺς ἅλας. ὦ ἅλες. σημαίνει δὲ τὸ ἅλας τοῦ ἅλατος. ἡ ἅλς δὲ, τῆς ἁλὸς, τῇ ἁλὶ, τὴν ἅλα μόνον, ἡ θάλαττα. τὰ ἔχοντα α πρὸ τῶν δύο συμφώνων, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, μάκαρς, κατὰ παλαιοὺς μάκαρτος. καὶ ὁ μάκαρ, τοῦ μάκαρος. ὅθεν ὁ μακάριος, τοῦ μακαρίου. τὰ δὲ μὴ ἔχοντα α, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, τίρυνς, τίρυνθος. ἕλμινς, ἕλμινθος.

Περὶ τῶν εἰς αν ὀνομάτων, κατάληξις ἐννάτη.

Τὰ εἰς αν ὀνόματα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ φυλάττουσι πανταχοῦ τὸ α μακρόν. οἷον, παιάν, παιᾶνος. τιτάν, τιτᾶνος. πελεκάν, πελεκᾶνος. πάν, πανὸς, ὁ θεός. τὸ πᾶν δὲ τοῦ παντός. καὶ τὰ ἁπλᾶ μὲν ὄντα, ὀξύνονται. οἷον, τιτάν. παιάν. σύνθετα δὲ, παροξύνονται. οἷον, εὐπαίαν. τιτανόπαν. ἑρμόπαν. σεσημείωται ὁ καρβάν. σύνθετον γὰρ ὄν, ἀπὸ τοῦ καρὸς βοὴν ἔχειν ὀξύνεται.

Περὶ τῶν εἰς ην, κατάληξις δεκάτη.

Τὰ εἰς ην μονοσύλλαβα ἀρσενικά, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, φυλάττονται τὸ η ἐν ταῖς πλαγίαις. οἷον, σπλήν, σπληνός. ζήν, ζηνός. χήν, χηνός. μήν, μηνὸς, καὶ μεὶς αἰολικῶς. ὅθεν καὶ Ἡσίοδος, μεὶς γὰρ χαλεπώτατος οὗτος. ἡ φρὴν δὲ, τῆς φρενός. θηλυκὸν γάρ. Ἔτι τὰ εἰς ην πολυσύλλαβα ὀξύτονα, ἐὰν μὲν ἔχωσι τὸ μ, τρέπουσι τὸ η εἰς ε ἐν ταῖς πλαγίαις. οἷον, ποιμήν, ποιμένος. λιμήν, λιμένος. ὑμήν, ὑμένος. πυθμήν, πυθμένος. ἐξαιρεῖται δαιμήν, δαιμῆνος. ἐὰν δὲ μὴ ἔχωσι τὸ μ, φυλάττουσι τὸ η. οἷον, σωλήν, σωλῆνος. λειχήν, λειχῆνος. ἐξαιρεῖται ἀζὴν ἀζένος, ἀδὴν ἀδένος. καὶ αὐχὴν αὐχένος, ὅτι αὐχμὴν ἦν. Τὰ εἰς ην βαρύτονα, εἰ μὲν ὦσι μονογενῆ, φυλάττουσι τὸ η ἐν ταῖς πλαγίαις. οἷον, ἕλλην, ἕλληνος. γέρην, γέρηνος. σίβην, σίβηνος. εἴρην, εἴρηνος, καὶ εἴρενος παρὰ Καλλιμάχῳ διὰ τὸ μέτρον. εἰ δὲ ὦσιν ἐπίθετα διγενῆ, τρέπουσι τὸ η ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ὁ καὶ ἡ ἄρσην, ἄρσενος. ὁ καὶ ἡ τέρην, τέρενος.

Περὶ τῶν εἰς ιν, κατάληξις ἑνδεκάτη.

Τὰ εἰς ιν ἀρσενικὰ καὶ θηλυκὰ δικατάληκτα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ φυλάττουσι τὸ ι μακρὸν πανταχοῦ. οἷον, ὁ δελφὶν, τοῦ δελφῖνος. ὁ τελχὶν, τοῦ τελχῖνος. ἡ ἀκτὶν, τῆς ἀκτῖνος. ἡ ἐλευσὶν, τῆς ἐλευσῖνος. καὶ τὰ μὲν ἁπλᾶ, ὀξύνονται. οἷον, δελφίν. ἀκτίν. τὰ δὲ σύνθετα, παροξύνονται. οἷον, χρυσάκτιν. τριγλώχιν. εὐάκτιν. καλοῦνται δὲ δικατάληκτα, ὅτι παρὰ μὲν τοῖς παλαιοῖς, εἰς ις ἔληγον. οἷον, δελφίς. ἀκτίς. παρὰ δὲ τοῖς νεωτέροις, εἰς ιν. οἷον, δελφίν. ἀκτίν. εὐχρηστοτέρα δὲ ἡ εἰς ις, τῆς εἰς ιν. ἐξαιρεῖται τίς, τινός. μὴ δικατάληκτον γὰρ ὄν, συνεσταλμένον φύσει τὸ ι ἔχει.

Περὶ τῶν εἰς υν, κατάληξις δυοκαιδεκάτη.

Τὰ εἰς υν, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, μόσυν, μόσυνος. πόλτυν, πόλτυνος. Φόρκυν. Φόρκυνος. Φόρκυνι. φόρκυνα. καὶ ὁ Φόρκυς. τοῦ Φόρκυος. τῷ Φόρκυϊ. τὸν Φόρκυν. καὶ ὁ Φόρκυς.

τοῦ Φόρκυ. τῷ Φόρκυ. ὅθεν καὶ Ἡσίοδος ἐν θεογονίᾳ, Κητὼ δ' ὁπλότατον Φόρκυι φιλότητι μιγεῖσα. τὸν Φόρκυν. ὅθεν καὶ ὁ ὁμηρικὸς κοΐντος ἐν ἕκτῳ, ἂν δὲ Πάρις Μόσυνόν τ' ἔβαλεν, καὶ ἀγήνορα Φόρκυν. καὶ ὁ Φόρκος, τοῦ Φόρκου. Τὸ δὲ υς, οἱ μὲν, μακρόν. οἱ δὲ, βραχὺ ἀεὶ ἐνόμιζον. ὁ δὲ σοφὸς Ἡρωδιανὸς, ἐν μὲν τῇ ὀνομαστικῇ, μόνον εἶναι βραχὺ φησίν. ἐν δὲ ταῖς πλαγίαις, μακρόν. ὅπερ ἡ χρῆσις τῶν ποιητῶν ἐπιβεβαιοῖ. ὁ γὰρ παλαιὸς ἐκεῖνος Ὀρφεὺς ἐν ἀργοναυτικοῖς οὕτω φησὶ, Πρωτέα, καὶ Φόρκυνα, καὶ εὐρυβίην ζίπωνα. οὕτως ὁμοίως καὶ ὁ ποιητὴς ἐν τῷ α τῆς ὀδυσσείας, Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος. καὶ πάλιν ἐν τῷ ν τῆς αὐτῆς, Φόρκυνος δέ τις ἐστὶ λιμὴν ἁλίοιο γέροντος. καὶ ἐν τῷ γ τῆς αὐτῆς, ἐσχατιῇ Γόρτυνος ἐν ἠεροειδέϊ πόντῳ. καὶ Διονύσιος ὁ περιηγητὴς, Παρθ' ἱερὴν Γόρτυνα, καὶ ἠπειρῶτιδα Φαιστόν. τοῦ δὲ Φόρκυς, Φόρκυος, τὸ κυ βραχύ. τὰ γὰρ εἰς υς, βραχὺ τὸ δίχρονον ἔχουσιν. ὅθεν καὶ Ἡσίοδος ἐν θεογονίᾳ, Φόρκυϊ δ' αὖ Κητὼ γραίας τέκε καλλιπαρήους.

Περὶ τῶν εἰς ων ληγόντων, κατάληξις ιγ.

Τὰ εἰς ων λήγοντα ὀνόματα, ἢ ὀξύνονται ὡς σαρπηδὼν, ἑλικὼν, ἢ βαρύνονται, ὡς θέων, πλάτων, ἢ περισπῶνται, ὡς ξενοφῶν, ποσειδῶν. καὶ τὰ μὲν ὀξύτονα προσθέσει τοῦ ος ποιοῦντα τὴν γενικὴν, ἢ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις, ὡς ἑλικὼν, ἑλικῶνος, ἢ τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν, ὡς σαρπηδὼν, σαρπηδόνος. τὰ δὲ βαρύτονα, ἢ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, ποτὲ μὲν τὸ ω μέγα φυλάττοντα, ποτὲ δὲ τρέποντα, ἢ διὰ τοῦ ντ. τὰ δὲ περισπώμενα, ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ντ ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ ω μέγα. ἀλλ' ἐπειδὴ ἡ περὶ τούτων διδασκαλία ποικίλη τέ ἐστι, καὶ ὀλίγοις γνωστὴ, λεκτέον ἂν εἴη ἀκριβέστατα κατὰ τοὺς παλαιοὺς, μὴ φειδομένοις μέλανος.

Περὶ τῶν εἰς ων ὀξυτόνων φυλαττόντων τὸ ω.

Τὰ εἰς ων ὀξύτονα μονοσύλλαβα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, κλὼν, κλωνός. πρὼν, πρωνός. Ἔτι τὰ εἰς ων περιεκτικά. οἷον, κοιτὼν, κοιτῶνος. παρθενὼν, παρθενῶνος. ἀκανθὼν, ἀκανθῶνος. Ἔτι τὰ ὡς περιεκτικά. οἷον, ἀετὼν, ἀετῶνος. αἰὼν, αἰῶνος. Ἔτι τὰ τῶν μηνῶν ὀνόματα. οἷον, βοηδρομιὼν, βοηδρομιῶνος. ἑκατομβαιὼν, ἑκατομβαιῶνος. ἐλαφηβολιὼν, ἐλαφηβολιῶνος. Ἔτι τὰ διὰ τοῦ εων ὑ

τετρασύλλαβα. οἷον, λεγεών, λεγεῶνος. ἡρακλεών, ἡρακλεῶνος. τυφεών, τυφεῶνος. ποσειδεών, ποσειδεῶνος. Τὰ δὲ εἰς ων καθαρὸν βραχεῖ διχρόνῳ παραληγόμενα, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς πλαγίαις. οἷον, ἀμφικτυών, ἀμφικτυόνος. περικτιών, περικτιόνος. τὸ δὲ κνακυών, κνακυῶνος. τὸ γὰρ κυ μακρόν. Ἔτι τὰ εἰς δων, οἷον, σαρπηδών, σαρπηδόνος, καὶ σαρπηδών, σαρπηδόντος. μακεδών, μακεδόνος. ἐξαιρεῖται ὁ καλυδών, τοῦ καλυδῶνος, καὶ ὁ ἀμυδών, τοῦ ἀμυδῶνος, ὀνόματα κύρια. ἀφ' ὧν ἡ καλυδὼν πόλις, καὶ ἡ ἀμυδών. Τὰ εἰς ων περισπώμενα πάντα διὰ τοῦ ντ κλινόμενα, φυλάττοντα τὸ ω μέγα. οἷον, ξενοφῶν, ξενοφῶντος. ἀγλαοφῶν, ἀγλαοφῶντος. δημοφῶν, δημοφῶντος. ἐξαιρεῖται ὁ ποσειδῶν, τοῦ ποσειδῶνος, καὶ ταῶν, ταῶνος, καὶ τυφῶν, τυφῶνος. ὃς καὶ τυφὼς τυφῶ λέγεται ἀττικῶς, καὶ τυφεών, τυφεῶνος, καὶ τυφωεύς, τυφωέως, καὶ τυφάων, τυφάωνος. Οἱ ποιηταὶ δὲ διὰ τὸ μέτρον προστιθέασιν ο πολλάκις ἐνίοις τούτων τῶν ὀνομάτων, δημοφόων καὶ δημοκόων λέγοντες. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ ε τῆς ἰλιάδος, Ἀλλ' υἱὸν πριάμοιο νόθον βάλε δημοκόωντα. ἀντὶ δημοκῶντα. Ἔτι εὕρηται τούτοις προστιθέμενον τὸ F δίγαμμα αἰολικὸν ἐν ἐπιγράμμασι παλαιοῖς. τοῦτο δὲ ἦν ὥς φησι Διονύσιος ὁ ἁλικαρνασεὺς ἐν τῇ πρώτῃ τῶν ῥωμαϊκῶν ἱστοριῶν ου συλλαβὴ ἐνὶ στοιχείῳ γραφομένη διτταῖς πλαγίαις ἐπὶ μίαν ὀρθὴν ἐπιζευγνυμένη οὕτω F. ἐχρῶντο δὲ οἱ αἰολεῖς ἐν ταῖς ἀπὸ φωνηέντων ἀρχομέναις λέξεσιν. οἷον, Fελένη, Fάναξ. Fανήρ. Fοῖκος. Ἐπειδὴ δὲ πρὸ τοῦ ρ συμφωνίαν οὐ ποιεῖ. ἔτρεπον αὐτὸ εἰς β, τ, ἢ δ, ἢ κ, ὄντος ἐν τῇ δευτέρᾳ συλλαβῇ ὡς γέγραπται ἐν τῷ αἰολικῷ ἰδιώματι. οἷον, βρήτωρ, ἀντὶ ῥήτωρ. βρυτήρ, ἀντὶ ῥυτήρ. βρόδος, ἀντὶ ῥόδος. βράκος, ἀντὶ ῥάκος. ἅπαξ δὲ Ἀλκαῖος Fρήξας ἀντὶ ῥήξας εἶπεν, ὥς φησι Τρύφων ὁ γραμματικὸς, ὃς καὶ ἴωνας, καὶ δωριεῖς, καὶ λάκωνας, καὶ βοιωτοὺς, αὐτῷ χρῆσθαι φησίν. ἀντ' αὐτοῦ δὲ ἡμεῖς δασείᾳ, ἢ ψιλῇ χρώμεθα. Ἀλλὰ περὶ μὲν τούτου, ἱκανῶς. νῦν δὲ περὶ τῶν εἰς ων βαρυτόνων λέγωμεν.

Περὶ τῶν εἰς ων βαρυτόνων φυλαττόντων τὸ ω μέγα ἐν ταῖς πλαγίαις.

Τὰ εἰς ων βαρύτονα παρώνυμα, φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, θεὸς, θέων, θέωνος. τρυφή, τρύφων, τρύφωνος. πλατὺς, πλάτων, πλάτωνος. ἱδρὸς, ἵδρων, ἵδρωνος. ἀκτὴ, ἀκταίων, ἀκταίωνος, καὶ ἀκταίονος κατὰ συστολήν. ἐξαιρεῖται τὰ ἀπὸ τῶν εἰς ος συνθέτων γινόμενα, οἷον, ἄναιμος, ἀναίμων, ἀναίμωνος. κατάπυγος,

καταπύγων,

καταπύγων, καταπύγονος. Ἔτι τὰ εἰς ων ἐθνικά. οἷον, μύτων, μύτωνος. κύδων, κύδωνος. καδμείων, καδμείωνος. ἀργείων, ἀργείωνος. ἐξαιρεῖται κύκων, κύκονος. κύκων δὲ κύκωνος, κύριον. Ἔτι τὰ εἰς βων. οἷον, στράβων, στράβωνος. σίβων, σίβωνος. Ἔτι τὰ εἰς των δισύλλαβα, καὶ ὑπὲρ δισύλλαβα. οἷον, λήτων, λήτωνος. φλέτων, φλέτωνος. ἀρήτων, ἀρήτωνος. Ἔτι τὰ εἰς δων. οἷον, φαίδων, φαίδωνος. φείδων, φείδωνος. λάδων, λάδωνος. κνώδων τε, κνώδοντος. Ἔτι τὰ εἰς δων παρώνυμα. οἷον, κόρυδος, κορύδων, κορύδωνος. κίναδος, κινάδων, κινάδωνος. Ἔτι τὰ εἰς ζων, ξων, σων δισύλλαβα, κύρια. οἷον, ῥίζων, ῥίζωνος. ἄξων, ἄξωνος. θράσων, θράσωνος. αἴσων, αἴσωνος, καὶ αἴσονος κατὰ συστολήν. ἐξαιρεῖται ὁ ἰάσων, τοῦ ἰάσονος. Ἔτι τὰ εἰς θων, φων, χων, κων, πων, των, δισύλλαβα. οἷον, μόθων, μόθωνος. τρύφων, τρύφωνος. γλήχων, γλήχωνος. γλαύκων, γλαύκωνος. δρύπων, δρύπωνος. πλούτων, πλούτωνος. Ἔτι τὰ πρὸ τοῦ ων ἀμετάβολον ἔχοντα. οἷον, γέλων, γέλωνος. τίμων, τίμωνος. σίνων, σίνωνος. χάρων, χάρωνος. νάρων δὲ νάρονος, κατὰ συστολήν. Ἔτι τὰ εἰς ων ἔχοντα πρὸ τοῦ ων δίχρονον συνεσταλμένον. οἷον, ἠετίων, ἠετίωνος. δευκαλίων, δευκαλίωνος. ἀμφιτρύων, ἀμφιτρύωνος. ἐρευθαλίων, ἐρευθαλίωνος. εὐτρίων, εὐτρίωνος. ἠλεκτρύων, ἠλεκτρύωνος. ἡφαιστίων, ἡφαιστίωνος. ἐνδυμίων, ἐνδυμίωνος. ἀστερίων, ἀστερίωνος. ὠρίων, ὠρίωνος. τούτου δὲ τὸ ρι μακρὸν ὡς τὰ πολλά. καὶ βραχὺ δὲ παρ᾽ Εὐριπίδῃ εὕρηται, τάτε ἄστρα καὶ τὸν ὠρίωνα δέρκομαι. Ἔτι τὰ εἰς ων πατρωνυμικά. οἷον, πηλείων, πηλείωνος. ἀτρείων, ἀτρείωνος. κρονίων, κρονίωνος. τὸ δὲ ἐν τῷ ξ τῆς ἰλιάδος τοῦ ποιητοῦ, ζηνός δ᾽ οὐκ ἂν ἔγωγε κρονίονος ἆσσον ἱκοίμην, κατὰ συστολὴν διὰ τὸ μέτρον διὰ τοῦ ο μικροῦ γράφεται. Ἔτι τὰ εἰς ων ὑποκοριστικά. οἷον, βάκχων, βάκχωνος. σίμων, σίμωνος. λάκων, λάκωνος. μορίων, μορίωνος.

Περὶ τῶν εἰς ων τρεπόντων τὸ ω μέγα εἰς ο μικρόν.

Τὰ εἰς ων ῥηματικὰ ἢ κοινὰ, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς πλαγίαις. οἷον, φιλῶ, φιλήμων, φιλήμονος. νοῶ, νοήμων, νοήμονος. ἐλεῶ, ἐλεήμων, ἐλεήμονος. ὁ καὶ ἡ σώφρων, σώφρονος. ὁ καὶ ἡ γείτων, γείτονος. ὁ καὶ ἡ τέκτων, τέκτονος. ἐξαιρεῖται ὁ καὶ ἡ αἴθων, αἴθωνος, ὁ καὶ ἡ εἴρων, εἴρωνος. Ἔτι τὰ εἰς ων διχρόνῳ ἐκτεταμένῳ παραληγόμενα. οἷον, μαχάων, μαχάονος. ἱκετάων, ἱκετάονος. ἀρετάων, ἀρετάονος. ἀμφίων, ἀμφίονος. ὑπερίων, ὑπερίονος. ἐχίων, ἐχίονος. πανδίων, πανδίονος. δολίων, δολίονος. ὀπάων, ὀπάονος.

κίων, κίονος. σίων, σίονος. πρίων, πρίονος. Ἔτι τὰ εἰς ων ὑπερδισύλλαβα, μακρᾷ παραληγόμενα. οἷον, παιήων, παιήονος. Ἔτι τὰ εἰς ων συγκριτικά. οἷον, μείζων, μείζονος. κρείσσων, κρείσσονος. καλλίων, καλλίονος. Ἔτι τὰ εἰς ων δισύλλαβα, μὴ παρώνυμα, δύο σύμφωνα κατὰ σύλληψιν ἔχοντα. οἷον, τέκτων, τέκτονος. ἴδμων, ἴδμονος. ἄκμων, ἄκμονος. Ἔτι τὰ παρὰ τὸ φρὴν σύνθετα. οἷον, ἄφρων, ἄφρονος. δαΐφρων, δαΐφρονος.

Περὶ τῶν εἰς ων διὰ τοῦ ντ κλινομένων.

Τὰ εἰς ων ἔχοντα θηλυκὸν διὰ τοῦ αινα, διὰ τοῦ ντ κλίνονται, τρέποντα τὸ ω μέγα εἰς ο μικρόν. οἷον, λέων, λέοντος, ὅτι λέαινα. θεράπων, θεράποντος, ὅτι θεράπαινα. δράκων, δράκοντος, ὅτι δράκαινα. ὁ λάκων δὲ, λάκωνος. ὑποκοριστικὸν γάρ. Ἔτι τὰ εἰς δων ὑπερδισύλλαβα, μὴ παρώνυμα. οἷον, κελάδων, κελάδοντος. σαρπήδων, σαρπήδοντος. Ἔτι τὰ παρὰ τὸ ὀδοὺς σύνθετα. οἷον, θερμώδων, θερμώδοντος. χαλκώδων, χαλκώδοντος. χαυλιώδων, χαυλιώδοντος. ταῦτα δὲ καὶ διὰ τοῦ ωνος εὕρηνται κλινόμενα. οἷον, ἀμφώδων, ἀμφώδωνος. Ἔτι τὰ εἰς θων ὑπερδισύλλαβα μετοχικά. οἷον, Φαέθων, Φαέθοντος. πυριφλεγέθων, πυριφλεγέθοντος.

Περὶ τῶν εἰς ων συνθέτων.

Τὰ εἰς ων σύνθετα πάντα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, χαλκοχίτων, χαλκοχίτωνος. ἀρχιτέκτων, ἀρχιτέκτονος. μισοποσείδων, μισοποσείδωνος. καὶ ταῦτα μὲν περὶ τῶν εἰς ων. ὧν ἡ αἰτιατικὴ πάσχει πολλάκις ἀποκοπήν. οἷον, ποσειδῶ, ἀντὶ ποσειδῶνα. ἀπόλλω, ἀντὶ ἀπόλλωνα. Περὶ τῶν κλητικῶν τῶν εἰς ων.

Περὶ δὲ τῶν κλητικῶν αὐτῶν καθόλου εἰδέναι δεῖ, ὅτι τὰ εἰς ων ὀξύτονα τὰς αὐτὰς ἔχουσιν ὀνομαστικὰς, καὶ κλητικάς. οἷον, ὁ ἐλαιὼν, ὦ ἐλαιών. ὁμοίως καὶ τὰ περισπώμενα. οἷον, ὁ ξενοφῶν, ὦ ξενοφῶν. πλὴν τοῦ ὁ ποσειδῶν, ὦ πόσειδον. τὸ δὲ παρὰ Πινδάρῳ ὦ ποσείδαον, ἀπὸ τοῦ ὁ ποσειδάων, τοῦ ποσειδάονος ἐγένετο. Τὰ δὲ βαρύτονα, ἀπὸ τῆς γενικῆς, ἐκβολῇ τῆς ἐσχάτης ποιοῦσι τὴν κλητικήν. οἷον, ὁ τρύφων, τοῦ τρύφωνος, ὦ τρύφων. ὁ λέων, τοῦ λέοντος, ὦ λέων. Σημειῶσαι μέντοι ὅτι ἔνια τῶν ὑπερδισυλλάβων συνθέτων εἰς ον προπαροξύτονον ποιοῦσι τὴν κλητικήν. οἷον, ὁ ἀγαμέμνων, τοῦ ἀγαμέμνονος, ὦ ἀγάμεμνον. ὁ ἀπόλλων, τοῦ ἀπόλλωνος, ὦ ἄπολλον. ὁ καὶ ἡ κακοδαίμων, κακοδαίμονος, ὦ κακόδαιμον. καὶ οἱ αἰολεῖς δὲ ὁμοίως ὡς γέγραπται ἐν τῷ αἰολικῷ ἰδιώματι, συστέλλουσι τὸ ω μέγα

ἐν ταῖς κλητικαῖς. οἷον, ἡ ἀηδὼν, ὦ ἀηδοῖ. ἡ χελιδὼν, ὦ χελιδοῖ.

Περὶ τῶν εἰς ξ καὶ ψ ληγόντων ὀνομάτων. Τμῆμα ζίδον.

Τὰ εἰς ξ καὶ ψ λήγοντα ὀνόματα, φυλάττουσιν ἐν ταῖς πλαγίαις τὸ τῆς ὀνομαστικῆς φωνῆεν. οἷον, ὁ νάρθηξ, τοῦ νάρθηκος. ὁ σκώληξ, τοῦ σκώληκος. ὁ κύκλωψ, τοῦ κύκλωπος. πλὴν τινῶν, ἃ ἐν τοῖς ἰδίοις τόποις σημειωσόμεθα. Πᾶν δὲ ὄνομα εἰς διπλοῦν λῆγον, ἐν ταῖς πλαγίαις ἢ δασὺ ἔχει, ἢ ψιλὸν, ἢ μέσον. καὶ τὰ μὲν εἰς ξ λήγοντα, ἔχουσι τὰ τῆς δευτέρας συζυγίας σύμφωνα. γ. κ. χ. τὰ δὲ εἰς ψ, τὰ τῆς πρώτης. β. π. φ. ἀλλὰ καὶ περὶ τούτων ποικίλων ὄντων, εἰδικῶς λεκτέον. καὶ πρῶτον περὶ τῶν εἰς αξ.

Περὶ τῶν εἰς αξ. κατάληξις πεντεκαιδεκάτη.

Τὰ εἰς αξ ἁπλᾶ πολυσύλλαβα, τὸ κ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, θώραξ, θώρακος. φαίαξ, φαίακος. κόραξ, κόρακος. φύλαξ, φύλακος. ἄναξ, ἄνακος. καὶ πλεονασμῷ τοῦ τ, ἄνακτος. ἐξαιροῦνται τὰ ἀπὸ τοῦ ζω παραγόμενα, ἅτινα τὸ γ ἔχουσιν. οἷον, ἅρπαξ, ἅρπαγος, ἀπὸ τοῦ ἁρπάζω. κέκραξ, κέκραγος, ἀπὸ τοῦ κράζω. ἀπόσφαξ, ἀπόσφαγος, ἀπὸ τοῦ σφάζω. τούτοις ὁμοίως καὶ ἄζαξ, ἄζαιος, καὶ λάλαξ, λάλαγος. Τὰ ἀπὸ τῶν εἰς αξ σύνθετα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λινοθώραξ, λινοθώρακος. φιλοάρπαξ, φιλοάρπαγος. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὰ εἰς αξ δισύλλαβα ἀρσενικὰ, φύσει μὲν μακρᾷ παραληγόμενα, ἐκτεταμένον τὸ α ἔχουσιν. οἷον, θώραξ. φαίαξ. οἴαξ. ἴλαξ. πλούταξ. ὅθεν καὶ βαρύνονται. ἐξαιρεῖται ὕλαξ, κύαξ, σύαξ. θέσει δὲ μακρᾷ παραληγόμενα, συνεσταλμένον αὐτὸ ἔχουσιν. οἷον, ἅρπαξ. κέκραξ. ὁ νέαξ δὲ, καὶ φέναξ, καὶ κόρδαξ, ἐκτεταμένον τὸ α ἔχουσιν. ὁ κάβαξ δὲ, καὶ μακρὸν, καὶ βραχύ. τὰ δὲ ὑπὲρ δισύλλαβα, καὶ βραχείας οὔσης τῆς παραληγούσης, ἐκτείνουσι τὸ α. οἷον, ἱέραξ. οἰκοφύλαξ. πλὴν εἰ μὴ σύνθετα εἶεν, ἀπὸ ἁπλοῦ τὸ α συστέλλοντος. οἷον, ἱππῶναξ ἀρχιάναξ. ἐξαιρεῖται ἀσφάλαξ συνεσταλμένον ἔχον τὸ α, διότι σφάλαξ ἦν δισύλλαβον. Τὰ ἀπὸ ἁπλῶν ἐκτεινόντων τὸ α γινόμενα, φυλάττουσι τὸ α μακρόν. οἷον, λινοθώραξ. φιλοφαίαξ. Ὁ θώραξ. τοῦ θώρακος. τῷ θώρακι. τὸν θώρακα. ὦ θώραξ. τὰ γὰρ εἰς αξ, τὴν αὐτὴν ἔχουσιν ὀνομαστικὴν καὶ κλητικὴν, εἰ μὴ ἀποβολὴ τοῦ ξ γένοιτο διὰ τὸ μέτρον, ὥσπερ ὦ ἄνα πολλάκις παρὰ ποιηταῖς, ἀντὶ ὦ ἄναξ. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ π τῆς ἰλιάδος, Ζεῦ ἄνα δωδωναῖε πελασγικέ. καὶ ὁ μέγας ὀρφεὺς ἐν ὕμνῳ ἡλίου, κλῦθι φάους ταμία ζωαρκέος

ὦ ἄνα πηγῆς, ἀντὶ ὦ ἄναξ. ὁ αὐτὸς ἀρχόμενος τῶν ἀργοναυτικῶν, ὦναξ πυθῶνος μεδέων, ἀντὶ ὦ ἄναξ εἴρηκε.

Περὶ τῶν εἰς ηξ, κατάληξις ἑκκαιδεκάτη.

Τὰ εἰς ηξ ἁπλᾶ, πολυσύλλαβα, τὸ κ ἐν ταῖς πλαγίαις ἔχουσιν. οἷον, μύρμηξ, μύρμηκος. νάρθηξ, νάρθηκος. σκώληξ, σκώληκος. ὁ καὶ ἡ βὴξ, βηχός. μονοσύλλαβον γάρ. Τὰ δὲ εἰς ηξ σύνθετα, κοινὰ, ὀξύτονα, φυλάττοντα συλλαβὴν τοῦ ἰδίου ῥήματος, τὸ γ ἔχουσιν. οἷον, οἰστροπλὴξ, οἰστροπλῆγος, παραπλὴξ, παραπλῆγος, ἀπὸ τοῦ πλήξω. Ὁ μύρμηξ. τοῦ μύρμηκος. τῷ μύρμηκι. τὸν μύρμηκα. ὦ μύρμηξ.

Περὶ τῶν εἰς ιξ, κατάληξις ἑπτακαιδεκάτη.

Τὰ εἰς ιξ ἁπλᾶ, ὑπὲρ μίαν συλλαβὴν, τὸ κ ἐν ταῖς πλαγίαις ἔχουσιν. οἷον, πέρδιξ, πέρδικος. φοίνιξ, φοίνικος. καὶ τὰ ἀπ' αὐτῶν σύνθετα ὁμοίως. οἷον, λιβοφοίνιξ. ἐξαιρεῖται ὁ τέττιξ, τοῦ τέττιγος, καὶ ὁ καὶ ἡ ὄρνιξ, ὄρνιχος δωρικῶς. τὰ δὲ κοινὰ ἀπὸ θηλυκῶν γινόμενα, τὴν τῶν ἁπλῶν ἐφύλαξαν κλίσιν. οἷον, ὁ καὶ ἡ καλλίθριξ, καλλίτριχος, ὅτι θρὶξ τριχός. ὁμόστιξ, ὁμόστιχος, ὅτι στὶξ στιχός. περὶ δὲ τῆς ποσότητος τοῦ ιξ διαφορά τις φαίνεται παρὰ τοῖς μεταγενεστέροις. οἱ μὲν γὰρ αὐτὸ μακρὸν, οἱ δὲ, βραχὺ ἐνόμιζον. οἱ γὰρ παλαιότεροι μιμηταὶ Ἀπολλωνίου ἐκείνου, καὶ Ἡρωδιανοῦ, τοιαύτης ἐγένοντο δόξης, ὅτι τὸ πέρδιξ, καὶ τέττιξ, καὶ χοῖνιξ, καὶ φοίνιξ, καὶ ὅσα μακρᾷ παραλήγει, ἐν μὲν τῇ ὀνομαστικῇ, βραχὺ τὸ ι ἔχουσιν. ἐν δὲ ταῖς ἄλλαις πτώσεσι, φύσει μακρόν. ὤφειλον δὴ κατὰ τὸν κανόνα καὶ ἐν τῇ ὀνομαστικῇ ἐκτείνειν τὸ ι. τὰ γὰρ εἰς ιξ καὶ εἰς υξ ἁπλᾶ, φύσει ἢ θέσει μακρᾷ παραληγόμενα, μακροκαταληκτοῦσιν. ἀλλ' ἐπειδὴ τὸ ι καὶ υ πρὸ τοῦ ξ οὐδέποτε εἰσὶ φύσει μακρὰ, οἷον, πνίξω, ψύξω, διὰ τοῦτο τῇ ἐπιφορᾷ τοῦ ξ φύσει συστέλλονται. ὅθεν καὶ ἡ δοτικὴ πληθυντικὴ αὐτῶν τοῖς φοίνιξιν ἑπομένου τοῦ ξ, θέσει οὐ φύσει τὸ δίχρονον μακρὸν ἔχει. τῷ αὐτῷ λόγῳ καὶ τὸ ἰξύω θέσει μακρόν. τὸ δὲ ἴξυον, φύσει, τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρῳχημένων. σημειοῦνται δὲ τὰ εἰς λιξ πανταχοῦ τὸ ι συνεσταλμένον ἔχοντα. οἷον, ἧλιξ, ἥλικος. ὁμῆλιξ, ὁμήλικος. Ὁ πέρδιξ. τοῦ πέρδικος. τῷ πέρδικι. τὸν πέρδικα. ὦ πέρδιξ.

Περὶ τῶν εἰς υξ, κατάληξις ὀκτωκαιδεκάτη.

Τὰ εἰς υξ ἀρσενικὰ, ἁπλᾶ, δισύλλαβα, φύσει μακρᾷ παραληγόμενα, τὸ κ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, κῆρυξ, κήρυκος. δοίδυξ, δοίδυκος. αἴθυξ, αἴθυκος. θρᾶνυξ, θράνυκος. Ἔτι τὰ θέσει μακρᾷ παραληγόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ συλλαβῇ β, ἢ γ, ἢ δ, ἢ π.



οἷον, βόμβυξ, βόμβυκος. καὶ τὰ παραληγόμενα τῷ ε. οἷον, ἔρυξ, ἔρυκος. καὶ τὰ ἔχοντα ἐν τῇ παραληγούσῃ α χωρὶς γ πρὸ τοῦ ξ. οἷον, ἄμπυξ, ἄμπυκος. γόνυξ, γόνυκος. τὰ δὲ ἔχοντα γ, διὰ τοῦ γ κλίνονται. οἷον, φάρυγξ, φάρυγγος. λάρυγξ, λάρυγγος. τὰ δὲ μὴ οὕτως ἔχοντα, ὡς ἐπὶ τὸ πλεῖστον τὸ γ ἔχουσιν. οἷον, ὄρτυξ, ὄρτυγος. ἔτι τὰ εἰς υξ ὑπερδισύλλαβα, παραληγόμενα τῷ α, διὰ γ ἔχουσιν. οἷον, ταρβάρυξ, ταρβάρυγος. ἔτι τὰ παραληγόμενα τῷ ο μὴ ἐπιφερομένου ν, ἢ β. οἷον, κόκκυξ, κόκκυγος. μόρτυξ, μόρτυγος. ὄρτυξ, ὄρτυγος, καὶ ὄρτυκος κατὰ Φιλήμονα. ἔτι τὰ παρὰ τὸ φεύγω, καὶ ζεύγω, ζεύξω. οἷον, πρόφυξ, πρόφυγος. ὁμόζυξ, ὁμόζυγος. τὰ δὲ ἔχοντα ν, τὸ χ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, ὄνυξ, ὄνυχος. στόνυξ, στόνυχος. ὅθεν καὶ τὰ παρὰ τὸ ὄνυξ καὶ νυξ γινόμενα, διὰ χ ἔχουσιν. οἷον, μονῶνυξ, μονώνυχος. διώνυξ, διώνυχος. μεσώνυξ, μεσώνυχος. ἀκρώνυξ, ἀκρώνυχος. ἔτι τὰ παρὰ τὸ ὀρύσσω. οἷον, ἡ διώνυξ, τῆς διώνυχος. τὰ εἰς υξ σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, τανυπτέρυξ, τανυπτέρυγος. δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς υξ ἁπλᾶ μακρᾷ φύσει ἢ θέσει παραληγόμενα, κατὰ τοὺς ἀκριβεστέρους ἐν τῇ ὀνομαστικῇ μόνῃ τὸ υ φύσει συστέλλουσιν. ἐν δὲ ταῖς ἄλλαις πτώσεσι, φύσει ἐκτείνουσι. τὰ δὲ σύνθετα καὶ τὰ παραληγόμενα βραχείᾳ, πανταχοῦ συστέλλουσι τὸ υ. οἷον, σύζυξ, σύζυγος. πρόφυξ, πρόφυγος. ὄνυξ, ὄνυχος. ἔρυξ, ἔρυκος, εἰ μὴ ἔκτασις γένοιτο παρὰ ποιηταῖς, ὥσπερ καὶ συστολὴ τῶν φύσει μακρῶν, ὡς παρὰ τῷ ποιητῇ, κήρυκι ἠπυτίδῃ. τὸ γὰρ ρυ φύσει μακρὸν, συνέστειλε. καὶ τὸ βέβρυκος διὰ βρυ, ποτὲ μὲν ὡς ἔχει, μακρὸν φυλάττει. οἷον, βεβρύκων βασιλῆος ἀγήνορος. ποτὲ δὲ, συστέλλει. οἷον, οὐδ' ἄρα βέβρυκες ἄνδρες ἀκήδησαν βασιλῆος. ὁ κῆρυξ. τοῦ κήρυκος. τῷ κήρυκι. τὸν κήρυκα. ὦ κῆρυξ.

Περὶ τῶν εἰς ωξ, κατάληξις ἐννεακαιδεκάτη.

Τὰ εἰς ωξ ἁπλᾶ τὸ κ ἔχουσιν ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, πτὼξ, πτωκός. βῶξ, βωκός. πλὴν τοῦ ῥὼξ, ῥωγός. ἔτι τὰ σύνθετα ἀπὸ τοῦ πτὼξ, καὶ διώκω, τὸ κ ἔχουσιν. οἷον, πολύπτωξ, πολύπτωκος. θηροδίωξ, θηροδίωκος. αἰγοδίωξ, αἰγοδίωκος. κυαμοτρὼξ δὲ, κυαμοτρῶγος. ἀπὸ τοῦ τρώγω γάρ. ὁ πτὼξ. τοῦ πτωκός. τῷ πτωκί. τὸν πτῶκα. ὦ πτὼξ.

Περὶ τῶν εἰς αρ, κατάληξις εἰκοστή.

Τὰ εἰς αρ πάντα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. καὶ εἰ μὲν ὦσι μονοσύλλαβα, μακρὸν ἔχουσι τὸ α. οἷον, κὰρ, καρός. πὰρ, παρός. ψὰρ, ψαρός. τοῦτο δὲ ὁ ποιητὴς ποτὲ μὲν, διὰ τοῦ α προ

φέρει. οἷον, ψὰρ, ψαρῶν νέφος ἔρχεται. ποτὲ δὲ διὰ τοῦ η. οἷον, κολοιούς τε, ψῆράς τε. καὶ ὁ ψαρός. τοῦ ψαροῦ. εἰ δὲ ὦσιν ὑπὲρ μίαν συλλαβὴν, βραχὺ τὸ α ἔχουσιν. οἷον, μάκαρ, μάκαρος. ὄναρ, ὄναρος. καῖσαρ, καίσαρος, λατινικόν. ὁ μάκαρ. τοῦ μάκαρος. τῷ μάκαρι. τὸν μάκαρα. ὦ μάκαρ.

Περὶ τῶν εἰς ηρ, κατάληξις εἰκοστὴ πρώτη.

Τὰ εἰς ηρ μονοσύλλαβα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ η ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, θὴρ, θηρός. φὴρ, φηρός. σὴρ, σηρός. τούτοις ὁμοίως καὶ ἡ κὴρ, τῆς κηρός. τὰ δὲ πολυσύλλαβα ὀξύτονα, εἰ μὲν ἔχωσι τὸ τ πρὸ τοῦ ηρ, φυλάττουσι τὸ η πανταχοῦ. οἷον, λουτὴρ, λουτῆρος. σωτὴρ, σωτῆρος. ὀλετὴρ, ὀλετῆρος. ἐξαιρεῖται ὁ ἀστὴρ, τοῦ ἀστέρος, καὶ πατὴρ, πατέρος, καὶ πατρός. εἰ δὲ μὴ ἔχωσι τὸ τ, τρέπουσι τὸ η τῆς ὀνομαστικῆς εἰς ε ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, αἰθὴρ, αἰθέρος. ἀὴρ, ἀέρος. δαὴρ, δαέρος. ἀνὴρ, ἀνέρος. καὶ προσθέσει τοῦ δ καὶ συγκοπῇ, ἀνδρός. ἐξαιρεῖται σπινθὴρ, σπινθῆρος, καὶ ἐλευθὴρ, ἐλευθῆρος. Ἔτι τὰ εἰς ηρ βαρύτονα, εἰ μὲν μακρᾷ παραλήγει, τρέπουσι τὸ η εἰς ε. οἷον, πίηρ, πίερος. φράτηρ, φράτερος. εἰ δὲ βραχείᾳ, φυλάττουσι τὸ η. οἷον, ἴβηρ, ἴβηρος. ἐρίηρ, ἐρίηρος. καὶ ὁ πάνθηρ δὲ πάνθηρος, τὴν τοῦ ἁπλοῦ ἐφύλαξε κλίσιν. Ἰστέον δὲ ὅτι τὰ εἰς ηρ πολυσύλλαβα ἁπλᾶ, μὴ κύρια, μηδὲ ἐθνικὰ, ὀξύνονται. οἷον, ἀήρ. αἰθήρ. τὰ δὲ ἐθνικὰ καὶ κύρια προσηγορικοῖς συνεμπίπτοντα, βαρύνονται. οἷον, ἴβηρ. ἀσίχηρ. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ εἰς ηρ λήγοντα ὀνόματα, τὰς αὐτὰς ἔχουσιν ὀνομαστικὰς καὶ κλητικάς. οἷον, ὁ ἴβηρ, ὦ ἴβηρ. πλὴν τῶν ἐν τοῖς ἀρσενικοῖς. οἷον, ὁ πατὴρ, ὦ πάτερ. ὁ σωτὴρ, ὦ σῶτερ. ὁ ἀνὴρ, ὦ ἄνερ. ὁ δαὴρ, ὦ δάερ.

Ὁ ἀνήρ. τοῦ ἀνέρος, καὶ ἀνδρός. τῷ ἀνέρι, καὶ ἀνδρί. τὸν ἀνέρα, καὶ ἄνδρα. ὦ ἄνερ. τὼ ἀνέρε, καὶ ἄνδρε. τοῖν ἀνέροιν, καὶ ἀνδροῖν. ὦ ἀνέρε, καὶ ἄνδρε. οἱ ἀνέρες, καὶ ἄνδρες. τῶν ἀνέρων, καὶ ἀνδρῶν. τοῖς ἀνδράσι μόνως, ἀπὸ τῆς δοτικῆς ἑνικῆς, τροπῇ τοῦ ε εἰς α, καὶ προσθέσει δ καὶ σ. ὁμοίως καὶ πατράσι. τοὺς ἀνέρας, καὶ ἄνδρας. ὦ ἀνέρες, καὶ ἄνδρες.

Ὁ πατήρ. τοῦ πατέρος, καὶ πατρός. τῷ πατέρι, καὶ πατρί. τὸν πατέρα. ὦ πάτερ. τὼ πατέρε. τοῖν πατέροιν. ὦ πατέρε. οἱ πατέρες. τῶν πατέρων. τοῖς πατράσι. τοὺς πατέρας. ὦ πατέρες.

Ὁ ἀὴρ κοινῶς, καὶ ἡ ἀὴρ αἰολικῶς. ὁμοίως καὶ ὁ αἰθὴρ κοινῶς, καὶ ἡ αἰθὴρ αἰολικῶς. ὅπερ πολλάκις εὑρήσεις παρὰ τοῖς ποιηταῖς.

Περὶ τῶν εἰς υρ, κατάληξις εἰκοστὴ τρίτη.

Τὰ εἰς υρ, κατὰ ἀποκοπὴν ἐγένοντο. οἷον, ὁ ψίθυρ, τοῦ ψίθυρος, ἀπὸ τοῦ ὁ ψίθυρος, τοῦ ψιθύρου. ὁ μάρτυρ, τοῦ μάρτυρος, ἀπὸ τοῦ ὁ

μάρτυρος, τοῦ μαρτύρου. ὅθεν καὶ ὁ μέγας ὀρφεὺς ἐν ἀργοναυτικοῖς, τούτου δ' ἐπιμάρτυροι ἔστων. καὶ ὁ ποιητὴς, τὼ δ' αὐτὼ μάρτυροι ἔστων. καὶ ὁ μάρτυρ τοῦ μάρτυρος παλαιὸν, ὅπερ οἱ λατῖνοι ἐφύλαξαν. καὶ ὁ μάρτυς, τοῦ μάρτυος. καὶ τὸ νῦν εὔχρηστον, ὁ καὶ ἡ μάρτυς, μάρτυρος. μάρτυρι. μάρτυρα.

Περὶ τῶν εἰς ειρ, κατάληξις εἰκοστὴ τετάρτη.

Τὰ εἰς ειρ μονοσύλλαβα ὀξύτονα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, φθεὶρ, φθειρός. εἲρ, εἰρός. ὁμοίως καὶ τὰ πολυσύλλαβα βαρύτονα. οἷον, ἀντίχειρ, ἀντίχειρος. πολύχειρ. ἑκατοντάχειρ. λείχειρ. σέμφειρ. βέχειρ. τὰ δὲ ἰουδαϊκὰ, ἄκλιτα.

Περὶ τῶν εἰς ωρ, κατάληξις εἰκοστὴ πέμπτη.

Τὰ εἰς ωρ ὀξύτονα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ω μέγα πανταχοῦ. οἷον, φὼρ, φωρός. ἰχὼρ, ἰχῶρος. ἔτι τὰ βαρύτονα εἰ μὲν ἔχουσι πρὸ τοῦ ω λ, φυλάττουσι τὸ ω μέγα. οἷον, κέλωρ, κέλωρος. πέλωρ, πέλωρος. εἰ δὲ οὐκ ἔχουσι, τρέπουσι τὸ ω μέγα εἰς ο μικρόν. οἷον, νέστωρ, νέστορος. ἕκτωρ, ἕκτορος. μέντωρ, μέντορος. μνήστωρ, μνήστορος, κύριον. μνήστωρ δὲ μνήστωρος, ἐπίθετον. ὅθεν καὶ ὁ ποιητὴς, μνήστωρος φόβοιο. εὕρηνται δὲ καὶ ἄλλα παρὰ ποιηταῖς ἐκτάσει ἔχοντα ω μέγα, ὡς τοὐναντίον συστολῇ τρέποντα, οἷς οὐ δεῖ χρῆσθαι ἐν τῷ πεζῷ λόγῳ. Τὰ δὲ ῥωμαϊκὰ, φυλάττουσι τὸ ω μέγα. κοιέστωρος. πραίτωρος. μανδάτωρος. δικτάτωρος. Ἰστέον δὲ ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα, φυλάττουσι τὸ ἀμετάβολον ἐν ταῖς πλαγίαις. οἷον, νέστωρ, νέστορος. δίων, δίωνος. ταῦτά τοι καὶ ἀμετάβολον προσηγόρευται. οὔτε γὰρ ἐν ταῖς πλαγίαις μεταβάλλονται, οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. ὁ νέστωρ. τοῦ νέστορος. τῷ νέστορι. τὸν νέστορα. ὦ νέστορ. Περὶ τῶν εἰς ψ πάντων, κατάληξις κς.

Τὰ εἰς ψ πολυσύλλαβα, ἢ β, ἢ π, ἢ φ ἔχουσιν ἐν ταῖς πλαγίαις. καθόλου δὲ εἰπεῖν, πάντα τὰ εἰς ψ, διὰ τοῦ π κλίνονται, εἴτε μονοσύλλαβα εἰσὶν, εἴτε πολυσύλλαβα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα. οἷον, ὢψ, ὠπός. θὼψ, θωπός. κύκλωψ, κύκλωπος. εὐρύωψ, εὐρύωπος. ἐξαιρεῖται τέσσαρα μονοσύλλαβα, διὰ τοῦ β κλινόμενα. οἷον, φλὲψ, φλεβός. φὰψ, φαβός. νὶψ, νιβός. λὶψ, λιβός. καὶ τέσσαρα πολυσύλλαβα. οἷον, ἄραψ, ἄραβος. χάλυψ, χάλυβος. χέρνιψ, χέρνιβος. θάρυψ, θάρυβος. καὶ τρία διὰ τοῦ φ κλινόμενα. οἷον, κίνυψ, κίνυφος. κατῆλιψ, κατήλιφος. σκίραψ, σκίραφος. τὰ δὲ σύνθετα ἀπὸ τοῦ τρίβω, διὰ τοῦ β κλίνονται. οἷον, παιδότριψ, παιδότριβος. οἰκότριψ, οἰκότριβος, ἀπὸ τοῦ τρίβω. Ἰστέον δὲ ὅτι τὰ εἰς οψ

πολυσύλλαβα διὰ τοῦ ο μικροῦ γράφονται. οἷον, αἰθίοψ. μέροψ. κέκροψ. οἴνοψ. πέλοψ. πλὴν τοῦ ὕδρωψ. κύκλωψ. μώλωψ. κώνωψ. νυκτάλωψ. κέρκωψ. σκόλωψ. μύωψ. καίνωψ. καὶ ὅσα παράγονται ἀπὸ τοῦ ὢψ ὠπὸς, ὁ ὀφθαλμὸς, διὰ τοῦ ω μεγάλου γράφονται. οἷον, ἑλίκωψ, ἑλίκωπος. ὥσπερ τοὐναντίον ἀπὸ τοῦ ὂψ ὀπὸς, ἡ φωνή. οἷον, μέροψ. μέροπος.

Περὶ τῶν καταλήξεων τῶν θηλυκῶν ὀνομάτων.

Τμῆμα τέταρτον.

Περὶ μὲν καταλήξεων τῶν ἀρσενικῶν ὀνομάτων ὡς οἷόν τε ἦν ἡμῖν, ἐπιμελῶς καὶ συντόμως κατὰ παλαιοὺς εἴρηται. νῦν δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν θηλυκῶν ῥηθήσεται. πρὸ τούτων δὲ εἰδέναι δεῖ ὅτι τελικὰ τῶν θηλυκῶν ὀνομάτων εἰσὶν ὀκτώ. α, η, ω, ν, ξ, ρ, σ, ψ. περὶ ὧν ῥητέον. καὶ πρῶτον περὶ τῶν εἰς α, καὶ η.

Περὶ τῶν εἰς α καὶ η.

Τὰ εἰς α καὶ η θηλυκὰ ἰσοσύλλαβα, τῆς δευτέρας κλίσεώς εἰσιν. ὧν ὁ σχηματισμὸς ἐν αὐτῇ εἴρηται. Τὰ εἰς ω συνῃρημένα ὄντα, εἰς ους ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. περὶ ὧν ἐν τῇ τετάρτῃ τῶν συνῃρημένων λεχθήσεται. νῦν δὲ περὶ τῶν περιττοσυλλάβων λέγωμεν. Εἰς αν θηλυκὸν οὐκ ἔχομεν. τὸ γὰρ δυνὰν δυνᾶνος, ἀρσενικὸν οἱ πλείους ἐνόμιζον. εἰ δὲ καὶ ὑποθώμεθα θηλυκὰ εἶναι, προσθέσει τοῦ ος τὴν γενικὴν ποιήσουσιν, ὥσπερ καὶ τὰ ἀρσενικά. Ἔτι εἰς εν οὔτε ἀρσενικὸν, οὔτε θηλυκὸν ἔχομεν. οὐδέτερον δὲ, οἷον, τὸ χαρίεν.

Περὶ τῶν περιττοσυλλάβων εἰς ην, κατάληξις α.

Τὰ εἰς ην θηλυκὰ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ η ἐν ταῖς πλαγίαις. οἷον, τροιζὴν, τροιζῆνος. σειρὴν, σειρῆνος. ἐξαιρεῖται ἡ φρὴν τῆς φρενὸς, διότι μονοσύλλαβόν ἐστιν. εὑρίσκεται δὲ καὶ γλὴν ἄκλιτον, ἀπὸ τοῦ γλήνη κατὰ ἀποκοπὴν γινόμενον.

Περὶ τῶν εἰς ιν, κατάληξις δευτέρα.

Τὰ εἰς ιν θηλυκὰ δικατάληκτα, ἁπλᾶ, ὀξύνονται, καὶ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι πανταχοῦ τὸ ι μακρὸν, ὥσπερ καὶ τὰ ἀρσενικά. οἷον, σαλαμὶν, σαλαμῖνος. ἀκτὶν, ἀκτῖνος. ῥὶν, ῥινός. Εἰς ον θηλυκὰ οὐκ ἔχομεν. τὰ γὰρ παρὰ τῶν κωμικῶν ἐσχηματισμένα, οὐδέτερά εἰσιν. ὅθεν καὶ κατὰ τὰ οὐδέτερα κλίνονται ἑνικῶς. μόνον δὲ θηλυκὸν ἄρθρον αὐτοῖς προστίθεται. οἷον, ἡ σωφρόνιον. ἡ γλυκέριον. ἡ ἀβροτόνιον. ἡ λεόντιον. ἡ χρυσίον.

Περὶ τῶν εἰς υν, κατάληξις τρίτη.

Τὰ εἰς υν θηλυκὰ σπάνια ὄντα, προσθέσει τοῦ ος, ποιοῦσι τὴν γε

νικὴν, ὁμοίως τοῖς ἀρσενικοῖς μακρὸν τὸ υ ἐν ταῖς πλαγίαις φυλάττοντα. οἷον, ἡ γόρτυν, τῆς γόρτυνος.

Περὶ τῶν εἰς ων, κατάληξις τετάρτη.

Τὰ εἰς ων θηλυκὰ ἢ ὀξύνονται, ὡς ζυγὼν, ἀηδὼν, ἢ βαρύνονται, ὡς ζήρων, μήκων. οὐδέποτε δὲ περισπῶνται, πλὴν ἑνός. ἡ κτησιφῶν, τῆς κτησιφῶντος. ἔστι δὲ ὄνομα πόλεως περσίδος, φυλάξαν καὶ τὸν τόνον καὶ τὴν κλίσιν τοῦ κυρίου ὀνόματος ἀφ᾽ οὗ προσηγόρευται.

Εἰς ων βαρύτονα.

Τὰ εἰς ων θηλυκὰ βαρύτονα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ἡ μήκων, τῆς μήκωνος. ἡ ζήρων, τῆς ζήρωνος. Ἔτι καὶ τὰ ὀνόματα τῶν πόλεων, εἴτε ὀξύτονα εἶεν, εἴτε βαρύτονα. οἷον, ἡ πυθὼν, τῆς πυθῶνος. ἡ σιδὼν, τῆς σιδῶνος. ἡ καλυδὼν, τῆς καλυδῶνος. ἡ πλευρὼν, τῆς πλευρῶνος. ἡ κρώτων, τῆς κρώτωνος. ἡ ἴτων, τῆς ἴτωνος. ἐξαιρεῖται ἡ λακεδαίμων, τῆς λακεδαίμονος. ἐφύλαξε γὰρ τὴν τοῦ ἁπλοῦ κλίσιν, τὴν δαίμων, δαίμονος.

Εἰς ων ὀξύτονα.

Τὰ εἰς ων ὀξύτονα μὴ ὄντα ὀνόματα πόλεων, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ἡ ζυγὼν, τῆς ζυγόνος. ἡ χελιδὼν, τῆς χελιδόνος. ἡ ἀηδὼν, τῆς ἀηδόνος. ἡ εἰκὼν, τῆς εἰκόνος. ἡ χιὼν, τῆς χιόνος. ἡ ἀμαζὼν, τῆς ἀμαζόνος. ἐξαιρεῖται ἡ μελεδὼν, τῆς μελεδῶνος, καὶ ἡ τυφεδὼν, τῆς τυφεδῶνος κατ᾽ ἔκτασιν. Ἔτι καὶ τὰ εἰς δων ὀνόματα πόλεων τῷ η παραλήγοντα, τρέπουσι τὸ ω μέγα εἰς ο μικρόν. οἷον, σηδὼν, σηδόνος. ἀσπληδὼν, ἀσπληδόνος. αἰθηδὼν, αἰθηδόνος. στερηδὼν, στερηδόνος. καρχηδὼν καρχηδόνος, ἡ ἐν λιβύῃ. καὶ καλχηδὼν καλχηδόνος, ἡ ἀντικρὺ τοῦ νῦν δυστυχοῦς βυζαντίου, τῆς ἐμῆς πατρίδος. ἥτις καὶ χαλκηδὼν χαλκηδόνος λέγεται. οἷς ὁμοίως καὶ ἡ ἑρμιὼν, ἑρμιόνος. βιὼν, βιόνος. ἠϊὼν, ἠϊόνος. ὀλασσὼν, ὀλασσόνος. καὶ οὗτος μὲν ὁ τῶν παλαιῶν κανὼν περὶ τῶν εἰς ων. ὅταν δ᾽ ἄλλως εὑρεθῇ παρὰ ποιηταῖς, κατ᾽ ἔκτασιν ἢ συστολὴν γίνεται.

Περὶ τῶν εἰς αξ θηλυκῶν, κατάληξις πέμπτη.

Τὰ εἰς αξ θηλυκὰ ἁπλᾶ πολυσύλλαβα, διὰ τοῦ κ κλίνονται, καὶ βραχὺ τὸ αξ ἔχουσιν. ὅθεν καὶ προπερισπῶνται ὅσα τὴν παραλήγουσαν φύσει μακρὰν ἔχουσιν. οἷον, ἡ αὖλαξ, τῆς αὔλακος. ἡ πῖδαξ, τῆς πίδακος. ἡ κλῖμαξ, τῆς κλίμακος, ἡ θρῖδαξ, τῆς θρίδακος.

τούτοις ὁμοίως καὶ ἡ γλαῦξ, τῆς γλαυκός. καὶ γυναῖξ ἀρχαῖον, γυναικός. ὅθεν τὸ ἑτερόκλιτον, ἡ γυνή, τῆς γυναικός, τῇ γυναικί, τὴν γυναῖκα, ὦ γύναι. τὰ δὲ εὑρισκόμενα δύο κοινὰ εἰς αιξ, διὰ τοῦ γ κλίνονται. οἷον, ὁ καὶ ἡ αἴξ, αἰγός. ὁ καὶ ἡ γραῖξ, γραιγός. ὁ θρᾷξ δέ, τὸ παλαιὸν θραικὸς ἐποίει. ὅθεν νῦν ὁ θρᾷξ τοῦ θρᾳκὸς λέγομεν, τοῦ ι ὑπογραφομένου. καὶ ὁ δαΐξ, τοῦ δαϊκός.

Περὶ τῶν εἰς ηξ, κατάληξις ἕκτη.

Τὰ εἰς ηξ ἁπλᾶ θηλυκὰ διὰ τοῦ κ κλίνονται. οἷον, ἡ πήληξ, τῆς πήληκος. χάληξ, χάληκος. ὕπληξ δὲ, ὕπληγος. καὶ ἀντίπληξ, ἀντίπληγος. καὶ ὁ καὶ ἡ βήξ, βηχός. φυλάττουσι δὲ πάντα τὸ η ἐν ταῖς ἄλλαις πτώσεσι, πλὴν τῶν παραληγομένων τῷ ω. ταῦτα γὰρ τρέπουσι τὸ η εἰς ε. οἷον, ἡ ἀλώπηξ, τῆς ἀλώπεκος.

Περὶ τῶν εἰς ιξ, κατάληξις ἑβδόμη.

Τὰ εἰς ιξ πολυσύλλαβα θηλυκὰ, ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ κ κλίνονται. οἷον, κύλιξ, κύλικος. ἕλιξ, ἕλικος. ἡ μάστιξ δὲ, τῆς μάστιγος. τῇ μάστιγι, καὶ μάστι, κατὰ ἀποκοπήν. μάστιγα καὶ μάστιν. ὅθεν Μάστιν αἰὲν ἔλαυνεν. Ἦ, καὶ ἐφ' ἱππείην μάστιν βάλε. καὶ ἡ στίξ, τῆς στιχός. ὅθεν ὁμόστιξ, ὁμόστιχος. καὶ ἡ θρίξ δὲ, τῆς τριχός. ὅθεν καὶ τὰ κοινὰ, καλλίθριξ, καλλίτριχος. καὶ τανύθριξ, τανύτριχος. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ εἰς ξ, εἰ μὲν ἔχουσι πρὸ τοῦ ξ γ, διὰ τοῦ γ κλίνονται. οἷον, ἡ σφίγξ, τῆς σφιγγός. ἡ σάλπιγξ, τῆς σάλπιγγος. λύγξ, λυγγὸς, τὸ πάθος. λύγξ δὲ λυγκὸς, τὸ θηρίον, ὡς παρὰ Καλλιμάχῳ, οἱ δὲ κρέα λυγκὸς ἔταμνον. εἰ δὲ πρὸ τοῦ ξ ἕτερον σύμφωνον ἔχουσι, διὰ τοῦ κ κλίνονται. οἷον, ἡ σάρξ, τῆς σαρκός. ὄλξ, ὀλκός. ἄλξ, ἀλκὸς, ἀλκί. ὅθεν καὶ τὸ ὁμήρειον ἐκεῖνο, Ἀλκὶ πεποιθὼς, ἢ ἀπὸ τοῦ ἄλξ, ἀλκὸς, ἀλκὶ ὥς τισι δοκεῖ, ἢ ἀπὸ τοῦ ἡ ἀλκή, τῆς ἀλκῆς, τῇ ἀλκῇ. καὶ κατὰ μεταπλασμὸν, ἀλκί. ὅπερ ἄμεινον.

Περὶ τῶν υξ, κατάληξις ὀγδόη.

Τὰ εἰς υξ θηλυκὰ πολυσύλλαβα διὰ τοῦ γ κλίνονται, εἰ μὴ λόγος ἕτερος κωλύσῃ. οἷον, ἄντυξ, ἄντυγος. πομφόλυξ, πομφόλυγος. πτέρυξ, πτέρυγος βαρύτονον, τὰ πτερύγια. πτερὺξ δὲ πτερύγος ὀξύτονον, τὸ ὅλον μέρος ἐν ᾧ φύονται τὰ πτερά. ὅθεν καὶ παρὰ τῷ ποιητῇ ἐν τῷ β τῆς ἰλιάδος, τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχῦαν. παροξυτόνως γραπτέον, οὐ προπαροξυτόνως. Ἔτι καὶ τὰ μονοσύλλαβα ὀξύτονα, ὡς τὰ πολλὰ τὸ γ ἔχουσιν. οἷον, ἡ ζύξ, τῆς ζυγός. ἡ στύξ, τῆς στυγός. ἡ νύξ, τῆς νυχός. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ προσθέσει τοῦ τ, νυκτός. νυκτί. νύκτα. καὶ ἡ ἄμπυξ δὲ, ἄμπυκος.

ἔτι τὰ ἀπὸ τῶν εἰς υξ σύνθετα τὴν τῶν πρωτοτύπων φυλάττουσι κλίσιν.

Περὶ τῶν εἰς αρ, καταλήξεως ἐννάτη.

Εἰς αρ θηλυκὸν τὸ δάμαρ ἔχομεν, ὅπερ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικήν. οἷον, ἡ δάμαρ, τῆς δάμαρος, καὶ ἡ δάμαρς, τῆς δάμαρτος παλαιόν. ὅθεν καὶ Εὐριπίδης ἐν Ἠλέκτρᾳ, εἴτε Ὀρέστῃ, φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησι δοκεῖς. τὸ δὲ τοῦ ποιητοῦ, ὀάρων ἕνεκα σφετεράων, ἢ ἀπὸ τοῦ ὄαρ ὄαρος, ὄαρες, ὀάρων, ὄαρσι, καὶ ὀάρεσσιν ἰωνικῶς, καὶ κράσει ὤρεσσιν, ὡς παρ' αὐτῷ ἐν τῷ ε τῆς Ἰλιάδος, καὶ ἀμυνέμεναι ὤρεσσιν, ἢ ἀπὸ τοῦ ὄαρος, ὀάρου, ὄαροι. καὶ κατὰ μεταπλασμὸν, ὄαρες. καὶ ἐπὶ τῶν ἑξῆς.

Περὶ τῶν εἰς ειρ, καταλήξεως δεκάτη.

Εἰς ειρ μονοσύλλαβον θηλυκὸν ἡ χεὶρ ἐστί. κοινὰ δὲ πολυσύλλαβα πολλά. οἷον, ἀντίχειρ. πολύχειρ. ἅτινα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. Ἡ χείρ. τῆς χειρός. τῇ χειρί. τὴν χεῖρα. Τὼ χεῖρε, οὐ τὰ χεῖρε λέγομεν. ὅθεν καὶ Ἀριστοφάνης ἐν Πλούτῳ, ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησα ὑφ' ἡδονῆς. καὶ Φιλόστρατος ἐν ἡρωϊκοῖς, τὼ χεῖρε ἄμφω προτείνας. ὁμοίως καὶ τὼ γυναῖκε, οὐ τὰ γυναῖκε. τὼ ὁδώ. καὶ τούτω τὼ πόλιε, παρὰ Πλάτωνι καὶ Αἰσχίνῃ τῷ σωκρατικῷ. καὶ ἴδετε τώδε τὼ κασιγνήτα, ἀντὶ τάδε τὰ ἀδελφὰ παρὰ Σοφοκλεῖ. καὶ ἄλλα πολλὰ εὑρήσεις ἀρχαίῳ ἔθει οὕτω γινόμενα. ταῖν χεροῖν ὡς ἐπὶ τὸ πλεῖστον. ὦ χεῖρε. αἱ χεῖρες. τῶν χειρῶν. ταῖς χερσί. τὰς χεῖρας. ὦ χεῖρες. παρὰ ποιηταῖς δὲ, κατ' ἔλλειψιν εὑρήσεις χερὸς, χερὶ, χέρα, ὥσπερ ἑτάρος, ἀντὶ ἑταίρος.

Περὶ τῶν εἰς ηρ, καταλήξεως ια.

Τὰ εἰς ηρ θηλυκὰ πολυσύλλαβα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ τρέπουσι τὸ η εἰς ε. οἷον, εἰνάτηρ, εἰνάτερος. δημήτηρ, δημήτερος. θυγάτηρ, θυγατέρος. μήτηρ, μητέρος. γαστὴρ, γαστέρος. πάσχουσι δὲ καὶ συγκοπὴν ἐν τοῖς θηλυκοῖς ταῦτα ἑνικῶς. Ἡ μήτηρ. τῆς μητέρος, καὶ μητρός. τῇ μητέρι, καὶ μητρί. τὴν μητέρα, ὦ μῆτερ. Ἡ δημήτηρ. τῆς δημήτερος, καὶ δήμητρος. τῇ δημήτερι, καὶ δήμητρι. τὴν δημήτερα, καὶ δήμητρα. ὦ δήμητερ. Ἡ θυγάτηρ. τῆς θυγατέρος, καὶ θυγατρός. τῇ θυγατέρι, καὶ θυγατρί. τὴν θυγατέρα, καὶ θύγατρα ποιητικόν. ὦ θύγατερ. τούτων μόνον ἡ κλητικὴ εἰς ερ. Ἡ γαστήρ. τῆς γαστέρος, καὶ γαστρός. τῇ γαστέρι, καὶ γαστρί. τὴν γαστέρα, ὦ γαστήρ. Ἡ δοτικὴ δὲ πληθυντικὴ ἀπὸ τῆς δοτικῆς ἑνικῆς γίνεται, προσθέσει τοῦ ας. οἷον, μητρί, μητράσι. θυγατρί, θυγατράσι.

Περὶ τῶν εἰς ωρ, καταλήξεως ιβ.

Εἰς ωρ κοινὰ ἔχομεν, ἅτινα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ

ἡ ἀπάτωρ, ἀπάτορος. ὁ καὶ ἡ ἀμήτωρ, ἀμήτορος. ὁ καὶ ἡ πανδαμάτωρ, πανδαμάτορος. Περὶ τῶν εἰς ας ὀξυτόνων, κατάληξις ιγ.

Τὰ εἰς ας θηλυκὰ καὶ κοινὰ ὀξύτονα ὄντα, διὰ τοῦ δ κλίνονται, καὶ συστέλλουσι πανταχοῦ τὸ α. οἷον, ἡ μονὰς, τῆς μονάδος. ἡ δυὰς, τῆς δυάδος. ἡ παλλὰς, τῆς παλλάδος. ἡ λαμπὰς, τῆς λαμπάδος. ὁ καὶ ἡ φυγὰς, τῆς φυγάδος. ὁ καὶ ἡ ἀρκὰς, τῆς ἀρκάδος. ἡ κρὰς δὲ τῆς κρατὸς, ἐξαιρεῖται. δύο δὲ μόνα θηλυκὰ βαρύτονα ὀνόματα πόλεων ἔχομεν, ἃ τὴν κλίσιν τῶν ὀνομάτων ἀφ᾽ ὧν ὠνομάσθησαν ἐφύλαξαν. ἡ ἀκράγας, τῆς ἀκράγαντος, πόλις τῆς σικελίας, ἀπὸ τοῦ ἐκεῖσε ποταμοῦ ὀνομασθεῖσα. καὶ ἡ τάρας, τῆς τάραντος. Τὰ εἰς αυς περιττοσύλλαβα ὄντα, μετὰ ἰδιωμάτων κλίνονται. οἷον, ἡ ναῦς, καὶ νηῦς. τῆς ναὸς, καὶ νηὸς, καὶ νεώς. τῇ ναῒ, καὶ νηΐ. τὴν νῆα, καὶ νέα, καὶ ναῦν, καὶ νηῦν. ὦ ναῦ, καὶ νηῦ. αἱ νᾶες, καὶ νῆες, καὶ νέες. τῶν νηῶν, καὶ νεῶν. ταῖς ναυσὶ, καὶ νηυσὶ, καὶ νήεσσι. τὰς νῆας, καὶ ναῦς, καὶ νέας. ὦ νέες, καὶ νῆες. οὕτω καὶ ἡ γραῦς, τῆς γραὸς, καὶ γρηός.

Περὶ τῶν εἰς αις, κατάληξις τεσσαρεσκαιδεκάτη.

Εἰς αις θηλυκὸν μόνον ἡ δαὶς, τῆς δαιτὸς, διὰ τοῦ τος. τὸ δὲ ὁ καὶ ἡ παῖς παιδὸς, ἀπὸ τοῦ πάϊς πάϊδος, καὶ κατὰ συναίρεσιν παῖς. καὶ τὰ ἀπ᾽ αὐτοῦ δὲ ὁμοίως κοινὰ τὸ δ ἔχουσιν. οἷον, ὁ καὶ ἡ εὔπαις, εὔπαιδος. ὁ καὶ ἡ ἄπαις, ἄπαιδος. Περὶ τῶν εἰς ης, κατάληξις ιε.

Τὰ εἰς ης θηλυκὰ μονογενῆ προσθέσει τοῦ τος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι πανταχοῦ τὸ η. οἷον, ἡ ἐσθὴς, τῆς ἐσθῆτος. ἡ ποτὴς, τῆς ποτῆτος. ἡ φιλότης, τῆς φιλότητος. ἡ κακότης, τῆς κακότητος. ἡ πάρνης, τῆς πάρνητος. καὶ τροπῇ τοῦ τ εἰς θ, πάρνηθος. ὅθεν καὶ Ἀριστοφάνης ἐν νεφέλαις, βλέπε νῦν δευρὶ πρὸς τὴν πάρνηθα. ὅτε δὲ εἰσὶ διγενῆ, εἰς ους ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. οἷον, ὁ καὶ ἡ προπετὴς, προπετέος, οῦς. Δεῖ δὲ εἰδέναι ὅτι τέσσαρα τῶν εἰς της ὑπερδισυλλάβων ὀξύνονται. οἷον, ταχυτής. βραδυτής. ἁδροτής. δηϊοτής. τὰ δὲ ἄλλα πάντα, βαρύνονται. οἷον, ποσότης. ποιότης. λογιότης. κουφότης. βραχύτης.

Περὶ τῶν εἰς ις ὀξυτόνων. κατάληξις ἑκκαιδεκάτη.

Τὰ εἰς ις ὀξύτονα θηλυκὰ πολυσύλλαβα, μὴ δικατάληκτα, εἴτε ἐκτείνουσι τὸ ι, εἴτε συστέλλουσι, διὰ τοῦ δ περιττοσυλλάβως κλίνονται. οἷον, κνημὶς, κνημῖδος. κρηπὶς, κρηπῖδος. σφραγὶς, σφραγῖδος. ἀψὶς, ἀψῖδος. ῥανὶς, ῥανίδος. δαῒς, δαΐδος, δαΐδι. καὶ κατὰ ἀποκοπὴν, δαΐ. ὡς, ἐν δαῒ λυγρῇ. ἐξαιρεῖται ἀγλὶς, ἀγλῖθος, τὸ ι μακρόν. Περὶ δὲ τῆς

ποσότητος

τοῦ ι τῶν τοιούτων ὀνομάτων διαφορά τις φαίνεται. οἱ λογιώτεροι
μέχρι ταύτης τῆς δόξης εἰσὶν, ὅτι τὰ εἰς ις ὀξύτονα, θηλυκὰ, δισύλ
λαβα, φύσει μακρᾷ παραληγόμενα, μὴ κύρια ὄντα, μὴ δὲ ὑποκο
ριστικὰ, ἐνθένδε μὲν τῆς ὀνομαστικῆς, τὸ ι βραχὺ ἔχουσιν. ἐνθένδε δὲ τῶν πλα
γίων, μακρόν. ὅθεν καὶ προπερισπῶνται. οἷον, κνημὶς, κνημῖδος. κη
λὶς, κηλῖδος. κληῒς, κληῗδος. κρηπὶς, κρηπῖδος. βαλβὶς, βαλβῖδος.
τὰ δὲ μὴ οὕτως ἔχοντα, βραχὺ πανταχοῦ τὸ ι ἔχουσιν. οἷον, θέμι
δος. μήνιδος. δωρείδος. κορωνίδος. νησίδος. Ἔτι τὰ ὑπὲρ δισύλλα
βα ἐπίθετα, τὸ ι βραχὺ ἔχουσιν, εἴτε μακρᾷ, εἴτε βραχείᾳ παραλή
γονται. οἷον, στρατηγὶς, στρατηγίδος. αὐληζὶς, αὐληζίδος. τότε μὴν
πλοκαμὶς πλοκαμῖδος καὶ ἄλλ' ἄττα, διὰ τὴν ἐπαλληλίαν τῶν
τριῶν βραχέων ἐκτείνουσι τὸ ι. οἱ ποιηταὶ ἢ τούτοις ἢ προστιθέντες,
διὰ τὸ μέτρον συστέλλουσι τὸ ι, ποταμηΐδος, καὶ παγασηΐδος λέγοντες.
ὅθεν καὶ τὸ ἐν ἀργοναυτικοῖς ἐκεῖνο ὀρφικὸν ἔπος, λαιψηροῖς ποδέεσιν
ὑπὲρ παγασηΐδος ἀκτᾶς, ἀντὶ παγασίδος. Ταῦτα δὲ τὰ εἰς ις ὀ
ξύτονα, κοινῶς μὲν εἰς α ποιοῦσι τὴν αἰτιατικήν. οἷον, κρηπῖδα.
σφραγῖδα. βολίδα. ἀψῖδα. ὅταν δὲ εὑρεθῇ αἰτιατικὴ εἰς ιν, αἰολέων
ἐστίν. οἷον, σφράγιν. ἄψιν. ὅθεν καὶ Ἡσίοδος, τρισπίθαμον δ' ἄψιν τάμνειν
δεκαδώρῳ ἀμάξῃ. ἀντὶ ἀψῖδα. Τὰ εἰς ις περισπώμενα θηλυκὰ,
διὰ τοῦ δος ποιοῦσι τὴν γενικὴν, καὶ εἰς ιν τὴν αἰτιατικήν. οἷον, βεν
δῖς, βενδῖδος, βενδῖν. μολῖς, μολῖδος, μολῖν. Τὰ εἰς ις κύρια
βαρύτονα θηλυκὰ, εἴτε εἰς ρις, εἴτε εἰς τις, εἴτε εἰς μις, εἴτε ἄλλο τι
σύμφωνον πρὸ τοῦ ις ἔχουσι, κοινῶς εἰς δος ποιοῦσι τὴν γενικήν.
οἷον, κύπρις, κύπριδος. θέτις, θέτιδος. θέμις, θέμιδος. μέμφις,
μέμφιδος. ἰωνικῶς δὲ, εἰς ος. ἐξαιρεῖται δὲ ταῦτα τὰ κύρια, καὶ
μή. χάρυβδις, χαρύβδιος. σάρδις, σάρδιος. ζάλλις, ζάλλιος. σκῆψις,
σκήψιος. ἐπίσκηψις, ἐπισκήψιος. λάχουσις, λαχούσιος. νέμεσις, νεμέ
σιος. ἐπίκτησις, ἐπικτήσιος. ξόϊς, ξόϊος. ἄθλιβις, ἀθλίβιος. σόϊς,
σόϊος. δμωῒς, δμωΐος. ταμιάθις, ταμιάθιος. Ἔτι τὰ παρὰ τὸ πό
λις σύνθετα θηλυκὰ, μόνως τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν. οἷον,
ἡ ἀκρόπολις, τῆς ἀκροπόλιος. Τὰ εἰς νις θηλυκὰ βαρύτονα, εἰ
μὲν μακρᾷ παραλήγουσι, διὰ τοῦ δ κλίνονται. οἷον, νεᾶνις, νεάνιδος.
ὀνῶνις, ὀνώνιδος. μῆνις, μήνιδος. τὸ δὲ ἐν τῷ γ τῆς ὀδυσσείας τοῦ
ποιητοῦ, μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης, ἰωνικόν ἐστιν,
ὥσπερ θέτιος, καὶ μέμφιος. εἰ δὲ βραχείᾳ παραλήγουσι, διὰ καθα
ροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, κόνις, κόνιος. σπάνις, σπά

νιος. ὁ καὶ ἡ ὄρνις, ὄρνιθος κοινῶς. τὰ γὰρ πρὸ τοῦ ις δύο ἀμετάβο-
λα ἔχοντα, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, μέρμις, μέρμιθος.
δάλλις, δάλλιθος. ἐξαιρεῖται ζάλλις, ζάλλιος. ὄρνιξ δὲ ὄρνιχος, δω-
ρικόν. ὅθεν καὶ ὁ δεινὸς Πίνδαρος δωρικὸς ὢν τὰ πολλά, Διὸς πρὸς
ὄρνιχα θεῖον εἴρηκε. Τὰ εἰς ις θηλυκά, διὰ τοῦ δος ποιοῦσι τὴν
γενικήν. οἷον, ἔρις, ἔριδος. κίθαρις, κιθάριδος. ἶρις, ἴριδος. χάρις,
χάριδος, καὶ χάριτος, καὶ χάρισος ποιητικῶς. ὁμοίως καὶ θέμις,
θέμιδος, καὶ θέμιτος, καὶ θέμισος. ὅθεν καὶ Ἡσίοδος, Δίκῃ δ' ἴθυνε
θέμιστας. ἐξαιρεῖται ὕβρις, ὕβριος. ἄκρις, ἄκριος. γῆρις, γήριος, καὶ
τὰ ἀπ' αὐτοῦ, πανήγυρις, πανηγύριος. ὁ μήγυρις, ὁμηγύριος. κίσ-
σηρις, κισσήριος. Τὰ εἰς ις θηλυκὰ ἀπὸ τῶν εἰς της ἀρσενικῶν γι-
νόμενα, τὸ δ ἔχουσιν. οἷον, ὁ τοξότης, ἡ τοξότις, τῆς τοξότιδος. ὁ πο-
λίτης, ἡ πολῖτις, τῆς πολίτιδος. ὁ δεσπότης, ἡ δέσποτις, τῆς δεσπότιδος.
ὁ σπαρτιάτης, ἡ σπαρτιάτις, τῆς σπαρτιάτιδος. ὁ κυνηγέτης, ἡ κυνη-
γέτις, τῆς κυνηγέτιδος. δέχονται δὲ πάντα τὰ θηλυκὰ τὸν τόνον ἐν
τῇ παραληγούσῃ, πλὴν τῶν ἀπὸ τοῦ πωλῶ καὶ κοίτη συντεθειμέ-
νων. ταῦτα γὰρ προπαροξύνονται, τῶν ἰδίων ἀρσενικῶν παροξυ-
νομένων. οἷον, ὁ ἀρτοπώλης, ἡ ἀρτόπωλις. ὁ λαχανοπώλης, ἡ λα-
χανόπωλις. ὁ ἀκοίτης, ἡ ἄκοιτις, καὶ παράκοιτις. Τούτων ἡ γε-
νικὴ ὅταν εὑρεθῇ διὰ τοῦ ος, ἰωνική ἐστιν, ὡς εἴρηται. καὶ ἡ δοτικὴ ὁμοίως,
πάσχουσα καὶ ἀποκοπήν. οἷον, θέτι, ἀντὶ θέτιδι. καὶ ζόπι, ἀντὶ ζό-
πιδι. ὅθεν καὶ τὸ ὀρφικὸν ἐκεῖνο ἐν ἀργοναυτικοῖς, Αἵ οἱ ὑπὸ ζόπι
κεῖντο μιᾶς σχοίνοιο ταθεῖσαι, ἀντὶ ζόπιδι διὰ τὸ μέτρον. καὶ παρ'
Ἡσιόδῳ ἐν ἀσπίδι, Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παράκοιτι, ἀντὶ
παρακοίτιδι. περὶ δὲ τῆς αἰτιατικῆς τούτων, ἔνιοι φασὶν ὅτι τὰ εἰς
ις διὰ τοῦ δ κλινόμενα κοινῶς, εἰς ιν ποιοῦσι τὴν αἰτιατικήν.
οἷον, μῆνις, μήνιδος, μῆνιν. ὅθεν καὶ ὁ ποιητής, Μῆνιν ἄειδε θεά. χρυ-
σόθεμις, χρυσοθέμιδος, χρυσόθεμιν. ὅταν δὲ εὑρεθῇ εἰς α, ποιητική
ἐστιν. οἷον, Ζεὺς δ' ἔριδα προΐαλε. καὶ ἤλιδα δῖαν.

Περὶ τῶν εἰς εις, κατάληξις ἑπτακαιδεκάτη.

Τὰ εἰς εις θηλυκὰ πολυσύλλαβα σπάνια ὄντα, ὁμοίως τοῖς ἀρ-
σενικοῖς κλίνονται. οἷον, ἡ ὀπόεις, τῆς ὀπόεντος, πόλις. ὅθεν, τρηχεῖνα
ὀπόεντα λιπών, ὁ Ὀρφεὺς εἴρηκε. καὶ Ὅμηρος ἐν τῷ σ τῆς Ἰλιάδος,
φὴν δέ οἱ εἰς ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν. σεσημείωται δὲ ἡ
κλεὶς, τῆς κλειδὸς, τὴν κλεῖδα, καὶ κλεῖν ἀμείνον. ὅθεν καὶ ὁ δημο-
σθένης τὴν κλεῖν κατεαγότα εἴρηκε. καὶ ἔτι ἀντήρεις ἀντήρειδος.

Περὶ τῶν εἰς ους, κατάληξις ὀκτωκαιδεκάτη.

Τὰ εἰς ους θηλυκὰ ὀνόματα πόλεων, περιττοσυλλάβως κλίνονται ὁμοίως τοῖς ἀρσενικοῖς, εἰ μὴ ἑβραϊκὰ εἴησαν. οἷον, ἡ ὀποῦς, τῆς ὀποῦντος. ὁ καὶ ἡ ἀνθεμοῦς, τῆς ἀνθεμοῦντος. ἡ τραπεζοῦς, τῆς τραπεζοῦντος. ἡ κερασοῦς, τῆς κερασοῦντος. Τὰ εἰς ος πάντα θηλυκὰ ἰσοσύλλαβα ὄντα, εἰς ου ποιοῦσι τὴν γενικήν, ὡς εἴρηται.

Περὶ τῶν εἰς υς βαρυτόνων, κατάληξις ἐννεακαιδεκάτη.

Τὰ εἰς υς θηλυκὰ βαρύτονα πανταχοῦ τὸ υ βραχὺ ἔχοντα, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, πίτυς, πίτυος. χέλυς, χέλυος. γένυς, γένυος. ἀμάμαξυς, ἀμαμάξυος, καὶ ἀμαμάξυδος παραλόγως ἡ Σαπφὼ ὥς φασιν εἴρηκεν. ἐξαιρεῖται κῶμυς, κώμυθος, καὶ κόρυς, κόρυθος, διὰ τοῦ θος ποιοῦντα τὴν γενικήν. καὶ τῆς μὲν κώμυθος τὸ μυ, ἐκτείνεται ἐν ταῖς πλαγίαις κατὰ τὸν κανόνα. πᾶσα γὰρ γενικὴ εἰς θος, μακροπαραληκτεῖ. οἷον, ὄρνιθος. μόρμυθος. δέλλιθος. ἐπιβεβαιοῖ μέντοι καὶ τὸ ἐν πέμπτῳ εἰδυλλίῳ τοῦ Θεοκρίτου ἔπος, καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι. μακρὸν γὰρ τὸ μυ, τοῦ πέμπτου δακτύλου ὄντος. τῆς δὲ κόρυθος συστέλλεται, ὡς πολλάκις ζητῶν εὑρήσεις παρὰ ποιηταῖς. καὶ ἐν τῷ ε τῆς ἰλιάδος τοῦ ποιητοῦ, Δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ. Τὰ δὲ διὰ καθαροῦ τοῦ ος κλινόμενα, κοινῶς εἰς ν μόνον ποιοῦσι τὴν αἰτιατικήν. οἷον, πίτυος, πίτυν. χέλυος, χέλυν, εἰ μὴ ποιητικῇ ἀδείᾳ εὑρήσεις εἰς α.

Περὶ τῶν εἰς υς ὀξυτόνων.

Τὰ εἰς υς ὀξύτονα θηλυκὰ συνεσταλμένον τὸ υ ἔχοντα, διὰ τοῦ δος κλίνονται, καὶ εἰς δα μόνον ποιοῦσι τὴν αἰτιατικήν. οἷον, χλαμύς, χλαμύδος, χλαμύδα. πηλαμύς, πηλαμύδος, πηλαμύδα. κροκύς, κροκύδος, κροκύδα. Τὰ δὲ ὀξύτονα καὶ περισπώμενα, ἔχοντα μὲν τὸ υ μόνον μακρὸν ἐν τῇ ὀνομαστικῇ, ἐν δὲ ταῖς πλαγίαις βραχύ, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, νηδύς, νηδύος. ὀϊζύς, ὀϊζύος. ἐριννύς, ἐριννύος. τηθύς, τηθύος. ἐδητύς, ἐδητύος. δρῦς, δρυός. ὀφρῦς, ὀφρύος. ἐξαιρεῖται ἀγλύς, ἀγλῦθος, ὁ περιφερὴς καὶ τετυπημένος λίθος. καὶ ταῦτα δὲ κοινῶς εἰς υν ποιοῦσι τὴν αἰτιατικήν. οἷον, ὀϊζύν. ἐριννύν. δρῦν. ὀφρύν. σπανίως δὲ εὑρήσεις παρὰ ποιηταῖς νηδύα, καὶ δρύα, ὡς παρὰ τῷ ὁμηρικῷ Κοΐντῳ ἐσημειωσάμην λέγοντι, Κάππεσεν εὖτ᾽ ἐν ὄρεσσι περὶ στερεὴν δρύα θάμνος.

Ἔτι εὕρηται καὶ νῆλυς συστελλόμενον, καὶ ἄλλ' ἄττα ὅμοια.

Περὶ τῶν ἐχόντων δύο σύμφωνα.

Τὰ ἔχοντα δύο σύμφωνα θηλυκὰ, σπάνιά εἰσι. καὶ εἰ μὲν ἔχουσι πρὸ αὐτῶν α, εἰς τος ποιοῦσι τὴν γενικὴν, ὡς προείρηται. οἷον, ἡ δάμαρς παλαιὸν, δάμαρτος. ἡ ἅλς δὲ, ἁλὸς, ἁλὶ, ἅλα, ἐξαιρεῖται. εἰ δὲ μὴ ἔχουσιν α, εἰς θος ποιοῦσιν. οἷον, τίρυνς, τίρυνθος, πόλις.

Περὶ τῶν εἰς ως, κατάληξις εἰκοστή.

Τὰ εἰς ως θηλυκὰ, καὶ κοινὰ, βαρύτονα, καὶ περισπώμενα, καὶ προπαροξύτονα ἀττικὰ, εἰς ω ποιοῦσι τὴν γενικὴν, ὡς εἴρηται. οἷον, ἡ ἅλως. ἡ ἕως. ἡ κέως. ἡ κῶς. ὁ καὶ ἡ εὔκερως. ὧν τρεῖς αἰτιατικὰς εὑρήσεις χωρὶς ν. ἕω. κῶ. κέω. Δύο δὲ ὀξύτονα θηλυκὰ εὑρίσκονται κατὰ κρᾶσιν εἰς ους ποιοῦντα τὴν γενικήν. οἷον, ἡ αἰδὼς, τῆς αἰδόος, οῦς. ἡ ἠὼς, τῆς ἠόος, οῦς. Ἡ δὲ Ἡσιόδου Δὼς δ' ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, ἄκλιτος.

Περὶ τῶν εἰς ψ, κατάληξις εἰκοστὴ πρώτη.

Τὰ εἰς ψ θηλυκὰ, ἢ τὸ π ἔχουσιν ἐν τοῖς πλαγίοις, ὡς εἴρηται ἐν τοῖς ἀρσενικοῖς, οἷον, ἡ ὤψ, τῆς ὀπὸς, ἡ φωνή. ἡ λαῖλαψ, τῆς λαίλαπος, ἢ τὸ β, οἷον, ἡ φλὲψ, τῆς φλεβός. χέρνιψ, χέρνιβος. ἢ τὸ φ. οἷον, κίνυψ, κίνυφος.

Περὶ τῶν καταλήξεων τῶν οὐδετέρων ὀνομάτων.

Τμῆμα πέμπτον.

ΤΟΥ'των οὕτως εἰρημένων, ἑπόμενον ἂν εἴη καὶ περὶ τῶν καταλήξεων τῶν οὐδετέρων ὀνομάτων διαλαβεῖν. ὧν τελικὰ ἕξ εἰσίν. α. ι. υ. ν. ρ. σ. οἷον, τὸ βῆμα. τὸ μέλι. τὸ πῶϋ. τὸ ξύλον. τὸ ὕδωρ. τὸ δέπας. τὸ δὲ ἐκεῖνο, καὶ τοῦτο, καὶ αὐτὸ, καὶ ἄλλο, καὶ τοιοῦτο, καὶ τοσοῦτο, καὶ τηλικοῦτο, ἀπέβαλον τὸ ν ἔθει ἀττικῷ. εὑρίσκονται μέντοι καὶ μετὰ τοῦ ν. διὸ οὐκ ἔστι τὸ ο τελικὸν οὐδετέρου ὀνόματος.

Περὶ τῶν εἰς α οὐδετέρων, κατάληξις πρώτη.

Τὰ εἰς α οὐδέτερα συνεσταλμένον ἔχουσι τὸ α. καὶ περιττοσυλλαβοῦντα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ βῆμα, τοῦ βήματος. τὸ κῦμα, τοῦ κύματος. τὸ δῶμα, τοῦ δώματος. πᾶν δὲ οὐδέτερον μονογενὲς εἰς α, πρὸ τοῦ α μ ἔχει. οἷον, βῆμα. γράμμα. ποίημα. τὸ γὰρ μέγα, τριγενὲς, καὶ ἑτερόκλιτον. τὸ μέγα. τοῦ μεγάλου. τῷ μεγάλῳ. τὸ μέγα. τὸ δὲ κάρα πεπονθὸς, ἀπὸ τοῦ κάρηνον γεγονός. ὅθεν καὶ τὸ α μακρὸν ἔχει. ἔστι δὲ καὶ ἑτερόκλιτον. τὸ κάρα. τοῦ κρατός. τῷ κρατί. τὸ κάρα. καὶ ἡ κράς. τῆς κρατός. τῇ κρατί. τὴν κάρα.

κέρα. καὶ ἡ κέρμα. τῆς κέρας. τῇ κέρᾳ. τὴν κέραν, ὡς ἐπὶ τὸ πλεῖστον
παρὰ τοῖς ἐκκλησιαστικοῖς. καὶ τὸ πάσχα δὲ ἄκλιτον, ἀλλότριον ὄν. Ση
μειώσῃ δὲ καὶ τὰ δοκοῦντα τελικὰ οὐδετέρων ὀνομάτων, πεπονθότα
δὲ ἀποκοπήν. οἷον, λίπ' ἐλαίῳ, ἀντὶ λιπαρῷ ἐλαίῳ. νίφα, ἀντὶ νι
φάδα. σκέπα, ἀντὶ σκέπασμα. ὕφα, ἀντὶ ὕφασμα. ἄλφα, ἀντὶ ἄ
λφαρ. γάλα, ἀπὸ τοῦ γάλαξ. ὅθεν γάλακος. καὶ πλεονασμῷ τοῦ κ,
γάλακτος.

Τὸ βῆμα. ἡ γενική, τοῦ βήματος. τὰ γὰρ εἰς μα προσθέσει τοῦ
τος ποιοῦσι τὴν γενικήν. οἷον, βῆμα, βήματος. δῶμα, δώματος.
τὸ δὲ χαλκοβατὲς δῶ, κατὰ ἀποκοπὴν ἐγένετο. τῷ βήματι, ἀπὸ
τῆς γενικῆς, τροπῇ τοῦ ος εἰς ι. τὸ βῆμα, ὦ βῆμα. τὼ βήματε, ὦ
βήματε, ἀπὸ τῆς δοτικῆς ἑνικῆς τροπῇ τοῦ ι εἰς ε. τοῖν βημάτοιν, ἀπὸ
τῆς ὀνομαστικῆς δυϊκῆς τροπῇ τοῦ ε εἰς οιν. τὰ βήματα, τὰ βήμα
τα, ὦ βήματα, τοῦ τα βραχὺ ὄντος. τῶν βημάτων κοινῶς. τοῖς βή
μασιν, ἀπὸ τῆς ἑνικῆς δοτικῆς τροπῇ τοῦ τ εἰς σ. καὶ βημάτεσσιν ἰω
νικῶς, ἀπὸ τῆς γενικῆς τροπῇ τοῦ ο εἰς ε, καὶ προσθέσει σι. οἷον, βή
ματος, βημάτεσσι. γράμματος, γραμμάτεσσιν. ἔπεος, ἐπέεσσιν. ἀ
ληθέος, ἀληθέεσσι.

Περὶ τῶν εἰς ι οὐδετέρων, κατάληξις δευτέρα.

Τὰ εἰς ι οὐδέτερα μονογενῆ, εἰς τος ποιοῦσι τὴν γενικήν, καὶ
βραχὺ τὸ ι ἔχουσιν. οἷον, τὸ μέλι, τοῦ μέλιτος. καὶ τὰ ἐξ αὐτοῦ ὁμοίως.
οἷον, ὀξύμελι, ὀξυμέλιτος. οἰνόμελι, οἰνομέλιτος. τὰ γὰρ οὐδέτερα τῶν εἰς
ις κοινῶν, τὴν τῶν ἰδίων φυλάττουσι κλίσιν. οἷον, τὸ φιλόπατρι, φιλοπάτρι
δος, ὅτι ὁ καὶ ἡ φιλόπατρις, φιλοπάτριδος. τὸ φυγόπολι, τοῦ φυγοπό
λιος, ὅτι ὁ καὶ ἡ φυγόπολις, φυγοπόλιος. ὁμοίως καὶ τὶς τινός, ὅτι και
τὸ τίς. τινός. τινί. τινά. τινές. τινῶν. τισί. τινὰς ὀξυτόνως, ὅτε ἀόριστόν
ἐστι. τίς δέ, τίνος. τίνι. τίνα. τίνες. τίνων. τίσι. τίνας βαρυτόνως,
ὅτε ἐρωτηματικόν ἐστιν. ὁμοίως καὶ τὰ οὐδέτερα. τὸ πέπερι γάρ, καὶ σί
νηπι, καὶ κίκι, καὶ κόμμι, καὶ κινάβαρι, καὶ στίμμι, βαρβαρικά εἰσι,
καὶ τὴν διὰ τοῦ ιος κοινῶς, καὶ εος ἰωνικῶς, καὶ εως ἀττικῶς ἔλα
χον κλίσιν. ὧν τὸ σίνηπι παράδειγμα ἐν τῇ δευτέρᾳ τῶν συνῃρημέ-
νων ἔσται. Σημειώσῃ δὲ καὶ τὰ ἀποκοπὴν πεπονθότα. οἷον, ἄλφι, ἀντὶ
ἄλφιτον. ἔρι, ἀντὶ ἔριον. τρόφι, ἀντὶ τρόφιμον. κρῖ λευκὸν ἐρεπτόμε
νοι καὶ ὀλύρας, ἀντὶ κρίμνον λευκόν.

Περὶ τῶν εἰς υ, κατάληξις τρίτη.

Τὰ εἰς υ λήγοντα οὐδέτερα, βραχὺ τὸ υ πανταχοῦ ἔχοντα, εἰ

μὲν μακρᾷ παραλήγουσι, διὰ τοῦ εος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ πῶϋ, τοῦ πώεος. τὸ ἄστυ, τοῦ ἄστεος. ἐξαιρεῖται τὸ νᾶπυ, τοῦ νάπυος, καὶ παρὰ μακρὸν τὸ να ἔχον. εἰ δὲ βραχείᾳ παραλήγουσι, διὰ τοῦ υος κλίνονται. οἷον, τὸ γόνυ, τοῦ γόνυος. καὶ κατὰ μετάθεσιν, γουνός. καὶ τὸ γούνας, τοῦ γούνατος. ὅθεν καὶ γούνατα. τὸ δόρυ, τοῦ δόρυος. καὶ κατὰ μετάθεσιν, δουρός. καὶ τὸ δόρας, τοῦ δόρατος. ὅθεν καὶ τὸ δούρας, τοῦ δούρατος. ἐξ οὗ τὰ δούρατα. καὶ τὸ δόρος, τοῦ δόρεος, καὶ δόρους. τῷ δόρεϊ, δ. ὅθεν καὶ τὸ ἀριστοφάνειον ἐκεῖνο σεσημειωμένον. σὺν δορὶ καὶ σὺν ἀσπίδι. τὰ δὲ οὐδέτερα τῶν τριγενῶν ἐπιθέτων, τὴν τῶν ἀρσενικῶν φυλάττουσι κλίσιν. οἷον, τὸ ἡδὺ, τοῦ ἡδέος. τὸ ὠκὺ, τοῦ ὠκέος. τὸ ἥμισυ, τοῦ ἡμίσεος. τὸ δὲ ἡσιόδειον, γλάφυ πέτρης ἀντὶ τοῦ γλαφυρὸν, κατὰ ἀποκοπὴν ἐγένετο. καὶ ταῦτα μὲν περὶ τῶν τελικὰ φωνήεντα ἐχόντων οὐδετέρων. νῦν δὲ καὶ περὶ τῶν σύμφωνα ἐχόντων λέγωμεν, καὶ πρῶτον περὶ τῶν ν πάντων.

Τὰ εἰς αν οὐδέτερα ἐπίθετα ὄντα, κατὰ τὴν κλίσιν τῶν ἰδίων ἀρσενικῶν κλίνονται. οἷον, τὸ πᾶν, τοῦ παντὸς, ὅτι ὁ πᾶς, τοῦ παντός. τὸ μέλαν, τοῦ μέλανος, ὅτι ὁ μέλας, τοῦ μέλανος. Ἔτι τὰ μετοχικά. οἷον, τὸ τύψαν, τοῦ τύψαντος. Ἔτι τὰ εἰς εν πάντα ἐπιθετικὰ, καὶ μετοχικά. οἷον, τὸ χαρίεν, τοῦ χαρίεντος. τὸ τέρεν, τοῦ τέρενος. τὸ τυφθὲν, τοῦ τυφθέντος. τὸ τιθὲν, τοῦ τιθέντος. τὸ ζευγνῦν, τοῦ ζευγνῦντος. Ἔτι τὰ εἰς ουν. οἷον, τὸ δίπουν, τοῦ δίποδος. τὸ τυποῦν, τοῦ τυποῦντος. τὸ χρυσοῦν, τοῦ χρυσοῦντος. πλὴν τῶν ἰσοσυλλάβων συνῃρημένων. οἷον, τὸ ὀστοῦν, ἀπὸ τοῦ ὀστέον. τὸ κανοῦν. τὸ χρυσοῦν. τὸ ἀργυροῦν. τὸ χαλκοῦν. τὸ σιδηροῦν. τὸ μολιβδοῦν. ἃ ἰδίαν ἔλαχον κλίσιν. οἷον, τὸ χρυσόον, οῦν. τοῦ χρυσόου, οῦ. τῷ χρυσόῳ, ῷ. τὸ χρυσόον, οῦν. τὰ χρυσόα, ᾶ. τῶν χρυσόων, ῶν. τοῖς χρυσόοις, οῖς. τὰ χρυσόα, ᾶ. οὕτω καὶ ἁπλοῦν. καὶ διπλοῦν. καὶ τριπλοῦν. καὶ τετραπλοῦν.

Τὰ εἰς ον πάντα οὐδέτερα ἰσοσυλλάβως, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, τὸ καλὸν, τοῦ καλοῦ. πλὴν τῶν σεσημειωμένων ἐν τῇ τετάρτῃ ἁπλῇ κλίσει. τὸ πλεῖον δὲ ὅτε ἁπλοῦν ἐστι, πλείου ποιεῖ. ὅτε δὲ συγκριτικὸν, πλείονος. ἔτι καὶ τὸ ἄρειον, ἀρείου, καὶ τὸ ἄρειον, τοῦ ἀρείονος. Τὰ εἰς ων ἀττικὰ οὐδέτερα ἔκτασιν πεπονθότα, ἀπὸ τῶν εἰς ον κοινῶν εἰς ω ποιοῦσι τὴν γενικὴν ἀττικῶς, ὡς προείρηται. τὰ δὲ εἰς ων μετοχικὰ συνῃρημένα, περιττοσυλλάβως κλίνονται. οἷον, τὸ βοῶν, τοῦ βοῶντος. Τὰ εἰς αρ οὐδέτερα ὑπὲρ δισύλλαβα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, δέλεαρ, δελέατος. ὄνειαρ, ὀνείατος. ἄλειφαρ,

ἀλείφατος. κάρηαρ, καρήατος. ὅθεν καρήατα πολλάκις παρὰ τοῖς ἄλλοις εὑρήσεις, καὶ παρ' Ἀράτῳ. καρήατα δ' αὐτὸς ἀγινεῖ. καὶ κάρητος κατὰ συγκοπὴν, ἀπὸ τοῦ καρήατος. Τῶν δὲ δισυλλάβων τὰ μὲν φύσει μακρᾷ παραλήγοντα, εἰς τος ὁμοίως ποιοῦσι τὴν γενικήν. οἷον, ἦμαρ, ἤματος. εἶδαρ, εἴδατος. ἧπαρ, ἥπατος. οὖθαρ, οὔθατος. τὰ δὲ βραχείᾳ ἢ θέσει μακρᾷ, εἰς ρος ποιοῦσι τὴν γενικήν. οἷον, ὕπαρ, ὕπαρος. θέναρ, θέναρος. νέκταρ, νέκταρος. ἄλκαρ, ἄλκαρος. σεσημείωται τὸ φρέαρ τοῦ φρέατος, καὶ στέαρ στέατος, ἅπερ στεῖαρ καὶ φρεῖαρ ἦσαν. ὅθεν καὶ φρείατα μακρά. ἢ ὅτι τὰ εἰς αρ φυλάττοντα τὸ ρ ἐν ταῖς πλαγίαις, ἑτερόκλιτά εἰσιν. οἷον, φρέαρ, φρέατος, ἀπὸ τοῦ φρέας. στέαρ, στέατος, ἀπὸ τοῦ στέας. δέλεαρ, δελέατος, ἀπὸ τοῦ δέλεας. ἧπαρ, ἥπατος, ἀπὸ τοῦ ἧπας. τὸ ὄναρ δὲ ἄκλιτον. ὅθεν καὶ Συνέσιος ἐν τῷ περὶ ἐνυπνίων, εἰ δὲ εἰσὶν ὕπνοι προφῆται, καὶ τὰ ὄναρ θεάματα τοῖς ἀνθρώποις ὀρέγουσιν. Ἔτι τὰ εἰς αρ παραληγόμενα τῷ ω μεγάλῳ ὥς φησιν ὁ πολυμαθὴς Ἡρωδιανὸς, ἄκλιτά εἰσιν. οἷον, μῶμαρ. βῶκαρ. νῶκαρ. πάντα δὲ τὰ εἰς αρ, βραχὺ τὸ α ἔχουσι πανταχοῦ. Τὰ εἰς ηρ σπανιώτατα ὄντα, ἀπὸ τῶν εἰς αρ κατὰ κρᾶσιν γινόμενα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ κῆρ, τοῦ κηρὸς, ἀπὸ τοῦ κέαρ, κέαρος. τὸ ἦρ, τοῦ ἦρος, ἀπὸ τοῦ ἔαρ, ἔαρος. στῆρ, στηρὸς, ἀπὸ τοῦ στέαρ, στέαρος. ὅθεν καὶ ἡ ὀνομαστικὴ περισπᾶται. Καὶ τὰ εἰς υρ σπανιώτατα, ἅτινα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ πῦρ, τοῦ πυρός. τούτου δὲ τὸ δίχρονον ἐν τῇ ὀνομαστικῇ μόνῃ ἐκτείνεται. ἐν δὲ ταῖς πλαγίαις, συστέλλεται. Τὰ εἰς ωρ οὐδέτερα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, τὸ ἔλωρ, τοῦ ἔλωρος. τὸ τέκμωρ, τοῦ τέκμωρος. τὸ δὲ ἀεισοφαύδον μεμαγμένον σκῶρ ἐσθίειν, ἑτερόκλιτον. σκατὸς γὰρ, σκατὶ, ἀπὸ τῆς σκὰς ὀνομαστικῆς. καὶ τὸ ὕδωρ δὲ ὕδατος ἑτερόκλιτον, ἀπὸ τοῦ ὕδας. ἔστι δὴ τὸ νῦν εὔχρηστον, τὸ ὕδωρ. τοῦ ὕδατος. τῷ ὕδατι. τὸ ὕδωρ. τὰ ὕδατα. τῶν ὑδάτων. τοῖς ὕδασι. τὰ ὕδατα. ἀπὸ τοῦ, τὸ ὕδας, τοῦ ὕδατος. τὸ γὰρ ὕδωρ, ὕδωρος ὤφελε ποιεῖν. ἔστι δὲ παρὰ ποιηταῖς καὶ τὸ ὕδος, τοῦ ὕδεος, καὶ ὕδους. ὅθεν καὶ Καλλίμαχος, ἔστιν ὕδος καὶ γαῖα. τῷ ὕδει, καὶ ὕδει. ὅθεν τὸ τοῦ Ἡσιόδου, γαῖαν ὕδει φύρειν. τὸ ὕδωρ δὲ ἐν μόνῃ τῇ ὀνομαστικῇ ἐκτείνει τὸ δίχρονον. ἐν δὲ ταῖς πλαγίαις, συστέλλει. Σημειώσαι

δὲ καὶ τοῦτο ὅπερ λανθάνει πολλούς, ὅτι τὰ εἰς ωρ πάντα, διὰ τοῦ ω μεγάλου γράφονται. πλὴν τοῦ ἀόρ. κέλορ. ἄορ. ἦτορ. ὅθεν καὶ τὰ ἀπ' αὐτῶν μόνα σύνθετα διὰ τοῦ ο μικροῦ γράφονται. οἷον, χρυσάορ. μεγαλήτορ. ἔνιοι δὲ καί τινα ἑβραϊκὰ ἄκλιτα ἐσημειώσαντο διὰ τοῦ ο μικροῦ γραφόμενα. οἷον, ναβουχοδονόσορ. βοσόρ. βομόρ. χολογοδόμορ. καὶ ταῦτα μὲν περὶ τῶν εἰς ρ. νῦν δὲ περὶ τῶν εἰς σ λέγωμεν. Τὰ εἰς ασ οὐδέτερα βραχὺ τὸ ασ ἔχοντα πανταχοῦ, εἰ μὲν ἔχουσι τὸ ασ καθαρὸν, ἢ μετὰ τοῦ ρ, εἰς τοσ ποιοῦσι τὴν γενικὴν κοινῶς, καὶ εἰς αος ἰωνικῶς, καὶ εἰς ως ἀττικῶσ. οἷον, τὸ κρέασ, τοῦ κρέατος. τὸ γῆρασ, τοῦ γήρατος. περὶ ὧν ἐν τῇ πέμπτῃ τῶν συνῃρημένων ἐροῦμεν. Καὶ τὰ εἰς λας δὲ εἰς ατοσ ποιοῦσι τὴν γενικήν. οἷον, τὸ ἅλας, τοῦ ἅλατος. τὸ ἐρυσίπελασ, τοῦ ἐρυσιπέλατος. εἰ δὲ πρὸ τοῦ ασ ἄλλο σύμφωνον ἔχουσιν, ἄκλιτά εἰσιν. οἷον, τὸ δέμασ. τὸ σέλας. βρέτας. λέπασ. δέπας. εἰ μή που ποιητικῇ ἀδείᾳ, ὡς τὸ ὁμήρειον ἐκεῖνο, χρυσείοις δεπάεσσιν ἰωνικῶσ, ἀντὶ δέπασιν. Εἰσ αυς οὐδέτερον ἓν ἔχομεν, τὸ σταῦς, τοῦ σταυτὸς, τὸ ἄλευρον. Τὰ εἰσ ες ἐπιθετικὰ ὄντα, τὴν τῶν ἰδίων ἀρσενικῶν φυλάττουσι κλίσιν. οἷον, τὸ εὐγενὲς, τοῦ εὐγενέος, οῦσ. Τὰ εἰσ ος οὐδέτερα συνῃρημένα ὄντα, εἰσ ουσ κατὰ κρᾶσιν ποιοῦσι τὴν γενικήν. οἷον, τὸ τέλος, τοῦ τέλεος, ους. ὧν ὁ σχηματισμὸσ ἐν τῇ πρώτῃ τῶν συνῃρημένων λελέξεται. Σημειωτέον δὲ τὸ ὄφελοσ, καὶ τὸ ἦδος, ἄκλιτα. τὰ δὲ εἰς οσ μετοχικὰ, περιττοσυλλάβως κλίνονται. οἷον, τὸ τετυφὸσ, τοῦ τετυφότος. Εἰς ως οὐδέτερα δύο εἰσὶ περισπώμενα, ἅπερ διὰ τοῦ τος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ φῶς, τοῦ φωτός. τὸ ὦσ, τοῦ ὠτός. ὅθεν τὸ ὠτίον, τοῦ ὠτίου. τὸ δὲ χρέως τοῦ χρέω, ἀττικόν. Εἰσ ουσ οὐδέτερον τὸ οὖσ ἔχομεν ἄκλιτον. ἔστι δὲ καὶ τὸ οὖασ, τοῦ οὔατοσ. ὅθεν καὶ οὔατα. Περὶ μὲν οὖν τῶν ἁπλῶν κλίσεων, καὶ σχηματισμοῦ τῶν πτώσεων αὐτῶν, καὶ καταλήξεων τῶν γενῶν, ὡσ οἷόν τε ἡμῖν ἐν τῷ παρόντι δυστυχεστάτῳ καιρῷ εἴρηται. ἑπόμενον δ' ἂν εἴη νῦν καὶ περὶ τῶν συνῃρημένων κλίσεων διαλαβεῖν, ἵνα τὸ περὶ ὀνόματοσ τέλος σχοίη.

Περὶ τῶν πέντε κλίσεων τῶν συνῃρημένων ὀνομάτων.

Τμῆμα ἕκτον.

Τῶν ὀνομάτων ὡσ εἴρηται, τὰ μὲν, ἁπλᾶ καὶ ἀπαθῆ καλοῦνται, ὅσα μὴ ἐπιδέχονται πάθοσ, συναίρεσιν λέγω, καὶ κρᾶσιν. τὰ δὲ, συνῃρημένα, καὶ ἐμπαθῆ, ὅσα τὸ πάθος ἐπιδέχονται. τούτων δὲ τὰ μὲν, καλοῦνται ὁλοπαθῆ, ὅσα ἰσοσύλλαβα ὄντα, τὸ πάθος ἐν πάσαις

ταῖς πτώσεσιν ἐπιδέχονται, ὡς τὰ εἰς οος. οἷον, νόος, νοῦς. περὶ ὧν εἴρηται. τὰ δὲ, ὀλιγοπαθῆ, καὶ πολυπαθῆ, ὅσα περιττοσυλλαβοῦντα, ἐν ὀλίγαις ἢ πλείοσι πτώσεσι τὸ πάθος δέχονται, ὡς τὰ εἰς υς, καὶ εἰς ους. περὶ ὧν εἴρηται. χωρὶς δὲ τούτων, εἰσὶν ἃ περιττοσυλλαβοῦντα ἁπλῶς, συναίρεσιν καὶ κρᾶσιν ἐπιδέχονται, καί τινα ἰδιώματα. ὅθεν καὶ συνῃρημένα ἰδίως προσηγορεύθησαν. διαιροῦνται δὲ εἰς πολυπαθῆ, ὅσα ἐν πλείοσι ταῖς πτώσεσι συναιροῦνται. καὶ ὀλιγοπαθῆ, ὅσα ἐν ὀλίγαις. τούτων ὡς ἔγνωσται, πέντε κλίσεις εἰσί, περὶ ὧν ἐρῶ ἀρξάμενος ἀπὸ τῆς πρώτης.

Περὶ τῆς πρώτης κλίσεως τῶν συνῃρημένων.

Ἡ πρώτη κλίσις τῶν πολυπαθῶν συνῃρημένων τρεῖς καταλήξεις ἔχει. μίαν εἰς ης ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν ὀνομάτων. οἷον, ὁ Δημοσθένης. ἡ τριήρης. ὁ καὶ ἡ ἀληθής. δύο δὲ οὐδετέρων εἰς ες καὶ εἰς ος. οἷον, τὸ ἀληθές. τὸ τεῖχος. Τὰ εἰς ης κύρια παρ' οὐδετέρων ἐν τῷ τέλει συντεθειμένα, εἰς ους κατὰ κρᾶσιν ποιοῦσι τὴν γενικήν. οἷον, Δημοσθένης. Διογένης. Ἀριστοτέλης. Πολυνείκης. Ἔτι τὰ εἰς ης κύρια σύνθετα ἀπὸ ῥημάτων. οἷον, Πολυδεύκης. Ἀριστοφάνης. Διομήδης. Διοπείθης. Ἔτι τὰ ἀπὸ τοῦ κράτος. οἷον, Σωκράτης. Ἱπποκράτης. Ἰσοκράτης. Ἔτι τὰ εἰς ης κοινὰ, ἐπίθετα, διγενῆ, οὐδέτερον εἰς ες ἔχοντα. οἷον, εὐγενής. εὐσεβής. κακοήθης. Ἔτι τὰ διὰ τοῦ ωρης, καὶ ηρης, καὶ ωδης. Ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν τῇ δευτέρᾳ καταλήξει εἴρηται. νῦν δὲ σχηματιστέον ἐστὶ τὰ τῆς πρώτης κλίσεως. Ὁ Δημοσθένης παράγεται, ἀπὸ τοῦ δῆμος καὶ τοῦ σθένος. Ἡ γενική, τοῦ Δημοσθένεος ἰωνικῶς, καὶ κράσει Δημοσθένους κοινῶς καὶ ἀττικῶς. τὸ γὰρ ε καὶ ο εἰς ου κιρνᾶται. Ἡ δοτική, τῷ Δημοσθένεϊ ἰωνικῶς ἀπὸ τῆς γενικῆς, τροπῇ τοῦ ος εἰς ι. καὶ κατὰ συναίρεσιν, Δημοσθένει. κοινῶς γὰρ τὸ ε καὶ ι εἰς ει δίφθογγον συναιρεῖται. τὸ δὲ παρὰ Πινδάρῳ ἐν ὕμνῳ, Ἀγησιδάμου πάτερ εὐκλέϊ δίρκᾳ, κατὰ συγκοπὴν ἐγένετο ἀπὸ τοῦ εὐκλεέϊ. Ἡ αἰτιατική, τὸν Δημοσθένεα ἰωνικῶς ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς α, καὶ κράσει, Δημοσθένη. τὸ γὰρ ε καὶ α εἰς η ἐν τῇ ἑνικῇ αἰτιατικῇ κιρνᾶται. καὶ ἀττικῶς Δημοσθένην. οἱ γὰρ ἀττικοὶ τὰ διὰ τοῦ εἰς ης κυρίων εἰς ους ἐχόντων τὴν γενικήν, εἰς ην ποιοῦσι τὴν αἰτιατικήν, τὸν Δημοσθένην, τὸν Ἀριστοφάνην, τὸν Διομήδην λέγοντες. τὰ δὲ τῶν ἐπιθέτων διγενῶν, εἰς η μόνον. οἷον, τὸν δυστυχῆ. τὸν ἀληθῆ. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι ὅτε πρὸ τοῦ ε τῶν τοιούτων ἰωνικῶν αἰτιατικῶν εὑρίσκεται σύμφωνον, τότε μόνον ἡ κρᾶσις γίνεται εἰς η. οἷον τὸν ἀληθέα, καὶ ἀληθῆ. τὸν εὐσεβέα, καὶ εὐσεβῆ. ὅτε δὲ εὑρίσκεται φωνῆεν, γίνεται ἡ κρᾶσις εἰς η καὶ εἰς α. οἷον, τὸν εὐφυέα, καὶ εὐφυῆ, καὶ εὐφυᾶ. τὸν ὑγιέα, καὶ ὑγιῆ, καὶ ὑγιᾶ. τὸ δὲ πολλάκις ῥηθὲν ἐκεῖνο ὁμηρικὸν, δυσκλέα Ἄργος ἱκέσθαι ἐπεὶ πολὺν ὤλεσα λαὸν, ἀπὸ τοῦ δυσκλεέα κατὰ συγκοπὴν ἐγένετο διὰ τὸ μέτρον. Ἡ κλητική, ὦ Δημόσθενες. τὰ γὰρ εἰς ης συνῃρημένα κοινῶς, εἰς ες ποιοῦσι τὴν κλητικήν. οἷον, ὦ Δη

μοσθένους. ὦ διόμηδες. ὦ ἀριστόφανες. καὶ τὰ μὲν κύρια καὶ ἐπίθετα βαρύτονα, προπαροξύτονον ἔχουσι τὴν κλητικήν. οἷον, ἀριστότελες. μεγάκλητες. τὰ δὲ ἐπίθετα ὀξύτονα, ὀξύτονον. οἷον, ὦ εὐσεβές. ὦ ἀληθές. οἱ ἀθηναῖοι δὲ τὴν τῶν εἰς ης κυρίων εἰς η ποιοῦσι τὴν κλητικήν. οἷον, ὦ δημόσθενη. ὦ ἀριστοφάνη. τὴν δὲ τῶν ἀπὸ τοῦ κλέος συντεθειμένων, ὁμοίαν ποιοῦσι τῇ ὀνομαστικῇ. οἷον, ὦ ἡρακλῆς. καὶ τὴν τῶν ἐπιθέτων ὁμοίως. οἷον, ὦ ἀληθής. Ἡ ὀνομαστικὴ δυϊκὴ καὶ ἡ κλητική, ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς ε. τῷ δημοσθένεϊ, τὼ δημοσθένεε, ὦ δημοσθένεε ἰωνικῶς, καὶ κατὰ κρᾶσιν κοινῶς, δημοσθένη. τὰ γὰρ δύο εε ἐνταῦθα εἰς η κιρνᾶται. σπανιώτατα δὲ εἰς ει δίφθογγον ὡς παρ' Αἰσχίνῃ τῷ σωκρατικῷ, τὼ πόλει ἀπὸ τοῦ πόλεε, καὶ ταρίχει ἀπὸ τοῦ ταρίχεε. Ἡ γενικὴ ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ ε εἰς οιν. οἷον, τὼ δημοσθένεε. τοῖν δημοσθενέοιν ἰωνικῶς, καὶ δημοσθενοῖν κοινῶς. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ ἡ κλητική, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς προσθέσει σ. τὼ δημοσθένεε, οἱ δημοσθένεες, ὦ δημοσθένεες ἰωνικῶς. καὶ κράσει δημοσθένεις. τὰ γὰρ δύο εε ἐνταῦθα εἰς ει δίφθογγον κιρνᾶται. τὸ δὲ τοῦ Κοΐντου ἐν τῷ δεκάτῳ Ἀκλέες ἑζόμενοι ἐπεὶ οὐ σθένος ἔσκεν αὐτῶν, ἀπὸ τοῦ ἀκλεέες ἐγένετο κατὰ συγκοπὴν διὰ τὸ μέτρον. Ἡ γενική, τῶν δημοσθενέων, καὶ κράσει δημοσθενῶν. Ἡ δοτική, τοῖς δημοσθένεσιν, ἀπὸ τῆς δοτικῆς προσθέσει τοῦ σ. καὶ ἰωνικῶς δημοσθενέεσιν. Ἡ αἰτιατική, ἀπὸ τῆς αἰτιατικῆς ἑνικῆς, προσθέσει σ. δημοσθένεα, δημοσθένεας. ἢ ἄμεινον ἀπὸ τῆς ὀνομαστικῆς πληθυντικῆς, τροπῇ τοῦ ε εἰς α. ὅθεν καὶ τὸ συνῃρημένον δημοσθένεις διὰ τῆς ει διφθόγγου. εἰ γὰρ ἐκεῖθεν ἐγένετο, ἐγράφετο ἂν διὰ τοῦ η, ἐπειδὴ τὸ ε καὶ α εἰς η κιρνᾶται. Σημείωσαι δὲ καὶ τοῦτο ὅτι οἱ ἀρχαῖοι ἀθηναῖοι, ὡς γέγραπται, τὴν τῶν εἰς ης κυρίων καὶ ἐπιθέτων ἀπὸ τοῦ ἔτος συντεθειμένων ἐποίουν ὀνομαστικὴν πληθυντικὴν εἰς αι, καὶ εἰς ας αἰτιατικήν. οἷον, οἱ ἀριστοφάναι, τοὺς ἀριστοφάνας. οἱ δημοσθέναι, τοὺς δημοσθένας. οἱ ἑπταέται, τοὺς ἑπταέτας. οἱ δωδεκαέται, τοὺς δωδεκαέτας. τὰ δὲ θηλυκὰ καὶ κοινὰ σχηματίσεις τούτῳ τῷ κανόνι. περὶ δὲ τῶν εἰς ος νῦν λεκτέον, ἀφ' ὧν καὶ τὰ εἰς ες δῆλα ἔσται. Τὸ τεῖχος. τοῦ τείχεος ἰωνικῶς, καὶ τείχους κοινῶς, καὶ τείχευς δωρικῶς, ὥσπερ ἐρέβευς ἀντὶ ἐρέβεος παρὰ τῷ ποιητῇ ἐν τῷ θ τῆς ἰλιάδος, ἐξ ἐρέβευς ἄξοντα κύνα στυγεροῦ ἀΐδαο. Τῷ τείχεϊ, καὶ τείχει. τὸ δ' εὗρεν ἐν σπῆϊ, ἀπὸ τοῦ τὸ σπέος, σπέεος, ους. σπέεϊ, καὶ κράσει τῶν δύο εε εἰς η, σπῆϊ. Τὸ τεῖχος, ὦ τεῖχος. τὼ τείχεε, καὶ κράσει τείχη διὰ τοῦ η. τὸ δὲ ταρίχει, ἀπὸ τοῦ ταρίχεε ἀρχαϊκόν. τὸ δὲ πολλάκις καὶ παρὰ τῷ ποιητῇ ὄσσε φαεινώ, καὶ παρ' Ὀρφεῖ ἐν ἀργοναυτικοῖς, κῶμα δ' ἄφαρ κατέμαρπτε πελωρίου ὄσσε δράκοντος, ἀπὸ τοῦ ὄσσεε κατὰ ἀποκοπὴν ἐγένετο. τὸ ὄσσος γὰρ, τοῦ ὄσσεος. ἢ ὁ ὄσσος, τοῦ ὄσσου. Τοῖν τειχέοιν, καὶ τειχοῖν. ὦ τείχεε, καὶ τείχη. τὰ τείχεα, καὶ τείχη. τὸ δὲ ἐν ἀργοναυτικοῖς τοῦ Ὀρφέως, οὔρεα προλιποῦσαι, ἀπὸ τοῦ

οὔρεα κατ' ἔκτασιν ἐγένετο. σημείωσαι δὲ τὰ χρέα κατὰ συγκοπὴν, ἀπὸ τοῦ χρέεα. καὶ τὰ κλέα, ἀπὸ τοῦ κλέεα. ὅθεν καὶ τὸ α βραχύ ἐστιν ὡς φαίνεται ἀπὸ τῶν ἐπῶν. ὁ γὰρ ποιητὴς πολλάκις καὶ ἐν τῷ ι τῆς ἰλιάδος, τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν. τὸ γὰρ α βραχὺ, τρίτη ὂν τοῦ δακτύλου. τούτῳ ὁμοίως καὶ Ἀπολλώνιος ὁ κληθεὶς μὲν ῥόδιος, ἀλεξανδρεὺς δὲ ὢν, ἀρχόμενος τῶν ἀργοναυτικῶν οὕτω φησὶν, Ἀρχόμενος σέο φοῖβε, παλαιγενέων κλέα φωτῶν. τῶν τειχέων, καὶ τειχῶν. τοῖς τείχεσι κοινῶς, καὶ τειχέεσσιν ἰωνικῶς, ἀπὸ τῆς γενικῆς ἐνικῆς, τροπῇ τοῦ ο εἰς ε, καὶ προσθέσει σι. προστίθεται δὲ ι καὶ φ τοῖς τοιαύταις δοτικαῖς. οἷον, ὄρεσφιν, ἀντὶ ὄρεσι. καὶ στήθεσφιν, ἀντὶ στήθεσι. καὶ ὄχεσφιν, ἀντὶ ὄχεσιν, ὥς φησι Δίδυμος. ὁ δὲ Τρύφων ἐναντιούμενος λέγει μὴ εἶναι δοτικὰς, ἀλλὰ γενικὰς ἐνικάς. τὸ γὰρ κατ' ὄρεσφιν, ἀντὶ ἀπὸ τοῦ ὄρεος. καὶ τὸ ἔχεσφιν, ἐκ τοῦ ὄχεος. ὁμοίως τίθεται καὶ ἐν ταῖς ἄλλαις πτώσεσι. καὶ περὶ μὲν τούτων, ἅλις. Ἐπειδὴ δὲ τὰ εἰς ης κύρια ἀπὸ τοῦ κλέος συντεθειμένα ἰδίαν τινὰ ἔλαχον κλίσιν, λεκτέον ἂν εἴη καὶ περὶ αὐτῶν, ὧν παράδειγμα ὁ ἀνδρεῖος Ἡρακλῆς ἔσται.

Περὶ τῶν εἰς ης ἀπὸ τοῦ κλέος συντεθειμένων.

Τὰ εἰς ης σύνθετα ἀπὸ τοῦ κλέος, εἰ μὲν ὦσιν ἐπίθετα, μίαν κλίσιν ἐντελῆ ἔχουσιν. οἷον, ὁ εὐκλεὴς, τοῦ εὐκλεέος, καὶ εὐκλεοῦς. εἰ δὲ ὦσι κύρια, μίαν μὲν ἐντελῆ, καὶ ἑτέραν συνῃρημένην οὕτω.

Κλίσις ἐντελής.

Ὁ ἡρακλέης παρὰ ποιηταῖς, καὶ παρὰ τῷ ἀρχαιοτάτῳ Ὀρφεῖ ἐν ἀργοναυτικοῖς, Ἡρακλέης δ' ἠπείγετ' ἀνυλήεντας ἐναύλους. Ἡ γενικὴ, τοῦ ἡρακλέεος, ὡς παρ' αὐτῷ, Σὺν δέ οἱ ἦλθ' ἕταρος ἡρακλέεος θείοιο. καὶ κράσει τῶν δύο εε εἰς η, ἡρακλῆος, ὡς παρ' αὐτῷ, Πρῶτα δὲ οἶδα βίην ἡρακλῆος θείοιο. καὶ ἡρακλέηος, ὡς παρ' αὐτῷ, καί ῥα τόθ' ἡρακλέηος ἔχων πόθον. καὶ ἡρακλέους. Ἡ δοτικὴ, τῷ ἡρακλέεϊ, καὶ ἡρακλέϊ, καὶ ἡρακλῆϊ. Ἡ αἰτιατικὴ, τὸν ἡρακλέεα, καὶ ἡρακλέα, καὶ ἡρακλέη, καὶ ἡρακλῆ, καὶ ἡρακλέην, καὶ ἡρακλῆα. Ἡ κλητικὴ, ὦ ἡράκλεες κοινῶς, καὶ ἡράκλεις κατὰ συναίρεσιν, καὶ ἡράκλεε κατὰ ἀποκοπὴν, ἀπὸ τοῦ ἡράκλεες. καὶ ἡρακλέη ἀττικῶς. Ἡ ὀνομαστικὴ δυϊκὴ, τὼ ἡρακλέεε, καὶ ἡρακλέε, καὶ ἡρακλέη, καὶ ἡρακλῆ. Ἡ γενικὴ δυϊκὴ, τοῖν ἡρακλεέοιν, καὶ ἡρακλέοιν, καὶ ἡρακλήοιν, καὶ ἡρακλοῖν. Ἡ κλητικὴ ὁμοίως τῇ ὀνομαστικῇ. Ἡ ὀνομαστικὴ πληθυντικὴ, οἱ ἡρακλέεες, καὶ ἡρακλέες, καὶ ἡρακλῆες. Ἡ γενικὴ, τῶν ἡρακλεέων, καὶ ἡρακλέων, καὶ ἡρακλήων. Ἡ δοτικὴ, τοῖς ἡρακλέεσι, καὶ ἡρακλῆσιν. Ἡ αἰτιατικὴ, τοὺς ἡρακλέεας, καὶ ἡρακλέεις, καὶ ἡρακλῆας, καὶ ἡρακλᾶς. Ἡ κλητικὴ ὁμοίως τῇ ὀνομαστικῇ. καὶ ἡ μὲν ἐντελὴς κλίσις, αὕτη. ἡ δὲ συνῃρημένη, ἥδε.

Κλίσις συνῃρημένη.

Ὁ ἡρακλῆς. τοῦ ἡρακλέος, καὶ ἡρακλοῦς. τῷ ἡρακλέϊ, καὶ ἡρακλεῖ. τὸν ἡρακλέα, καὶ ἡρακλῆ, καὶ ἡρακλῆν. ὦ ἡρακλῆς, καὶ ὦ ἡρακλῆ. Τὼ ἡρακλέε, καὶ ἡρακλῆ. τοῖν ἡρακλέοιν, καὶ ἡρακλοῖν. ὦ ἡρακλέε, καὶ ὦ ἡρακλῆ.

οἱ ἡρακλέες, καὶ ἡρακλεῖς, καὶ ἀττικῶς ἡρακλᾶς. τῶν ἡρακλέων, καὶ ἡρακλῶν. τοῖς ἡρακλέεσι. τοὺς ἡρακλέας, καὶ ἡρακλεῖς, καὶ ἡρακλοῦς ἀττικῶς. ὦ ἡρακλέες, καὶ ὦ ἡρακλεῖς. οὐ γὰρ ῥητορικῶς οὕτω κλινεῖς. ὁ ἡρακλῆς. τοῦ ἡρακλέους. τῷ ἡρακλεῖ. τὸν ἡρακλέα. ὦ ἡράκλεις. ὁμοίως καὶ ὁ θεμιστοκλῆς. τοῦ θεμιστοκλέους. τῷ θεμιστοκλεῖ. τὸν θεμιστοκλέα. καὶ ὁ περικλῆς. τοῦ περικλέους. τῷ περικλεῖ. τὸν περικλέα.

Περὶ τῆς δευτέρας κλίσεως τῶν πολυπαθῶν.

Ἡ δευτέρα κλίσις τῶν πολυπαθῶν συνῃρημένων ὀνομάτων, καὶ ἰδιώματα ἐχόντων, δύο καταλήξεις ἔχει, εἰς ις ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν ὀνομάτων, καὶ εἰς ι οὐδετέρων. οἷον, ὁ ὄφις. ἡ πόλις. ὁ καὶ ἡ φιλόπολις. τὸ σίνηπι. Ἡ ὀνομαστική, ὁ ὄφις. Ἡ γενική, τοῦ ὄφιος. τὰ γὰρ εἰς ις προσηγορικὰ βραχυπαράληκτα, μὴ ὄντα παρώνυμα, μὴ δικατάληκτα, εἰς ος καθαρὸν ποιοῦσι τὴν γενικήν. οἷον, ὄφις, ὄφιος. μάντις, μάντιος. πόσις, πόσιος. καὶ ὄφεος ἰωνικῶς ἀπὸ τοῦ κοινοῦ, τροπῇ τοῦ ι εἰς ε. καὶ ὄφεως ἀττικῶς ἀπὸ τοῦ ἰωνικοῦ, κατ' ἔκτασιν τοῦ ο εἰς ω. ὅθεν καὶ προπαροξύνεται. Ἡ δοτική, τῷ ὄφιϊ κοινῶς. καὶ κράσει τῶν δύο ιϊ βραχέων εἰς ἓν μακρόν, ὄφι. καὶ ὄφεϊ ἰωνικῶς, καὶ ὄφει κατὰ συναίρεσιν κοινῶς καὶ ἀττικῶς. Ἡ αἰτιατική, τὸν ὄφιν μόνον κοινῶς. ὅτε γὰρ ἡ γενικὴ μόνον εἰς ος, τότε καὶ ἡ αἰτιατικὴ εἰς ιν. Ἡ κλητική, ὦ ὄφι κοινῶς, καὶ ὦ ὄφις ἀττικῶς. Ἡ ὀνομαστικὴ δυϊκή, τὼ ὄφιε κοινῶς, καὶ ὄφεε ἰωνικῶς, καὶ ὄφη κατὰ κρᾶσιν. ὡς παρὰ δημοσθένεε, δημοσθένη, εἰ καὶ ἔνιοι οὐ παραδέχονται. Ἡ γενική, τοῖν ὀφίοιν κοινῶς, καὶ ὀφέοιν ἰωνικῶς, καὶ ὀφέων ἀττικῶς ἀπὸ τοῦ ἰωνικοῦ, κατ' ἔκτασιν τοῦ ο εἰς ω, ἀπογραφομένου καὶ τοῦ ι. προπαροξύνεται γὰρ ἔθει ἀττικῷ. Ἡ κλητική, ὁμοία τῇ ὀνομαστικῇ. Ἡ ὀνομαστικὴ πληθυντική, οἱ ὄφιες κοινῶς. καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρόν, ὄφις. καὶ ὄφεες ἰωνικῶς, καὶ ὄφεις κατὰ κρᾶσιν. Ἡ γενική, τῶν ὀφίων κοινῶς, καὶ ὀφέων ἰωνικῶς, καὶ ὄφεων ἀττικῶς ἀσυναιρέτως. τῆς γὰρ γενικῆς ἑνικῆς ἀσυναιρέτου οὔσης, ἀσυναίρετος καὶ ἡ γενικὴ δυϊκὴ καὶ πληθυντικὴ τυγχάνει. ἐκείνης δὲ συναιρουμένης, καὶ αὗται συναιροῦνται. Ἡ δοτική, τοῖς ὄφισι κοινῶς, καὶ ὄφεσιν ἰωνικῶς. Ἡ αἰτιατική, τοὺς ὄφιας. καὶ κράσει τοῦ ι καὶ α εἰς ι μακρόν, ὄφις. καὶ ὄφεας ἰωνικῶς, καὶ ὄφεις κατὰ κρᾶσιν. Ἡ κλητική, ὁμοία τῇ ὀνομαστικῇ. Καὶ περὶ μὲν τούτων, ἅλις. ἐπειδὴ δὲ ἡ πόλις τῆς αὐτῆς κλίσεως οὖσα εὕρηται παρὰ ποιηταῖς διαφορὰς τινὰς ἔχουσα, λέξω καὶ περὶ αὐτῆς μετὰ τῶν ἀξιωμάτων τῶν ποιητῶν, ἵνα μὴ δόξω τοῖς ἀμαθέσιν ὀνείρατα διηγεῖσθαι. Ἡ πόλις. τῆς πόλιος κοινῶς, καὶ πόλεος ἰωνικῶς, καὶ πόλεως ἀττικῶς, καὶ πόληος παρὰ ποιηταῖς, ὥς φασιν οἱ παλαιοὶ ἀπὸ τῆς πόλιος τροπῇ τοῦ ι εἰς η αἰολικῶς, ἢ ἀπὸ τῆς πόλεος κατ' ἔκτασιν. τοῦτο δὲ πολλάκις εὑρήσεις παρὰ τοῖς ἄλλοις, καὶ παρὰ τῷ ὀρφεῖ ἐν ἀργοναυτικοῖς, ἄστυρος δ' ἀπάνευθεν δόμους ναίεσκε πόληος. καὶ παρὰ τῷ ποιητῇ ἐν

τῷ α τῆς ὀδυσσείας, νῆυς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ, νόσφι πόληος. καὶ πόλεος δωρικῶς, οἶμαι ὡς παρὰ Θεόγνιδι τῷ μεγαρεῖ ἐν γνωμολογίαις, τῆς δὲ πόλεος ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ. καὶ πάλιν, εὕδομεν, φυλακὴ δὲ πόλεος φυλάκεσσι μελήσει. τῇ πόλιϊ, καὶ πόλι. καὶ πόλεϊ, καὶ πόλει, καὶ πόληϊ καθ᾽ ὁμοιότητα τῆς πόληος. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ γ τῆς ἰλιάδος, πατρί τε σῷ μέγα πῆμα, πόληΐ τε, παντί τε δήμῳ. ἔνιοι μέντοι ἀγνοοῦντες τὰ μέτρα, ἢ χερεῖον ποιοῦντες, πόλιϊ γράφουσι διὰ τοῦ ι, τὰ παλαιὰ ἐσφαλμένα νομίζοντες. ἀλλὰ πῶς μετρήσουσι τὰ τοῦ ὁμηρικωτάτου Κοΐντου ἔπη, ἐν οἷς εὕρηται ἐν τῷ ἕκτῳ πόληϊ. ὁ δάκτυλος, ἢ σπονδεῖος, ἢ τροχαῖος. εἰ δὲ τὸ σπάνιον πάθος τὸ καλούμενον μείουρον ἐνταῦθα εἶναι δύναται, ὡς ἐν τῷ, Τρῶες δ᾽ ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν. ὁ δὲ Κόϊντος ἐν τῷ πρώτῳ τῆς αὐτοῦ ποιήσεως οὕτω φησί, τῇ μὲν γὰρ τέκνα καὶ ἀνέρες ἀμφὶ πόληϊ. καὶ πάλιν ἐν τῷ τρίτῳ, οἴσεσθαι ὅμως ἤμελλε παρὰ πριάμοιο πόληϊ. ἡ αἰτιατική, τὴν πόλιν κοινῶς, καὶ πόληα πολλάκις εὗρον παρὰ τῷ Κοΐντῳ. καὶ ἐν τῷ πρώτῳ, κεῖνον ὅτ᾽ ἀμφὶ πόληα ποδώκεες εἴρυον ἵπποι. καὶ ἐν τῷ τρίτῳ, ἐς πριάμοιο πόληα διέπραθε δ᾽ ὄλβιον ἄστυ. καὶ πάλιν ἐν τῷ αὐτῷ, ὡς οἵ γ᾽ ἐκ πολέμοιο ποτὶ πριάμοιο πόληα. ἔτι, εἰ μὴ πεπταμένῃσι πύλῃς ἐπέχυντο πόληα. καὶ παρ᾽ Ἡσιόδῳ ἐν ἀσπίδι, ὃς Θήβης κρήδεμνον ἔχει, ῥύεταί τε πόληα. ἡ δὲ ποίησις τοῦ ὁμηρικωτάτου Κοΐντου ἤδη πολὺν χρόνον πᾶσιν ἄγνωστος ἦν, καὶ οἱονεὶ ἠφανισμένη. ὁ δὲ θεοσεβέστατος Βησσαρίων ὁ νικαίας, καρδινάλις τουσκουλανός, ὁ πάντ᾽ ἀγαθὸς, καὶ ὄντως σοφὸς, καὶ ἵν᾽ ὁμηρικῶς εἴπω, ἰσόθεος φὼς, ἄλλα τε πλεῖστα ἐφ᾽ ἡμῶν καὶ ταύτην ἐξ ἀπουλίας ἀνασώσας, τοῖς βουλομένοις μετέδωκεν. ἣν καὶ αὐτὸς πάλαι μετὰ πόθου, νῦν δὲ ἀγαθῇ τύχῃ κτησάμενος, δημοσίως ἀναγνώσομαι μετὰ τὰ ἀργοναυτικὰ τοῦ σοφοῦ ὀρφέως. ἃ δὴ πάλαι καταμεληθέντα, μόλις ποτὲ αὐτὸς ἐν μεδιολάνῳ εὑρὼν σεσηπότα, ἐκ γραφίδος τε, καὶ τοῖς ἄλλοις μεταδοὺς, δημοσίᾳ ἀναγινώσκω, πολλῶν καὶ λογίων νέων φοιτώντων. καὶ νῦν ἐς τὰ ἔσχατα τῶν δυστυχῶν ἑλλήνων ἀνεβίω ὁ ἠγνοημένος ἐκεῖνος Ὀρφεὺς. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπανέλθω. ἡ κλητική, ὦ πόλι κοινῶς, καὶ ὦ πόλις ἀττικῶς. ἡ ὀνομαστικὴ δυϊκὴ, τὰ πόλιε, καὶ πόλεε, καὶ πόλη κατὰ τὸ εἰωθός. τὸ δὲ παρὰ Αἰσχίνῃ τῷ σωκρατικῷ τούτω τὼ πόλει, ἀρχαῖον, καὶ πόληε. ταῖν πολίοιν, καὶ πολέοιν, καὶ πόλεων. ἡ κλητική, ὁμοία τῇ ὀνομαστικῇ. ἡ ὀνομαστικὴ πληθυντική, αἱ πόλιες, καὶ πόλις, καὶ πόλεες, καὶ πόλεις, καὶ πόληες. ὅθεν καὶ ὁ Ὀρφεὺς ἐν ἀργοναυτικοῖς, Γορθμίδος ἐκ γλαφυρῆς χωδόθεν δέ οἱ εἰσὶ πόληες. ἡ γενική, τῶν πολίων, καὶ πολέων, καὶ πόλεων, καὶ πολήων. ὅθεν καὶ Διονύσιος ὁ περιηγητής, ἢ ὀρέων ἢ πέζαν ὑποξύουσα πολήων. ταῖς πόλισι, καὶ πόλεσι, καὶ πόλησι. τὰς

πόλιας, καὶ πόλις, καὶ πόλεας, καὶ πόλεις, καὶ πόληας. ὅθεν καὶ τὸ ὀρφι-
κόν, μέμφειν ἐς ἠγαθέην πελάγεσσ', ἱεράς τε πόληας. Ἡ κλητικὴ ὁμοία
τῇ ὀνομαστικῇ. τὸ σίνηπι. τοῦ σινήπιος κοινῶς, καὶ σινήπεος ἰωνικῶς, καὶ σινήπεως
ἀττικῶς. τῷ σινήπιϊ, καὶ σινήπι, καὶ σινήπεϊ, καὶ σινήπει. τὸ σίνηπι. ὦ σίνηπι.
καὶ τἆλλα ὁμοίως τοῖς ἄνωθεν, φυλαττομένων τῶν καταλήξεων τῶν οὐ-
δετέρων ὀνομάτων. οἷον, τὰ σινήπια, καὶ σινήπι, καὶ σινήπεα, καὶ σινήπη. τῶν
σινηπίων, καὶ σινηπέων, καὶ σινήπεων. τοῖς σινήπισι, καὶ σινήπεσι. τὰ σινή-
πια, καὶ σινήπι, καὶ σινήπεα, καὶ σινήπη. εὕρηται δὲ καὶ τὸ κόμμι, τοῦ κόμμιδος,
ὡς τὸ σεσημειωμένον παρὰ τῷ Ἀκροβύλῳ, τὸν πλακοῦντα κόμμιδι
καὶ μέλιτι διεκόσμει. ἔτι καὶ τὸ πέπερι, τοῦ πεπέριδος. καὶ τὸ κιννάβαρι, καὶ
ἡ κιννάβαρις. τὸ στίμμι, καὶ ἡ στίμμις. ὅθεν καὶ τὸ λεγόμενον ἐκεῖνο ἔπος,
καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφος. Περὶ τῆς τρίτης κλίσεως.

Ἡ τρίτη κλίσις τῶν ὀλιγοπαθῶν μίαν κατάληξιν εἰς ευς ἔχει ἀρσενικῶν
ὀνομάτων. οἷον, βασιλεύς. τυδεύς. ζεύς, διός, διΐ, δία, ὦ ζεῦ ἑτερόκλιτον,
ἀπὸ τοῦ δεὺς καὶ διὸς ἀρχαῖον. καὶ ζεύς, τοῦ ζεός. καὶ ὁ ζήν, τοῦ ζηνὸς παρὰ ποι-
ηταῖς. ὁ γονεὺς δὲ, καὶ ὁ τοκεύς, καὶ τὰ ὅμοια, μετὰ ἀρσενικοῦ μόνου ἄρ-
θρου λεγόμενα, ἀμφότερον, καὶ τὸν πατέρα, καὶ τὴν μητέρα σημαίνουσιν.
οἷον, τοὺς γονεῖς. τοὺς τοκέας. κοινῶς δὲ τὰ εἰς ευς ὀξύνονται. οἷον, ἀχιλλεύς.
πηλεύς. αἰολικῶς δὲ, βαρύνονται. ἀχίλλευς. πήλευς. Ἡ ὀνομαστική, ὁ βασι-
λεύς. ἡ γενική, τοῦ βασιλέος κοινῶς, καὶ βασιλέως ἀττικῶς κατ' ἔκτασιν
τοῦ ο εἰς ω μέγα, καὶ βασιλῆος ἰωνικῶς, καὶ βασιλεῦς δωρικῶς, ὥσπερ ὀδυ-
σεῦς λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ ὀδυσσέως. σημειώσαι δὲ ὅτι τὰ εἰς
ευς, διαφόρως κλίνονται. οἷον, ὁ ἀχιλλεύς. τοῦ ἀχιλλέος κοινῶς, καὶ ἀχιλλέως
ἀττικῶς, καὶ ἀχιλλῆος κατὰ τοὺς παλαιοὺς ἴωνας, καὶ ἀχιλλεῖος παρὰ τοῖς
νεωτέροις, καὶ ἀχίλληος προπαροξυτόνως κατὰ τοὺς παλαιοὺς αἰολεῖς, καὶ
ἀχίλλεος παρὰ τοῖς νεωτέροις, καὶ ἀχιλλίος βοιωτικῶς, ὥσπερ δεῦς, δι-
ός. καὶ δωρικῶς καὶ ἰωνικῶς, ἀχιλλεῦς περισπωμένως. ἀχίλλευς δὲ βαρυτό-
νως, αἰολικῶς. ἔτι τὰ εἰς ευς ἀποβάλλουσι τὸ υ ἐν ταῖς πλαγίαις. οἷον,
βασιλεύς, βασιλέος. τυδεύς, τυδέος. ἐξαιρεῖται ὁ ἄρδευς. τοῦ ἄρδευος. τῷ ἄρ-
δευι. τὸν ἄρδευα αἰολικῶς. ἔτι τὰ εἰς ευς μὴ καθαροῦ ὄντος τοῦ ε ἐν τῇ γε-
νικῇ οὐ συναιροῦνται. οἷον, βασιλέως. ἀχιλλέως. καθαροῦ δὲ ὄντος, συναιροῦν-
ται ἔθει ἀττικῷ. οἷον, βρεττιεύς, βρεττιέως, βρεττιῶς. πειραιεύς, πειραιέως, πει-
ραιῶς. στειριεύς, στειριέως, στειριῶς. τὰ τοιαῦτα δὲ παραλόγως εἰς α ποιοῦσι
τὴν αἰτιατικήν. οἷον, τὸν βρεττιᾶ. τὸν πειραιᾶ. τὸν στειριᾶ. Ἡ δοτική, τῷ βασιλέϊ κοι-
νῶς, καὶ βασιλῆϊ ἰωνικῶς, καὶ βασιλεῖ κατὰ συναίρεσιν ἀττικῶς. Ἡ αἰτιατική,
τὸν βασιλέα κοινῶς ἀπὸ τῆς γενικῆς. ὅθεν καὶ τὸ α βραχὺ ὤφειλεν ἔχειν. ἡ γὰρ
εἰς ος γενικὴ ὁμόχρονον τὴν αἰτιατικὴν εἰς α ἔχει. οἷον, αἴαντος, αἴαντα. πη-
λέος, πηλέα. οἱ μέντοι ἀθηναῖοι ἀπὸ τοῦ βασιλέως σχηματίζουσι τὴν αἰτια-

τικοῦ, ἐκτείνουσι τὸ α αὐτῆς. ὅθεν καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ τὸ α μακρὸν ἐφύλαξε λέγων, καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας. τοῦ δὲ πέμπτου ἰάμβου ὄντος, τὸ α ἐκτείνεται. καὶ βασιλῆα ἰωνικῶς, καὶ βασιλῆ δωρικῶς παρὰ ποιηταῖς πολλάκις εὑρήσεις, καὶ παρὰ τῷ ποιητῇ ἐν τῷ δ τῆς Ἰλιάδος, ἔνθ' αὖ ἀτρεΐδην μὲν τυδῆ στεῖλαν ἀχαιοί, ἀντὶ τοῦ τυδέα. καὶ πάλιν ἐν τῷ ο τῆς αὐτῆς, μηκιστῆ δ' ἕλε πουλυδάμας, ἐχίον δὲ πολίτης, ἀντὶ μηκιστέα. καὶ παρὰ τῷ Κοΐντῳ ἐν ε, Ναὶ δέ σευ ἀμφ' ἀχιλῆ πολλῶν πλέον κτάνεται αὐδῆς, ἀντὶ ἀμφ' ἀχιλλέα. καὶ Λυκόφρων ὁμοίως, οὐ δ' αὖ φονῆ φησιν, ἀντὶ φονέα. ὅπερ ὁ Κέκκης ἐξηγούμενος, κατὰ συναίρεσιν ἀττικὴν γενέσθαι φησί. μὴ ἀπατάτωσαν δὲ ὑμᾶς ἔνιοι τῶν ἡμετέρων λέγοντες ταύτην τὴν αἰτιατικὴν μηδέποτε συναιρεῖσθαι, μηδὲ οἱ γράφοντες τὸ τυδεῖ διὰ διφθόγγου ει, νομίζοντες δοτικὴν εἶναι. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα εὑρήσεται ἐν τοῖς αὐτῶν ἔξω τῆς παλαιότητος εἰρημένα, ἃ οὐκ ἐμὸν ἡγησάμην ἐπισημειώσασθαι, οὐ δὲ προὐθέμην κατηγορεῖν τὰ ἡμαρτημένα ἐπιδιορθοῦσθαι, ἀλλὰ πάσῃ σπουδῇ τὰ τῶν παλαιῶν λείψανα συλλέξας, εἰς φῶς ἀγαγεῖν λόγῳ τε καὶ ἀξιώματι καὶ χρήσει τῶν ποιητῶν χρώμενος, οἷς καὶ αὐτοὶ ἑπόμενοι, οὐκ ἂν ἁμαρτάνοιτε τῆς ἀληθείας. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανιτέον. Ἡ κλητικὴ, ὦ βασιλεῦ περισπωμένως. ἡ δὲ τῶν εἰς υ λήγουσα διφθόγγου, ἐπὶ τέλους περισπᾶται. οἷον, ἀχιλλεῦ. βασιλεῦ. εὖ. φεῦ. πανταχοῦ. οὐδαμοῦ. πλὴν τοῦ ἰδού, ἰού, οὐ. καὶ ὦ βασιλεῖς ἀττικῶς. τὼ βασιλέε, καὶ βασιλῆ κατὰ κρᾶσιν, ὡς δοκεῖ τοῖς παλαιοῖς, εἰ καί τινες οὐ παραδέχονται, ὥσπερ δημοσθένεε, δημοσθένη. καὶ βασιλῆε ἰωνικῶς. τοῖν βασιλέοιν κοινῶς, καὶ βασιλήοιν ἰωνικῶς. ἡ δὲ κλητικὴ, ὁμοία τῇ ὀνομαστικῇ. οἱ βασιλέες, καὶ βασιλεῖς κατὰ κρᾶσιν, καὶ βασιλῆες ἰωνικῶς, καὶ βασιλῆς ἀττικῶς. οἱ δὲ παλαιοὶ ἀττικοί, ὡς γέγραπται, τὰ δύο εε τῆς ὀνομαστικῆς πληθυντικῆς τῶν εἰς ευς κυρίων εἰς ει μόνον κιρνῶσιν. οἷον, πηλέες, πηλεῖς. τυδέες, τυδεῖς. τῶν δὲ μὴ κυρίων, εἰς ει καὶ εἰς η. οἷον, βασιλέες, βασιλεῖς, καὶ βασιλῆς. ἱππέες, ἱππεῖς, καὶ ἱππῆς. ὅπερ οὕτως εὑρήσεις παρὰ τοῖς παλαιοῖς βιβλίοις. τῶν βασιλέων, καὶ βασιλήων ἰωνικῶς. Ἡ δοτικὴ, τοῖς βασιλεῦσι κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς, προσθέσει σ. βασιλεῦς, βασιλεῦσι. πηλεῦς, πηλεῦσι. ἱππεῦς, ἱππεῦσι. σεσημείωται ὁ υἱεύς, τοῖς υἱέσιν ἀττικῶς, καὶ δρομεύς, δρομέσι παρὰ Καλλιμάχῳ. Ἡ αἰτιατικὴ τοὺς βασιλέας, καὶ βασιλεῖς κατὰ κρᾶσιν, καὶ βασιλῆας ἰωνικῶς, καὶ βασιλῆς ἀττικῶς. ὅθεν καὶ τὸ τοῦ Σοφοκλέους, τούς τε δισσάρχας ὀλέσαντας βασιλῆς, διὰ τοῦ η εὕρηται γεγραμμένον παρὰ τοῖς παλαιοῖς βιβλίοις. ὁμοίως καὶ παρὰ Ξενοφῶντι, νομῆς. ἱππῆς. ὁ υἱεὺς δὲ, τοῦ υἱέος, τῷ υἱεῖ. οἱ υἱεῖς. τῶν υἱέων. τοῖς υἱέσι. τοὺς υἱέας καὶ υἱεῖς, εὕρηνται παρὰ τοῖς ῥήτορσι. καὶ ὁ υἱός. τοῦ υἱοῦ. τῷ υἱῷ. τὸν υἱὸν κοινῶς. καὶ τὰ ἑξῆς. καὶ ὁ υἷς, υἷος. καὶ συναιρέσει, υἷος. υἷϊ. καὶ υἷ. υἷα, καὶ υἷα. καὶ ἐπὶ τῶν λοιπῶν. ὅθεν καὶ υἷες ἀχαιῶν, καὶ υἷας παρὰ ποιηταῖς ἔθει ἰωνικῷ. Περὶ τῆς τετάρτης κλίσεως.

Ἡ τετάρτη κλίσις τῶν ὀλιγοπαθῶν δύο καταλήξεις ἔχει θηλυκῶν

ὀνομάτων, εἰς ως καὶ εἰς ω ληγόντων. οἷον, ἡ αἰδώς. ἡ λητώ. Ἰστέον δὲ ὅτι πάντα τὰ εἰς ω θηλυκὰ, ὀξύνονται. οἷον, λητώ. κλωθώ. ἐρατώ. καλυψώ. σαπφώ. ὁμοίως καὶ τὰ εἰς ως εὑρισκόμενα. ἠώς, καὶ αἰδώς. καὶ ἀγαθὴ δὲ τοῖς ἤθεσιν αἰδὼ, ὁ τοῦ θεοκρίτου διδάσκαλος φιλητᾶς εἴρηκε. τὸ δὲ ἡσιόδου δὼς δ᾽ ἀγαθὴ, ἄκλιτον. Ἡ λητώ. τῆς λητόος ἰωνικῶς, καὶ λητοῦς κοινῶς κατὰ κρᾶσιν. τῇ λητόϊ, καὶ κατὰ συναίρεσιν λητοῖ. τὴν λητόα, καὶ κράσει λητὼ ὀξυτόνως. αἱ γὰρ αἰτιατικαὶ τῶν εἰς ω ὀξύνονται ὁμοίως τῇ ὀνομαστικῇ. μόναι δὲ τῶν εἰς ως περισπῶνται. οἷον, αἰδῶ. ἠῶ. οἱ αἰολεῖς δὲ βαρύνουσι τὰς αἰτιατικὰς, λῆτω καὶ ἔρατω λέγοντες. οἱ δὲ ἴωνες εἰς ουν ποιοῦσι τὰς τοιαύτας αἰτιατικάς. ὅθεν καὶ ἀργοῦν εὑρήσεις παρὰ ἀπολλωνίῳ τῷ ποιητῇ, καὶ παρὰ τῷ ἰωνικωτάτῳ ἡροδότῳ ἰοῦν τὴν ἰνάχου, καὶ λητοῦν. Ἡ κλητικὴ, ὦ λητοῖ κοινῶς περισπωμένως, καὶ ὦ λητὼ παρὰ ποιηταῖς ὀξυτόνως. καὶ παρὰ ἀπολλωνίῳ ἐν τῷ γ΄ τῶν ἀργοναυτικῶν, εἰ δ᾽ ἄγε νῦν ἐρατὼ παρά θ᾽ ἵστασο, καί μοι ἔνισπε. τὰ λητώ. ταῖν λητοῖν. ὦ λητώ. αἱ λητοί. τῶν λητῶν. ταῖς λητοῖς. τὰς λητούς. ὦ λητοί. ἀσυναίρετα. εἰδέναι δὲ δεῖ ὅτι τινὲς ἐνόμισαν εἶναι κλίσιν τούτων ἰσοσύλλαβον ἁπλῆν αἰολικήν. οἷον, ἡ λητώ. τῆς λητῶς. τῇ λητῷ. τὴν λητῶν. ὅθεν καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ τοιαύτην ἔλαχον κλίσιν. Ἡ πέμπτη κλίσις τῶν ὀλιγοπαθῶν εἰς ας καὶ ρας λήγει ἰδιώματα ἔχουσα.

Περὶ τῆς πέμπτης κλίσεως.

Τὸ κρέας. τοῦ κρέατος κοινῶς, καὶ κρέαος ἰωνικῶς, καὶ κρέως ἀττικῶς. τῷ κρέατι κοινῶς, καὶ κρέαϊ ἰωνικῶς, καὶ κρέᾳ ἀττικῶς. τὸ κρέας. ὦ κρέας. τὼ κρέατε, καὶ κρέαε, καὶ κρέα. τοῖν κρεάτοιν κοινῶς, καὶ κρεάοιν ἰωνικῶς, καὶ κρεῷν ἀττικῶς. καὶ ἔτι κρεοῖν ἀνέγνων. ὦ κρέατε, καὶ κρέαε, καὶ κρέα. τὰ κρέατα κοινῶς, καὶ κρέαα ἰωνικῶς, καὶ κρέα ἀττικῶς, τοῦ α μακροῦ ὄντος. τὸ δὲ καλλιμάχειον ἐκεῖνο, κρέα λυγκὸς, ἀπὸ τοῦ κρέατα γέγονε κατὰ ἀποκοπήν. ὅθεν καὶ τὸ α βραχύνεται. ὁμοίως καὶ τὸ ὀρφικὸν ἐκεῖνο ἐν ἀργοναυτικοῖς, σῖτον καὶ μέθυ λαρὸν ἔχειν, σὺν δὲ κρέα πολλά. τῶν κρεάτων κοινῶς, καὶ κρεάων ἰωνικῶς, καὶ κρεῶν ἀττικῶς. τοῖς κρέασι. τὰ κρέατα, καὶ κρέαα, καὶ κρέα. ὦ κρέατα, καὶ κρέαα, καὶ κρέα. ὁμοίως καὶ τὸ γῆρας. τοῦ γήρατος κοινῶς, καὶ γήραος ἰωνικῶς, καὶ γήρως ἀττικῶς. τῷ γήρατι, καὶ γήραϊ, καὶ γήρᾳ. τὸ γῆρας. ὦ γῆρας. Ἔτι καὶ τὸ κέρας. τοῦ κέρατος, καὶ κέραος, καὶ κέρως. ὁ σχηματισμὸς δὲ τούτων πάντων σαφὴς ἐκ τοῦ κρέατος. καὶ περὶ μὲν τῶν συνῃρημένων ὀνομάτων, ἅλις. νῦν δὲ καὶ περὶ τοῦ ῥήματος τὸν αὐτὸν λέγωμεν τρόπον.

ΠΕΡΙ ῬΗΜΑΤΟΣ.

Ῥῆμά ἐστι μέρος λόγου κλιτὸν ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρων χρόνων δηλωτικὸν, μετ᾽ ἐνεργείας, ἢ πάθους, ἢ οὐδετερότητος προσώπων σημαντικόν. Πόσα δὲ αὐτῷ τὰ παρεπόμενα, καὶ ποσαχῶς συντάσσεται, ἐν τοῖς πρότερον εἴρηται. νῦν δὲ τεχνολογικῶς περὶ τοῦ σχηματισμοῦ αὐτοῦ λεκτέον. Περὶ τοῦ τύπτω.

Τύπτω ποίου μέρους λόγου ἐστί; ῥήματος. Ποίας ἐγκλίσεως; ὁριστικῆς. Ποίας διαθέσεως; ἐνεργητικῆς. Ποίου χρόνου; ἐνεστῶτος. Ποίας συζυγίας; πρώτης τῶν βαρυτόνων. Τεττάρων δὲ οὐσῶν, ἐν συνόψει πρώτη ἐστὶν ἡ πρὸ τοῦ ω, β, ἢ π, ἢ φ, ἢ πτ, ἔχουσα. ὧν ὁ μὲν μέλλων, διὰ ψ. ὁ δὲ παρακείμενος, τὸ φ ἔχει. Δευτέρα ἐστὶν ἡ πρὸ τοῦ ω, γ, ἢ κ, ἢ χ, ἢ κτ, ἢ ζ, ἢ δύο σσ ἔχουσα. ὧν ὁ μὲν μέλλων, διὰ ξ. ὁ δὲ παρακείμενος, τὸ χ ἔχει. Τρίτη ἐστὶν ἡ πρὸ τοῦ ω, δ, ἢ θ, ἢ δύο ττ, ἢ ζ, ἢ δύο σσ, ἢ ω καθαρὸν ἔχουσα. ὧν ὁ μὲν μέλλων, διὰ σ. ὁ δὲ παρακείμενος τὸ κ ἔχει. Τετάρτη ἐστὶν ἥτις τὰ τέσσαρα ἀμετάβολα ἔχει πρὸ τοῦ ω. ὧν ὁ μὲν μέλλων περισπώμενος τὸ αὐτὸ ἀμετάβολον φυλάττει μετὰ συστολῆς τῆς παραληγούσης. ὁ δὲ παρακείμενος, τὸ κ. Δεῖ δὲ εἰδέναι ἵνα ἡ δοκοῦσα ἐν τούτοις σύγχυσις εὔγνωστος γένοιτο, ὅσα τῶν εἰς ζω ἢ δύο σσ ῥημάτων, ποιοῦσι τὸν μέλλοντα εἰς ξω, τῆς δευτέρας ἔσωθεν συζυγίας. ὅσα δὲ εἰς σω, τῆς τρίτης. διακριτέον δὲ αὐτὰ οὕτως ὡς καὶ ἐν τῷ πρώτῳ προείρηται. Τὰ εἰς ζω ὑπερδισύλλαβα, εἰς σω τὸν μέλλοντα ποιοῦσιν. οἷον, δανείζω, δανείσω. συρίζω, συρίσω. βαδίζω, βαδίσω. χωρὶς τοῦ οἰμώζω, οἰμώξω. στηρίζω, στηρίξω. αἰάζω, αἰάξω. στενάζω, στενάξω. ὀλολύζω, ὀλολύξω. ἀλαπάζω, ἀλαπάξω. θρυλλίζω, θρυλλίξω. Τὰ δὲ δισύλλαβα ποτὲ μὲν εἰς ξω τὸν μέλοντα ποιεῖ. οἷον, παίζω, παίξω, καὶ παίσω ἀττικῶς. κράζω, κράξω. σφάζω, σφάξω. ποτὲ δὲ εἰς σω. οἷον, κτίζω, κτίσω. φράζω, φράσω. πρίζω, πρίσω. ἵζω, ἵσω. Ἔτι τὰ εἰς δύο σσ, ἃ παρ᾽ ἀττικοῖς διὰ δύο ττ γράφεται, εἰς ξ τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, καὶ ὀρύττω, ὀρύξω. νύσσω, καὶ νύττω, νύξω. πλὴν τῶν σεσημειωμένων εἰς σ τὸν μέλλοντα ποιούντων. ἃ τῆς τρίτης ἔσωθεν συζυγίας. οἷον, πλάσσω, καὶ πλάττω, πλάσω. ὅθεν ἀόριστος ἔπλασα. ἐρέσσω, ἐρέσω. ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω. πάσσω, πάσω. λεύσσω, λεύσω. θλάσσω, θλάσω. ἔτι καὶ ἀπὸ τοῦ ἀνύω, ἀνύτω, ἔπειτα ἀνύττω. καὶ ἀπὸ τοῦ ἀρύω, ἀρύτω, καὶ ἀρύττω. ὅθεν καὶ τὸν μέλλοντα εἰς σω ποιοῦσι. Καθόλου δὲ εἰδέναι δεῖ ὅτι τελικὰ σύμφωνα πάντων τῶν

μελλόντων εἰσὶ τρία, ψ, ξ, σ, πλὴν τῶν ἀμεταβόλων. καὶ τρία τῶν παρακειμένων, φ, χ, κ. εἰ μὲν ὁ μέλλων τὸ ψ ἔχει, ὁ παρακείμενος τὸ φ. τύψω, τέτυφα. εἰ δὲ ὁ μέλλων τὸ ξ, ὁ παρακείμενος τὸ χ. λέξω, λέλεχα. εἰ δὲ ὁ μέλλων τὸ σ, ὁ παρακείμενος τὸ κ. πλήσω, πέπληκα. καὶ τὰ εἰς ἀμετάβολον δὲ λήγοντα, κοινῶς μὲν αὐτὸ φυλάττουσιν ἐν τῷ μέλλοντι. αἰολικῶς δὲ εἴτε δωρικῶς, τὸ σ. ὅθεν ὀρῶ, ὄρσω. κερῶ, κέρσω. ἀφ' οὗ τὸ ἀπέκερσεν. ἐλῶ, ἔλσω. Ἔτι καὶ τὰ περισπώμενα εἰς σω ποιοῦσι τὸν μέλλοντα. ποιῶ, ποιήσω. καὶ τὰ εἰς μι, τίθημι, θήσω. ὅθεν καὶ τὸν παρακείμενον εἰς κα ποιοῦσιν. Ἔτι τριῶν ὄντων τῶν ἀρχικῶν χρόνων, ἐνεστῶτος, παρακειμένου, καὶ μέλλοντος, ἐξ ὧν γίνονται ἄλλοι τρεῖς, παρατατικὸς, ὑπερσυντέλικος, καὶ ἀόριστος πρῶτος, τρεῖς συγγενεῖς αὐτῶν φαίνονται. ἐνεστῶτος, καὶ παρατατικοῦ. παρακειμένου, καὶ ὑπερσυντελίκου. ἀορίστου, καὶ μέλλοντος. ὅθεν ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος γινόμενος, φυλάττει τὸ σύμφωνον αὐτοῦ. γράφω, ἔγραφον. ὁ ὑπερσυντέλικος, τὸ τοῦ παρακειμένου, γέγραφα, ἐγεγράφειν. ὁ ἀόριστος πρῶτος, τὸ τοῦ μέλλοντος. τύψω, ἔτυψα. ὁ δὲ μέσος παρακείμενος φυλάττει τὸ σύμφωνον τοῦ ῥηματικοῦ τὸ ἀπὸ τοῦ ἐνεστῶτος γινόμενον. τύπτω, τύπος, τέτυπα. ὁ δὲ μέσος ὑπερσυντέλικος, τὸ τοῦ μέσου παρακειμένου. τέτυπα, ἐτετύπειν. ὁ δὲ δεύτερος ἀόριστος, τὸ τοῦ μέσου παρακειμένου. τέτυπα, ἔτυπον. ὁ δὲ μέλλων δεύτερος, τὸ τοῦ δευτέρου ἀορίστου. ἔτυπον, τυπῶ. εἰ δὲ ἄλλως εὑρεθῇ, κατὰ διάλεκτον γίνεται. ὥσπερ εἴξασιν ἀντὶ ἐοίκασι βοιωτικῶς. καὶ, οἴδ' ἶξον ἔσλακε δαίμονα δῖαν, ἀντὶ ἶκον. Ἔτι πάλιν ῥητέον καὶ τοῦτο εἰ καὶ πρότερον εἴρηται, ἵνα μὴ ἄωρον φανῇ τὸ βιβλίον. τὰ δὲ ἐν τῷ πρώτῳ ῥηθέντα, τούτῳ ἀνήκει. ἵνα δὲ τοῖς φίλοις εὐπειθὴς γένωμαι, ἐκεῖ ἐξέδωκα, καὶ νῦν πάλιν ἐπιμελέστερον τοὺς κανόνας ἐκθήσομαι.

Πᾶν ῥῆμα οἵας ἂν εἴη συζυγίας καὶ καταλήξεως, ἢ ἀπὸ φωνήεντος ἄρχεται, ἢ διφθόγγου, ἢ συμφώνου. εἰ μὲν οὖν ἀπὸ φωνήεντος, ἢ μεταβολικοῦ, ἢ ἀμεταβόλου. εἰ μὲν οὖν ἀπὸ ἀμεταβόλου, δηλονότι, η̄, ῑ, ῡ, ω̄, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρῳχημένοις. οἷον, ἠχῶ, ἤχουν. ἤχηκα. ἠχήκειν. ἤχησα. ἰξεύω, ἴξευον. ἴξευκα. ἰξεύκειν. ἴξευσα. ὑβρίζω, ὕβριζον. ὕβρικα. ὑβρίκειν. ὕβρισα. ὠφελῶ, ὠφέλουν. ὠφέληκα. ὠφελήκειν. ὠφέλησα. ταῦτά τοι καὶ ἀμετάβολα προσηγόρευται. τὸ δὲ ὑβρίζω, καὶ ἰξεύω, καὶ τὰ ὅμοια, ἐν μὲν τῷ ἐνεστῶτι, θέσει μακρὸν τὸ δίχρονον ἔχει. ἐν δὲ τοῖς παρῳχημένοις, φύσει μακρὸν τῷ λόγῳ τῆς

αὐξήσεως. Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ, δηλονότι, α, ε, ο, γίνεται τροπὴ ἐν τοῖς παρῳχημένοις, ἣν χρονικὴν αὔξησιν καλοῦμεν τοῦ βραχέος εἰς μακρὸν μεταβαλλομένου. καὶ εἰ μὲν ἄρχεται τὸ θέμα ἀπὸ τοῦ α, τρέπεται κοινῶς τὸ α εἰς η. οἷον, ἀνύω, ἤνυον. ἤνυκα. ἠνύκειν. ἤνυσα. πλὴν τῶν σεσημειωμένων, ἀηθέσσω, ἀήθεσσον. ἀηδίζομαι, ἀηδιζόμην, διὰ τὴν ἐπαλληλίαν τῶν δύο ηη. ἄω τὸ πνέω, ἆον, ἵνα μὴ συνεμπέσῃ τῷ ἦον. ἀΐω τὸ ἀκούω, ἄϊον, ἵνα μὴ συνεμπέσῃ τῷ ἤϊον, τῷ ἐπορευόμην. Εἰ δὲ ἄρχεται ἀπὸ τοῦ ε, τρέπεται τὸ ε εἰς η. ἐλεῶ, ἠλέουν. ἠλέηκα. ἠλεήκειν. ἠλέησα. πλὴν τῶν σεσημειωμένων δισυλλάβων, καὶ ὑπερδισυλλάβων, ἐν οἷς προστίθεται ι ἐν τοῖς παρῳχημένοις. τούτων δὲ ὁ κανὼν κατὰ παλαιοὺς ῥιζοῦχός πο τυγχάνει γε ὤν. Τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ὑπερδισύλλαβα μὲν ὄντα, τρέπουσι τὸ ε εἰς η ἐν τοῖς παρῳχημένοις. ἑρμηνεύω, ἡρμήνευον. ἐλαύνω, ἤλαυνον. χωρὶς τοῦ ἐθίζω, εἴθιζον, καὶ ἤθιζον ὡς γέγραπται μετὰ τοῦ προσγεγραμμένου ι. ἑστιῶ, εἱστίων. ἐρύω, εἴρυον. ἑλκύω, εἵλκυον. ἑρπύζω, εἵρπυζον. ἐργάζομαι, εἰργαζόμην. ἕπομαι, εἱπόμην. ἔτι καὶ τὸ εἱστήκειν εὕρηται ἀπὸ τοῦ ἑστήκω. Δισύλλαβα δὲ ὄντα, τινὰ μὲν, τρέπουσι τὸ ε εἰς η εἰ περισπᾶται. ἐλῶ, ἤλων. ἑλκῶ τὸ θαυματίζω, ἥλκουν. χωρὶς τοῦ ἐῶ, εἴων. ἐρῶ, εἴρουν. τινὰ δὲ τῶν δισυλλάβων βαρυτόνων προσλαμβάνουσιν ι. ἔχω, εἶχον. ἕλω, εἷλον. ἕπω, εἶπον. ἕλκω, εἷλκον. ἔθω, εἶθα. καὶ ἀττικῶς, εἴωθα. ἕω, εἷκα. ὅθεν τὸ εἷμαι, καὶ εἱμένος. ἕζω, εἷσα. Εἰ δὲ ἄρχεται ἀπὸ τοῦ ο μικροῦ τὸ θέμα, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα. ὀνομάζω, ὠνόμαζον. ὠνόμακα. ὠνομάκειν. ὠνόμασα. ταῦτα δὲ παρὰ ποιηταῖς ἀναύξητα, εἴτε ἄτρεπτα μένουσι διὰ τὸ μέτρον ἔθει ἰωνικῷ. ἄκουσεν, ἀντὶ ἤκουσεν. ἔλαυνεν, ἀντὶ ἤλαυνεν. ὀνόμηνεν, ἀντὶ ὠνόμηνεν. Ὅτε δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν τριῶν τούτων μεταβολικῶν φωνηέντων, οἱ ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐνεργητικὸν, παθητικὸν, καὶ μέσον, ἵνα μὴ ἀπορῶσι παρακειμένων ἀπὸ φωνήεντος ἀρχομένων, τὰ ἀρκτικὰ δύο γράμματα τοῦ ἐνεστῶτος προστιθέντες τῷ κοινῷ παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν ἐκ μακρᾶς εἰ ᾖ ὡς τὰ πολλὰ συστέλλοντες ἐπὶ τῶν τετρασυλλάβων. ἀλείφω, ἤλειφα κοινῶς, καὶ ἀλήλιφα ἀττικῶς. ἐλεύθω, ἤλευκα, ἤλευθα μέσος, καὶ ἀττικῶς, ἐλήλυθα. ἐνέγκω, ἤνεχα, καὶ ἐνήνοχα. ὀμῶ, ὤμοκα, καὶ ὀμώμοκα. ἀλείφομαι, ἤλειμμαι, καὶ ἀλήλιμμαι. ἐν ἐνίοις δὲ μόνον προστίθεται ε ἐν παρατατικῷ καὶ παρα

κειμένῳ. οἷον, ὤρων, ἑώρων. ὤρακα, ἑώρακα. ὠνοῦμαι, ἐωνούμην, ἐώνημαι. τὸ δὲ ξυνέηκε καὶ ἔειπε, ποιητικά. Εἰσὶ δὲ καί τινα ὧν ἡ τρίτη συστέλλεται. ἀλήλιμαι, ἀλάλημαι. ὑφήφασμαι. ἐρήρεικα, ἀπὸ τοῦ ἐρείδω, ἤρεικα, πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήρικα, ἀπὸ τοῦ ἐρίζω γινομένου. Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ διφθόγγου, ἢ ἀπὸ τρεπτῆς, ἢ ἀπὸ ἀτρέπτου. εἰ μὲν οὖν ἀπὸ ἀτρέπτου, δηλονότι, ευ, ει, ου, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρῳχημένοις. οἷον, εὕδω, εὗδον, καὶ ηὗδον ἀττικῶς. εἰκάζω, εἴκαζον, καὶ ᾔκαζον ἀττικοί. οὐρῶ, οὔρουν. Εἰ δὲ ἄρχεται ἀπὸ τρεπτῆς, δηλονότι, αι, αυ, οι, γίνεται ἡ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων. εἰ μὲν ἀπὸ τοῦ αι, τρέπεται τὸ α εἰς η, καὶ τὸ ι ὑπογράφεται. ὅθεν καὶ τὸ ῃ δίφθογγος οὐ καταχρηστική. αἴρω, ἦρον. ἦρκα, ἤρκειν. ἦρα ἀόριστος πρῶτος ἀνυπόγραφος, ἀπὸ τοῦ ἀρῶ μέλλοντος γινόμενος. ὁμοίως καὶ τὰ ἀπ᾽ αὐτοῦ, ἐπαίρω, ἐπαρῶ, ἐπῆρα χωρὶς τοῦ ι. εἰ δὲ ἀπὸ τῆς αυ, τρέπεται τὸ α εἰς η. αὐλίζω, ηὔλιζον. ηὔλικα. ηὐλίκειν. ηὔλισα. εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα, καὶ τὸ ι ὑπογράφεται. οἰκτείρω, ᾤκτειρον. ᾤκτειρα. πλὴν τῶν σεσημειωμένων ἀτρέπτων. οἰῶμαι. οἰώθη, τὸ ἐμονώθη. οἰμῶ, οἴμησα. οἰνῶ, οἴνησα. οἰνίζω, οἴνιζον. οἰστρῶ, οἴστρησα. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπουν. οἰωνοπολῶ, οἰωνοπόλουν. οἰακίζω, οἰάκιζον. οἰακονομῶ, οἰακονόμουν. οἰακοστροφῶ, οἰακοστρόφουν. ἔνιοι δὲ καὶ τὸ οἰδαίνω καὶ οἰκουρῶ ἐσημειώσαντο. Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ ῥῆμα, ὁ παρατατικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσλαμβάνουσι τὸ ε, ὅπερ αὔξησιν συλλαβικὴν καλοῦμεν. γράφω, ἔγραφον. ἔγραψα. ἔγραφον. οἱ δὲ ἀττικοὶ αὔξησιν ἐπ᾽ αὐξήσει ποιοῦντες, ἠδυνάμην, ἀντὶ ἐδυνάμην, καὶ ἠβουλόμην, ἀντὶ ἐβουλόμην, καὶ ἤμελον, ἀντὶ ἔμελον λέγουσιν. Ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει ὡς ἐπὶ τῶν ἀπὸ φωνήεντος ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. ἠγόραζον, ἠγόρακα. ὠνόμαζον, ὠνόμακα. Ὅτε δὲ ἄρχεται ἀπὸ μακρᾶς θέσει ὡς ἐπὶ τῶν ἀπὸ δύο συμφώνων ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. οἷον, ἔφθειρον, ἔφθαρκα. ἔσπειρον, ἔσπαρκα. Ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς, ὡς ἐπὶ τῶν ἀπὸ συμφώνου ἀρχομένων, ἀναδιπλασιάζεται ὁ παρακείμενος διὰ τοῦ αὐτοῦ πρώτου συμφώνου τοῦ ἐνεστῶτος μετὰ τοῦ ε. ἔτυπτον, τέτυφα. ἔλεγον, λέλεχα. ἔγραφον, γέγραφα. ἔπλυνον, πέπλυκα. χωρὶς τῶν ἀρχομένων ἀπὸ γν, καὶ γρ. γνωρίζω, ἐγνώριζον. ἐγνώρικα. γρηγορῶ, ἐγρηγόρουν.

ἐγρηγόρουν. ἐγρηγόρηκα. διὰ γὰρ κακοφωνίαν τῶν δύο ρ̄ οὐκ ἀναδιπλασιάζονται. καὶ ἔτι τῶν ἀρχομένων ἀπὸ ρ διὰ τὴν αὐτὴν αἰτίαν. ῥαπίζω, ἐρράπικα. διπλοῦν δὲ τὸ ρ ἐν τούτοις παρὰ τοῖς ῥήτορσι. παρὰ ποιηταῖς δὲ πολλάκις διὰ τὸ μέτρον ἐκβάλλεται τὸ ἐν ἐν τοῖς παρῳχημένοις. τὸ δὲ ῥερυπωμένα ἀντὶ ἐρρυπωμένα, κατὰ μετάθεσιν. καὶ ῥεραπισμένῳ νώτῳ, ἀντὶ ἐρραπισμένῳ. καὶ ῥερίφθαι ἔπος, ἀντὶ ἐρρίφθαι παρὰ Πινδάρῳ. καὶ ἄλλα ποιητικὰ διὰ τὸ μέτρον ἐγένετο. καὶ ἔτι τῶν ἀρχομένων ἀπὸ διπλῶν, ζ, ξ, ψ. ζῶ, ἔζηκα. ξέω, ἔξεκα. ψάλλω, ἔψαλκα. Τὰ δὲ ἀπὸ δασέων, θ, φ, χ ἀρχόμενα, ἀναδιπλασιάζονται μὲν, τρέπονται δὲ τὰ δασέα εἰς τὰ ἀντιστοιχοῦντα ψιλά. τὸ μὲν θ, εἰς τ τρέπεται. θεωρῶ, τεθεώρηκα. τὸ φ, εἰς π. φωνῶ, πεφώνηκα. τὸ δὲ χ, εἰς κ. χωνεύω, κεχώνευκα. Ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ λ, ἢ μ, οἱ ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐκβολῇ τοῦ πρώτου ἀμεταβόλου, καὶ προσλήψει τοῦ ι. λήβω, λήψω, λέληφα κοινῶς, καὶ εἴληφα ἀττικῶς. μείρομαι, μεροῦμαι, μέμαρμαι, καὶ εἵμαρμαι. ὅθεν καὶ εἱμαρμένη. Ὅτε δὲ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, μετὰ τοῦ ἀναδιπλασιασμοῦ βραχεῖαν ἔχει τὴν ἄρχουσαν, τέτυφα. ἢ κοινὴν, δύο συμφώνων ἑπομένων. ὧν τὸ μὲν πρῶτον, ἄφωνον. τὸ δὲ δεύτερον, ἀμετάβολον. γέγραφα. πέπλυκα. σεσημείωται τὸ μέμνημαι, κέκτημαι, καὶ ἔκτημαι εὕρηται. πέπταμαι, πέπτωκα, εἰ καὶ μὴ ἔχωσιν ἀμετάβολον μετὰ τὸ ἄφωνον, ὅμως ἀναδιπλασιάζονται ὡς τὰ ποιοῦντα κοινὴν συλλαβήν. Ἔτι εἰ μὲν ὁ μέλλων ἄρχεται ἀπὸ συμφώνου, ἰσοσυλλαβεῖ αὐτῷ ὁ κοινὸς παρακείμενος. ἀγοράσω, ἠγόρακα. ὀμόσω, ὤμοκα. εἰ δὲ ἀπὸ συμφώνου, περιττεύει. τύψω, τέτυφα. ποιήσω, πεποίηκα. ὁ ὑπερσυντέλικος ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἰσοσυλλαβεῖ καὶ ὁμοχρονεῖ τῷ παρακειμένῳ. ἠγόρακα, ἠγοράκειν. ἔφθαρκα, ἐφθάρκειν. ἐν δὲ τοῖς ἀπὸ συμφώνου ἀρχομένοις ὑπὲρ τὰς τοῦ παρακειμένου συλλαβὰς, προσλαμβάνεται αὔξησιν συλλαβικήν. τέτυφα, ἐτετύφειν. γέγραφα, ἐγεγράφειν. μεγεθύνεται δὲ πολλάκις ἐν τοῖς ἀττικοῖς τοῖς ἀπὸ βραχείας ἀρχομένοις. ὀμώμοκα, ὠμωμόκειν. ἀκήκοα, ἠκηκόειν. τὸ δὲ ἐλήλυκα, ἐληλύκειν, ἐλήλυθα, ἐληλύθειν, ἀλήλιφα, ἀληλίφειν, οὐ μεγεθύνονται. καὶ ταῦτα μὲν ἐκ τοῦ πολυμαθοῦς Ἡρωδιανοῦ περὶ τῶν παρῳχημένων γενικῶς. νῦν δὲ εἰδικῶς περὶ πάντων τῶν χρόνων τεχνολογητέον. Περὶ ἐνεστῶτος.

Ὁ ἐνεστὼς, τύπτω. τὸ τ ψιλόν. τινὰ γὰρ τῶν εἰς πτω τῷ υ παρα

λέγουσι. τύπτω. κρύπτω. κύπτω. δρύπτω. ἐπὶ δὲ τοῦ τυ, ὀξεῖα. μακρὸν γὰρ πρὸ μακροῦ προξύνεται. τὸ πτῶ, μέγα. πᾶν γὰρ ῥῆμα εἰς ω εἴτε βαρύτονον, εἴτε περισπώμενον, διὰ τοῦ ω μεγάλου γράφεται. ἔστι δὲ καὶ τυπτέω περισπώμενον, τυπτήσω ἀττικῶς. τὸ δεύτερον τύπτεις, ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ ω εἰς εις. καὶ αἰολικῶς τύπτης, τῆς ει εἰς η τρεπομένης. οἱ δὲ δωριεῖς τὸ ι τῆς διφθόγγου ἐκβάλλοντες, τύπτες λέγουσιν. ὅθεν καὶ Θεόκριτος, ἀδὺ δὲ καὶ τὺ συρίσδες, ἀντὶ συρίζεις. τὰ δὲ δεύτερα καὶ τρίτα τῶν ὁριστικῶν, διὰ τῆς ει διφθόγγου γράφεται. τὰ δὲ τῶν εὐκτικῶν, διὰ τῆς οι διφθόγγου. τὰ δὲ τῶν ὑποτακτικῶν, διὰ τοῦ η ὑπογεγραμμένου. τὸ τρίτον τύπτει, ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. καὶ αἰολικῶς, τύπτη διὰ τοῦ η. τὸ δυϊκὸν πρῶτον οὐκ ἔστιν, ὅτι τὸ πληθυντικὸν πρῶτον πρόσωπον εἰς μεν λήγει. τὸ δεύτερον καὶ τρίτον ὁμοφώνως ἀπὸ τοῦ πληθυντικοῦ δευτέρου ἀμοιβῇ τοῦ τε εἰς τον, τύπτετε, τύπτετον, τύπτετον. οἱ δὲ αἰολεῖς ἀριθμὸν δυϊκὸν οὐκ εἶχον. οὓς καλῶς ποιήσαντες οἱ ῥωμαῖοι ἐμιμήσαντο. οἱ δὲ ἀθηναῖοι ἐφεῦρον. ὅθεν καὶ ὁ δυϊκὸς ἀριθμὸς ἀπὸ τοῦ πληθυντικοῦ σχηματίζεται. εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ ἑνικοῦ σχηματίσειας. ὁμοφωνοῦσι δὲ τὰ δυϊκὰ, ὡς εἴρηται, ὅτι τὸ πληθυντικὸν τρίτον πρόσωπον εἰς ι ἢ εἰς αι λήγει. τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ πρώτου, συστολῇ τοῦ ω εἰς ο, καὶ προσθέσει τοῦ μεν. τύπτω, τύπτομεν. καὶ δωρικῶς, τύπτομες, τροπῇ τοῦ ν εἰς σ. τὸ πληθυντικὸν δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ο εἰς ε, καὶ τοῦ μεν εἰς τε. τύπτομεν, τύπτετε. τὸ τρίτον τύπτουσιν, ὁμοφώνως τῇ δοτικῇ πληθυντικῇ τῆς μετοχῆς ἀπ' αὐτῆς γινόμενον, ἢ ἀπὸ τῶν δυϊκῶν, ἀμοιβῇ τοῦ ετον εἰς ουσι. καὶ δωρικῶς, τύπτοντι, ὡς παρ πλέκοντι παρὰ Πινδάρῳ, ἀντὶ πλέκουσι. καὶ βοῶντι, ἀντὶ βοῶσι. καὶ γελῶντι, ἀντὶ γελῶσι. τὰ δὲ εἰς σι καὶ εἰς ε τρίτα πρόσωπα ἑπομένου μὲν φωνήεντος, ἐφέλκουσι. συμφώνου δὲ, οὔ. ἀττικῶς δὲ, καὶ συμφώνου ἐπιφερομένου. ἰωνικῶς δὲ, οὔ.

Περὶ παρατατικοῦ.

Ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος, ἀμοιβῇ τοῦ ω εἰς ο, καὶ προσθέσει τοῦ ε τῆς συλλαβικῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἀπὸ συμφώνου ἄρχεται, τύπτω, ἔτυπτον, ἢ ἀπὸ τῆς γενικῆς μετοχῆς, ἐκβολῇ τοῦ τος, τύπτοντος, ἔτυπτον. καὶ κατ' ἀφαίρεσιν, τύπτον παρὰ ποιηταῖς. τὸ δεύτερον ἔτυπτες ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ον εἰς ες.

τὸ τρίτον ἔτυπτεν, ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. καὶ κατ᾽ Ἴωνας, τύπτεσκεν. οἱ γὰρ αὐτοὶ ἀφαιροῦντες τὸ ε τῆς αὐξήσεως, καὶ προστιθέντες τῷ τρίτῳ προσώπῳ τοῦ παρατατικοῦ καὶ ἀορίστου δευτέρου τῶν βαρυτόνων πρὸ τοῦ ε σκ, τύπτεσκε λέγουσι, καὶ λείπεσκε, καὶ λάβεσκεν. ὁμοίως καὶ τῷ τρίτῳ τῆς πρώτης συζυγίας τῶν περισπωμένων, καὶ τῆς πρώτης τῶν εἰς μι. ποίεσκε, τίθεσκεν. ὁ δὲ παρατατικὸς τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὸ α ἔχει. μυκῶ, ἔμυκον, μύκεσκεν. ὡσαύτως καὶ ὁ παρατατικὸς καὶ ἀόριστος δεύτερος τῶν εἰς μι. ἵστημι, ἵστης, ἔστην, ἔστης, στάσκε. τὰ δὲ τῆς τρίτης τῶν περισπωμένων καὶ τῶν εἰς μι, τὸ ο μικρὸν ἔχουσιν. ἐχρύσουν, χρύσοσκεν. ἐδίδων, δίδοσκε. τὰ δὲ τῆς τετάρτης τῶν εἰς μι, συστέλλει μόνον τὸ δίχρονον πρὸ τοῦ σκε. ἐζεύγνυ, ζεύγνυσκεν. ἔδυ, δύσκεν. ὁ δὲ ἀόριστος πρῶτος βαρυτόνος, καὶ περισπωμένος, ἔτι τῶν εἰς μι, τὸ α ὀφειλόμενον ἔχει ἐν τῷ τρίτῳ. οἷον, πλάσασκε. γράψασκε. ποιήσασκε. βοήσασκε. χρυσώσασκε. καὶ ταῦτα μὲν οἱ Ἴωνες. οἱ δὲ ποιηταὶ, κατὰ μίμησιν τούτων καὶ τοῖς τρισὶ προσώποις προστιθέασι σκε, χαίρεσκον, χαίρεσκες, χαίρεσκε λέγοντες. Τὸ δυϊκὸν δεύτερον ὁμοίως ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ, ἀμοιβῇ τοῦ τε εἰς τον. τύπτετε, τύπτετον. Τὸ δυϊκὸν τρίτον, τυπτέτην ἀνομοιοκαταλήκτως τῷ τρίτου τοῦ πληθυντικοῦ, οὔτε εἰς σι, οὔτε εἰς αι λήγοντος. Τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ πρώτου προσθέσει με. ἔτυπτον, ἐτύπτομεν. καὶ δωρικῶς, ἐτύπτομες. Τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ μεν εἰς τε, καὶ τοῦ ο εἰς ε. ἐτύπτομεν, ἐτύπτετε. Τὸ τρίτον πληθυντικὸν ἔτυπτον ὁμοφώνως τῷ ἑνικῷ πρώτῳ. ὅτε γὰρ ἡ μετοχὴ τοῦ παρῳχημένου εἰς ως λήγει ὀξυτονουμένη, τότε τὸ πληθυντικὸν τρίτον ἰσοσυλλαβεῖ τῷ πρώτῳ. τετύφαμεν, τετύφασιν, ἐτετύφειμεν, ἐτετύφεισαν, ὅτι ὁ τετυφώς. ὅτε δὲ μὴ, τὸ τρίτον ἐλλείπει τοῦ πρώτου μιᾷ συλλαβῇ. ἐτύπτομεν, ἔτυπτον. ἐτύψαμεν, ἔτυψαν. ἐτύπομεν, ἔτυπον. σχηματίζεται δὲ ἀπὸ τῆς μετοχικῆς γενικῆς, ἐκβολῇ τοῦ τος.

Περὶ παρακειμένου.

Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος, τύψω, τέτυφα. ὅτε γὰρ ὁ μέλλων τὸ ψ, ὁ παρακείμενος τὸ φ ἔχει. ὅτε δὲ τὸ ξ, ὁ παρακείμενος τὸ χ. ὅτε δ᾽ ἐκεῖνος τὸ σ, ὁ παρακείμενος τὸ κ. ὅτε δ᾽ ὁ μέλλων πρὸ τοῦ ω ἀμετάβολον ἔχει, τότε καὶ ὁ παρακείμενος αὐτὸ ἔχει πρὸ τοῦ κα. οἷον, ψαλῶ, ἔψαλκα. κερῶ, κέκαρκα. μολυνῶ, μεμόλυγκα,

τοῦ ν εἰς γ τραπέντος διὰ τὴν ἐπιφορὰν τοῦ κ. πλὴν τῶν συσημαινομέ-
νων ἡμαρτημένων. νενέμηκα. δεδέμηκα. βεβρέμηκα. κεκάμηκα. τε-
τέμηκα. τετρέμηκα, τοῦ η πλεονάσαντος διὰ τὸ μηδέποτε τὸ μ πρὸ τοῦ
κ εὑρίσκεσθαι. ἐξαιροῦνται τὰ εἰς νω δισύλλαβα ἢ ι ἢ ει διφθόγγῳ ἢ υ
παραλήγοντα, ἀποβάλλοντα τὸ ἀμετάβολον πρὸ τοῦ κ. κρίνω,
κέκρικα. κτείνω, κέκτακα. πλύνω, πέπλυκα. παρὰ ποιηταῖς δὲ
προστίθεται, ὅθεν ἐκλίνθη, καὶ διακεκλιμέναι ἤδη. Ἔτι ὁ πα-
ρακείμενος τὴν αὐτὴν τῷ μέλλοντι παραλήγουσαν ἔχει. τύψω, τέ-
τυφα. γράψω, γέγραφα. πλὴν τῶν δισυλλάβων τῆς τετάρτης
συζυγίας καθ' ἡμᾶς τῶν ε παραληγόντων, ἐν τούτοις τρέπεται τὸ ε
εἰς α ἐν τῷ παρακειμένῳ. σπερῶ, ἔσπαρκα. στελῶ, ἔσταλκα. καὶ ἔστι
χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν ε
παραληγόντων, ἐν τούτοις γὰρ τρέπεται κατὰ ἀττικοὺς τὸ ε εἰς ο.
οἷον, πέμψω, πέπεμφα κοινῶς, καὶ πέπομφα ἀττικῶς. στρέψω, ἔστρε-
φα, καὶ ἔστροφα. θρέψω, τέθρεφα, καὶ τέτροφα. βρέξω, βέβρεχα, καὶ
βέβροχα. λέξω, λέλεχα, καὶ λέλοχα ψευδαιολικῶς. Τοῦ δὲ τέτυ-
φα, καὶ κέκυφα τὸ κυ μακρὸν, ἀπὸ τοῦ μέλλοντος. τοῦ δὲ τέθυκα καὶ
λέλυκα βραχὺ, καίπερ τοῦ θύσω καὶ λύσω ἐκτεινομένου.
Ὁ δὲ εἰς κα παρακείμενος μακρᾷ παραλήγων, εἰ ἀποβάλλει τὸ κ,
συστέλλει τὴν παραλήγουσαν ἔθει ἰωνικῷ. βέβηκα, βέβαα. τέθνηκα,
τέθναα. δέδοικα, δέδια. γέγηκα, γέγαα. καὶ ἰωνικῶς τετύφεα, ὥσ-
περ ἑστήκεα, ἀντὶ ἕστηκα. Τὸ δεύτερον τέτυφας, ἀπὸ τοῦ πρώτου, προ-
σθέσει σ. τέτυφα, τέτυφας. Τὸ τρίτον ἀπὸ τοῦ δευτέρου ἢ πρώτου, τροπῇ
τοῦ α εἰς ε. Τὰ δυϊκὰ, τετύφατον, τετύφατον, ὁμοφώνως ἐκ τοῦ
πληθυντικοῦ δευτέρου ὁμοίως τῷ ἐνεστῶτι, ἢ ἀπὸ τοῦ ἑνικοῦ πρώτου
προσθέσει τον. Τὸ πληθυντικὸν πρῶτον τετύφαμεν, ἀπὸ τοῦ ἑνι-
κοῦ πρώτου, προσθέσει μεν. καὶ δωρικῶς τετύφαμες, ὥσπερ,
τὸν πᾶνα δεδοίκαμες. Τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ
μεν εἰς τε, τετύφαμεν, τετύφατε. Τὸ τρίτον εἰς σι, τετύφασι, τοῦ
σι βραχέος ὄντος, καὶ τοῦ α μακροῦ. τὰ γὰρ εἰς ασι τρίτα, ἐκτείνουσι
τὸ α. τετύφασι, τετύπασι. πλὴν τοῦ λελόγχασι, καὶ ἑτέρων παρὰ
ποιηταῖς διὰ τὸ μέτρον συνεσταλμένων. οἱ δὲ δωριεῖς ἑστήκαντι λέ-
γουσιν, ἀντὶ ἑστήκασι. καὶ ὠδήκαντι, ἀντὶ ὠδήκασι.

Περὶ τοῦ μέσου παρακειμένου.

Ὁ μέσος παρακείμενος τέτυπα, διὰ τοῦ π ῥηματικοῦ τοῦ
ἀπὸ τοῦ ἐνεστῶτος. περὶ οὗ οὔπω εἰδέναι δεῖ, ὅτι ὁ ἐνεστὼς δι' ἑνὸς α

περὶ λοιποῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος κοινὸς παρακείμενος. οἷον, λέγω, λέλογα. πείθω, πέποιθα. λείπω, λέλοιπα. ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος φυλάττει τὸ σύμφωνον τοῦ ῥηματικοῦ, ὃ παρὰ τοῦ ἐνεστῶτος παράγεται. ἀπὸ τοῦ κλέπτω, κλοπὴ τὸ ῥηματικόν, ὁ μέσος παρακείμενος, κέκλοπα. ἀπὸ τοῦ τύπτω, τύπος τὸ ῥηματικόν, ὁ μέσος παρακείμενος, τέτυπα. ἀπὸ τοῦ βλάπτω ἢ βλάβω, βλάβη, ὁ μέσος παρακείμενος, βέβλαβα. εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἀπὸ τοῦ ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ μέσος παρακείμενος. οἷον, ῥέγκω, ῥόγκος, ὁ μέσος παρακείμενος, ἔρρογκα. Ὅτε δὲ ὁ ἐνεστὼς πρὸ τοῦ ω, ζ, ἢ δύο σσ ἔχων εἰς ξω τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ γ ἔχει. κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα. Ὅτε δὲ ὁ ἐνεστὼς πρὸ τοῦ ω, ζ ἔχων εἰς σω τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ δ ἔχει, φράζω, φράσω, πέφραδα. Ὅτε δὲ ὁ ἐνεστὼς καθαρῶς προφέρεται, καὶ ὁ μέσος παρακείμενος ὁμοίως, ἀκούω, ἤκουα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ μέσος τῷ πρώτῳ. τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. Ὅτε ᾖ ἐν δισυλλάβῳ μέλλοντι εὑρεθῇ ε, εἰ μὲν μόνον, τρέπεται εἰς ο μικρὸν ἐν τῷ μέσῳ παρακειμένῳ. λέξω, λέλογα. τέξω, τέτοκα. γενῶ, γέγονα. εἰ δὲ ἐν τῇ ει διφθόγγῳ, ὁμοίως τὸ ε τρέπεται εἰς ο, καὶ τὸ ι προσγράφεται. πείθω, πείσω, πέπεικα, πέποιθα. εἴδω, εἴσω, εἶκα, οἶδα, οἶδας, οἶδασθα, καὶ οἶσθα. Τὰ δὲ εἰς ελ δισύλλαβα, τηροῦσι τὸ ε ἐν τῷ μέσῳ παρακειμένῳ. μέλω, μελῶ, μέμελα. καὶ τροπῇ τοῦ ε εἰς η, μέμηλα. ὅθεν μεμηλώς. τέλω, τελῶ, τέτελα. Ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος τὸ πρῶτον ἀμετάβολον ἔχει. κάμνω, κέκαμα. τέμνω, τέτεμα. Ὅτε δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει, τότε τρέπεται τὸ α τῆς διφθόγγου εἰς η ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι ὑπογράφεται. φαίνω, πέφηνα. χαίνω, κέχηνα. Ὅτε δὲ ὁ μέλλων περιττεύει τοῦ ἐνεστῶτος μιᾷ συλλαβῇ, τότε καὶ ὁ παρακείμενος τοῦ μέσου περιττεύει. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα, ἤνωγα. δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα. κτυπῶ, κτυπήσω, ἐκτύπηκα, ἔκτυπα. Ἔτι πολλάκις οἱ αὐτοὶ παρακείμενοι καὶ μέσοι, γέγραφα, εἴληφα. Ἔστι τότε ἐπιλιμπάνουσιν οἱ μέσοι παρακείμενοι, ἡνίκα ὁ ἐνεργητικὸς

παρακείμενος εὑρεθῇ ἰσοσύλλαβος ἀπὸ περισπωμένου θέματος, ἀπὸ δύο συμφώνων ἢ ἑνὸς ἀρχόμενος, θλῶ, θλάσω, τέθλακα. κλῶ, κλάσω, κέκλακα. δρῶ, δράσω, δέδρακα. ζῶ, ζήσω, ἔζηκα. καὶ ἁπλῶς εἰπεῖν, ἐπὶ τῶν περισπωμένων οὔτε μέσοι παρακείμενοι εὑρίσκονται, οὔτε δεύτεροι ἀόριστοι, πλὴν τῶν σεσημειωμένων τῆς πρώτης καὶ δευτέρας ὄντων. ἔτι ἐπὶ μὲν τῆς πέμπτης κατὰ παλαιοὺς τῶν βαρυτόνων, οὐ πολλοί. ἐπὶ δὲ τῆς ἕκτης, οὐδαμῶς, πλὴν τοῦ ἀκούω.

Ἔτι ἐπὶ τῶν εἰς μι οὐκ εἰσὶ μέσοι παρακείμενοι. ἀόριστοι δὲ δεύτεροι εὑρίσκονται, τὸ ἔθην, τὸ ἔστην, τὸ ἔδων. τὸ δεύτερον, τέτυπας. τὸ τρίτον, τέτυπε. καὶ τὰ ἄλλα ὁμοίως τῷ τέτυφα. ὁ δὲ μέσος παρακείμενος καὶ μέσος ὑπερσυντέλικος ποτὲ μὲν ἐνέργειαν σημαίνουσι, ποτὲ δὲ πάθος, ποτὲ δὲ ἀμφότερον.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος ἐτετύφειν ἀπὸ τοῦ παρακειμένου, ἀμοιβῇ τοῦ α εἰς ειν, προστεθέντος καὶ τοῦ ε τῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἀπὸ συμφώνου ἄρχεται, τέτυφα, ἐτετύφειν. οἱ δὲ Ἴωνες καὶ οἱ ποιηταὶ χωρὶς τῆς αὐξήσεως προφέρουσιν. Ἔτι οἱ Ἴωνες τὸ ει εἰς εα διαλύοντες, ἐτετύφεα, καὶ ἐπεποιήκεα λέγουσιν. οἱ δὲ Ἀθηναῖοι συναιροῦντες τὸ διαλυθὲν, ἐτετύφη λέγουσιν. ὅθεν καὶ τὸ ἐκεχήνη διὰ τοῦ η εὕρηται γεγραμμένον, καὶ τὸ προσγεγραμμένου. καὶ τὸ ᾔδειν, ᾔδεε λέγεται Ἰωνικῶς, ὥσπερ τετύφεε, καὶ γεγόνεε. καὶ κατὰ κρᾶσιν Ἀττικῶς ᾔδη ἐν πρώτῳ καὶ τρίτῳ προσώπῳ. οἱ αὐτοὶ ἐπὶ τρίτου προσώπου χωρὶς τοῦ ν ᾔδει γράφουσι. καὶ οἱ Δωριεῖς τὰ τρίτα πρόσωπα διὰ τοῦ η, ὀπώπη παρὰ Θεοκρίτῳ ἀντὶ ὀπώπει, καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη. Τὸ δεύτερον ἐτετύφεις ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ν εἰς σ. Τὸ τρίτον ἐτετύφει χωρὶς ν παρὰ τοῖς κοινοῖς, ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ σ. καὶ Ἰωνικῶς, ὡς εἴρηται, τετύφεε. καὶ γεγόνεε παρ' Ἡροδότῳ, ἀντὶ ἐγεγόνει. τὸ δὲ ᾔδειν, ἐπὶ πρώτου καὶ τρίτου προσώπου ὥς φασιν. ὅθεν ἀπειλήφειν παρ' Ἀριστοφάνει, καὶ προσῄδειν, καὶ εἱστήκειν παρ' Ὁμήρῳ, καὶ ἐβεβλήκειν, ἐπεὶ ἤσκειν εἴρια καλὰ, ἀντὶ ἐκαλλώπιζεν, ἐπὶ τρίτου, ὥσπερ καὶ ἐπὶ πρώτου. Τὸ δυϊκὸν δεύτερον ἐτετύφειτον, ἐκ τοῦ ἐτετύφειτε. Τὸ τρίτον ἐτετυφείτην, ἀπὸ τοῦ δευτέρου δυϊκοῦ. Τὸ πληθυντικὸν πρῶτον ἐτετύφειμεν, ἀπὸ τοῦ ἐτετύφειν, προσθέσει με. Τὸ δεύτερον ἐτετύφειτε, ἀπὸ τοῦ πρώτου,

τροπῇ τοῦ μὲν α εἰς ει. τὸ τρίτον ἐτετύφειμεν, ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μὲν α εἰς ειμεν. τὸ δὲ ᾔδειμεν, καὶ παρειλήφειμεν, καὶ ἀκηκόειμεν, καὶ ἄλλα πλεῖστα τῶν ἀττικῶν, χωρὶς ι. βοιωτῶν δὲ καὶ τὸ ἐτετύφεα ἀντὶ ἐτετύφειν, καὶ ἑστήκεα ἀντὶ ἑστήκειν, καὶ τὸ εἱστήκειμεν, εἱστήκετε, εἱστήκεσαν χωρὶς τοῦ ι. φυλάττει δὲ ὁ πρῶτος ὑπερσυντέλικος καὶ μέσος τὰ τῶν παρακειμένων, τέτυφα, ἐτετύφειν. τέτυπα, ἐτετύπειν. πλὴν τῶν σεσημειωμένων. οἶδα, ᾔδειν, καὶ ᾔδη τὸ ποιητικόν. καὶ εἶκα, μέσος ἧκα, καὶ μέσος ὑπερσυντέλικος, ἥκειν. ὅθεν τὸ ἐπήειν, προσήειν. ἕστηκα, εἱστήκειν. ἔολπα, ἐώλπειν. ἔοργα, ἐώργειν. ἔοικα, ἐῴκειν. ὁ μέσος ὑπερσυντέλικος ἐτετύπειν, πεις, πει, διὰ τοῦ π κατὰ τὸν παρακείμενον σχηματιζόμενος. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, τέτυπα, ἐτετύπειν. τέτηκα, ἐτετήκειν.

Περὶ ἀορίστου πρώτου.

Ὁ ἀόριστος πρῶτος ἔτυψα, ἀπὸ τοῦ μέλλοντος πρώτου, τροπῇ τοῦ ω εἰς α, καὶ προσθέσει τοῦ συνήθους ε τῆς συλλαβικῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ συμφώνου. ὅτε δὲ ἀπὸ φωνήεντος, γίνεται αὔξησις χρονική, καὶ ὅτε ἰσοσυλλαβεῖ τῷ μέλλοντι, ἀγορεύσω, ἠγόρευσα. Παραλήγει δὲ ἢ φύσει μακρᾷ ὡς ἐποίησα, ἢ θέσει ὡς ἔπλεξα, ἢ φύσει καὶ θέσει, ὡς ἤμειψα, ἢ θέσει παρὰ ποιηταῖς διὰ τὸ μέτρον, ὡς ἐτέλεσσα. ἔχει δὲ τελικὰ ἡμίφωνα ἑπτά. ψ, οἷον, ἔτυψα. ξ, οἷον, ἔλεξα. σ, οἷον, ἐποίησα. λ, οἷον, ἔστειλα. μ, οἷον, ἔνειμα. ν, οἷον, ἔμεινα. ρ, οἷον, ἔσπειρα. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέλλοντος. οἷον, λέξω, ἔλεξα. πλὴν τῶν σεσημειωμένων, ἥσω, ἧκα, ἀντὶ ἧσα. ἤνεγκα, ἀντὶ ἤνεγξα. εἶπα, ἀντὶ εἶψα. ἔθηκα, ἀντὶ ἔθησα. ἔδωκα, ἀντὶ ἔδωσα. ἔτι τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ μέλλοντι, ποιήσω, ἐποίησα. τελέσω, ἐτέλεσα. πλὴν τῶν ἀορίστων τῆς τετάρτης καθ' ἡμᾶς συζυγίας μακρᾷ παραληγόντων. τοῦ γὰρ μέλλοντος αὐτῶν περισπωμένου ὄντος, καὶ βραχυπαραληκτοῦντος, ὁ ἀόριστος προσλαμβάνει ι, ἢ τρέπει τὸ α εἰς η, νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα. στελῶ, ἔστειλα. ψαλῶ, ἔψηλα. φανῶ, ἔφηνα. οἱ δὲ ἴωνες τὸ η εἰς α τρέποντες, ἔφανα ἀντὶ ἔφηνα, καὶ ἐμίανα ἀντὶ ἐμίηνα, καὶ ἔχανα, ἀντὶ ἔχηνα, καὶ ἐθέρμανα, ἀντὶ ἐθέρμηνα, καὶ ἐσήμανα, ἀντὶ ἐσήμηνα λέγουσιν, ὧνπερ χρῶνται καὶ οἱ ἀθηναῖοι. τὸ δεύτερον ἔτυψας ἀπὸ τοῦ πρώτου, προσθέσει σ. τὸ δὲ πρῶτον τοῦ ἀορίστου, βραχύ ἐστι. τὸ τρίτον,

ἔτυψε. καὶ τὰ ἄλλα δῆλα. ἐτύψατον, ἐτυψάτην. ἐτύψαμεν, ἐτύψατε, ἔτυψαν.

Περὶ δευτέρου ἀορίστου.

Ὁ δεύτερος ἀόριστος ἔτυπον, φωνῇ μόνον διαφέρων τοῦ πρώτου. λήγει δὲ εἰς ον, τὸ σύμφωνον τοῦ μέσου παρακειμένου φυλάττων, διχρόνῳ παραλήγων, ἔτυπον, ἔλαβον, ἔλιπον ἐν τοῖς βαρυτόνοις. ἐν δὲ τοῖς περισπωμένοις, καὶ διφθόγγῳ, καὶ ω. Ὅσα οὖν εἴρηται ἐπὶ τοῦ μέσου παρακειμένου, ταῦτα ἐπὶ τοῦ δευτέρου ἀορίστου ῥηθήσεται, εἰ καὶ περιττὸν δόξει. εἰ μὲν οὖν ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ ἀμφότεροι. λείπω, λέλοιπα, ἔλιπον. φθείρω, ἔφθορα, ἔφθορον. εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται δι' οὗ τὸ ῥηματικὸν ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ἀμφότεροι. σκάπτω, σκαφὴ, ἔσκαφα, ἔσκαφον. εἰ δὲ διὰ τοῦ ξ ἢ δύο σσ ὁ ἐνεστὼς ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος καὶ ἀόριστος δεύτερος ἀκολουθεῖ τῷ μέλλοντι. καὶ εἰ μὲν ὁ μέλλων διὰ τοῦ ξ ὥσπερ ὁ μέσος παρακείμενος διὰ τοῦ γ, οὕτω καὶ ὁ ἀόριστος δεύτερος, κράζω, κράξω, κέκραγα, ἔκραγον. νύσσω, νύξω, νένυγα, ἔνυγον. εἰ δὲ ὁ μέλλων διὰ τοῦ σ ὥσπερ ὁ μέσος παρακείμενος διὰ τοῦ δ, οὕτω καὶ ὁ ἀόριστος δεύτερος, φράζω, φράσω, πέφραδα, ἔφραδον. εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, διὰ τοῦ προτέρου καὶ οὗτοι ἐκφέρονται. κάμνω, κέκαμα, ἔκαμον. τέμνω, τέταμα, ἔταμον. εἰ δὲ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, καὶ αὐτοὶ καθαρῶς ἐκφέρονται. ἀκούω, ἤκουα, ἤκοον. Ἔτι ὁ ἀόριστος δεύτερος ἀπὸ βαρυτόνων θεμάτων γινόμενος, βραχυπαραληκτεῖ, τύπτω, ἔτυπον. πήθω, ἔπαθον. τεύχω, ἔτυχον. διὸ εἰ μὲν ὁ ἐνεστὼς ἔχει τὴν ευ δίφθογγον, ἀποβάλλεται τὸ ε αὐτῆς ἐν τῷ δευτέρῳ ἀορίστῳ. φεύγω, ἔφυγον. πεύθω, ἔπυθον. εἰ δὲ ὁ ἐνεστὼς ἔχει τὴν αι, ἀποβάλλεται τὸ ι αὐτῆς ἐν τῷ δευτέρῳ ἀορίστῳ, καίω, ἔκαον. φαίνω, ἔφανον. εἰ δὲ αυ, ἀποβάλλεται τὸ υ, παύω, ἔπαον. εἰ δὲ ου, τὸ υ, ἀκούω, ἤκοον. εἰ δὲ ει διφθόγγῳ, τὸ ε. λείπω, ἔλιπον. εἰ δὲ η, τρέπεται εἰς α, λήβω, ἔλαβον. χωρὶς τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, ἐν οἷς ἀποβάλλεται τὸ ι ἐν τῷ μέλλοντι, καὶ τὸ ε εἰς α τρέπεται ἐν τῷ δευτέρῳ ἀορίστῳ, κείρω, κερῶ, ἔκαρον. σπείρω, σπερῶ, ἔσπαρον. ἐν δὲ τοῖς ὑπερδισυλλάβοις τὸ ι μόνον ἐκβάλλεται. ἐγείρω, ἤγερον. ἀείρω, ἄερον. ὀφείλω, ὄφελον.

Ἔτι καθόλου ὅτι τὸ ε εὑρεθὲν ἐν δισυλλάβοις ἐνεστῶσιν ἢ μόνον, ἢ μετὰ τοῦ ι ἐν διφθόγγῳ ει, ὡς ἐπὶ τὸ πλεῖστον τὸ ε τρέπεται εἰς α, εἴτε ἀμετάβολον προηγεῖται τοῦ ε, εἴτε ἐπιφέρεται, κείρω, ἔκαρον. φθεί-

ρω, ἔφθαρον. στέλλω, ἔσταλον, ὅθεν ἐστάλη. δέρω, ἔδαρον, ὅθεν ἐδάρη. τέμνω, ἔταμον. πέρθω, ἔπαρθον, καὶ ἔπραθον κατὰ μετάθεσιν. δέρκω, ἔδαρκον, καὶ ἔδρακον. δρέμω, ἔδραμον, καὶ δραμῶ. ὅθεν τὸ δεδράμηκα. κλέπτω, ἔκλαπον. πλέκω, ἔπλακον. τρέπω, ἔτραπον. τρέφω, ἔτραφον. ὡς ἐπὶ τὸ πλεῖστον εἴρηται, διὰ τὰ σεσημειωμένα ὑπερδισύλλαβα. Ἔτι ὁ ἀόριστος δεύτερος ἀπὸ μὲν βαρυτόνου θέματος γινόμενος, ἰσοσυλλαβεῖ τῷ πρώτῳ. τύπτω, ἔτυψα, ἔτυπον. λείπω, ἔλειψα, ἔλιπον. ἀπὸ δὲ περισπωμένου, ἐλλείπει τοῦ πρώτου μιᾷ συλλαβῇ. δουπῶ, ἐδούπησα, ἔδουπον. μυκῶ, ἐμύκησα, ἔμυκον. καὶ ὅτι ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, τότε καὶ αὐτὸς τῷ πρώτῳ. ὅτε δὲ ὁ μέλλων περιττεύει, καὶ αὐτὸς ἐλλείπει. Τούτων οὕτως ἐχόντων, εὑρίσκονται ἀόριστοι δεύτεροι ἐννεάριθμοι μακροπαραληκτοῦντες. καὶ δισύλλαβοι μὴ βαρύτονοι, τὸ ἧκον. εὗρον. εἶδον. εἶπον. ἦλθον. εἷλον. εἶχον. εἷλκον. ἧτον. ἧδον, ὅθεν τὸ ἕαδε. ὧν οἱ μὲν, ὧ λόγῳ τῆς ἀρχούσης. οἱ δὲ, προσθέσει τοῦ ι. ὁ δὲ ἦλθον, ἀπὸ τοῦ ἤλυθον κατὰ συγκοπήν. περισπώμενοι δὲ ὑπερδισύλλαβοι οὗτοι, μακρᾷ φύσει ἢ θέσει παραλήγοντες, χραισμῶ, ἔχραισμον. δουπῶ, ἔδουπον. κτυπῶ, ἔκτυπον. τυπῶ, ἔτυπον. μυκῶ, ἔμυκον. ὀλισθῶ, ὄλισθον. βλαστῶ, ἔβλαστον. ἁμαρτῶ, ἥμαρτον. ἀνωγῶ, ἤνωγον. ἀλαλκῶ, ἤλαλκον. ἔστι καὶ ὁ ἔπεφνον βαρύτονος ἀπὸ τοῦ φῶ, φένω, ἔφενον, καὶ ἔφνον. καὶ ὁ ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω. καὶ ὁ ἔδαρθον. ἔπραθον. ἔδαρκον. καὶ ὁ ἔπληγον σωματικῶς, ἀπὸ τοῦ πλήσσω. ἔπλαγον δὲ ψυχικῶς. τὸ δὲ κατέπληγη φίλον ἦτορ, ὁ ποιητὴς ἐπὶ ψυχικῆς διαθέσεως διὰ τὸ μέτρον ἔθηκεν. Ἔτι ὥς φησιν ὁ Φιλόπονος τὰ ἔχοντα δύο σύμφωνα περισπώμενα, μακρὰν τὴν παραλήγουσαν ἔχουσι φύσει, ἢ θέσει, χραισμῶ, ἔχραισμον. βλαστῶ, ἔβλαστον. τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα, βραχεῖαν, μυκῶ, ἔμυκον. τυπῶ, ἔτυπον. ὅμως δὲ τὸ δουπῶ ἔδουπον ποιεῖ, καὶ τὸ ἀνωγῶ, ἤνωγον. Τὸ δεύτερον ἔτυπες. τὸ τρίτον, ἔτυπε. ἐτύπετον, ἐτυπέτην. ἐτύπομεν, ἐτύπετε, ἔτυπον κατὰ τὸν παρατατικόν. τὸ δὲ ἷξον ἀντὶ ἷκον, βοιωτῶν. τὸ δὲ εἴδοσάν σε ὕδατα, καὶ ἤλθοσαν, καὶ ἐμάθοσαν, καὶ τὰ τοιαῦτα, χαλκιδικῆς εἰσι διαλέκτου εἰς ὁμοιότητα τοῦ ἔδοσαν.

Περὶ τοῦ πρώτου μέλλοντος.

Ὁ μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεστῶτος, καὶ συνάρχεται αὐτῷ, τὰς αὐτὰς συλλαβὰς ἔχων, εἴτε ἀπὸ φωνήεντος ἄρχεται, εἴτε ἀπὸ συμφώνου βαρυτόνου ὤν. οἷον, ἀγρεύω, ἀγρεύσω. τύπτω, τύψω. γράφω, γράψω. Τὰ δὲ εἰς ἓν λ βαρύτονα, περιττεύοντα μέλλοντα

ποιοῦσι. μέλλω, μελλήσω. θέλω, θελήσω. ὀφείλω, ὀφειλήσω. ἔτι τὸ αὔξω, αὐξήσω, καὶ ἕψω, ἑψήσω, καὶ ἀλέξω, ἀλεξήσω, ὅτι παρὰ παλαιοῖς περισπώμενα ὄντα, οἱ ἀθηναῖοι βαρύτονα πεποιήκασιν.

Ἔτι πάντα τὰ περισπώμενα, ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. τοὐναντίον δὲ ἤδη τοῖς εἰς μι γίνεται, ἐκβαλλομένου τοῦ ἀναδιπλασιασμοῦ, τίθημι, θήσω. δίδωμι, δώσω. φυλάττεται δὲ ὁ μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου ἐνεστῶτος, τύπτω, τύψω. γράφω, γράψω. λείπω, λείψω. πλὴν τῶν τῆς τετάρτης καθ' ἡμᾶς συζυγίας τῶν βαρυτόνων. τούτων γὰρ οἱ μέλλοντες ἀποβάλλουσιν ἓν ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν συστείλωσι, ψάλλω, ψαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ. καὶ ἔτι πλὴν τῶν σεσημειωμένων, πλέω, πλεύσω. ῥέω, ῥεύσω. χέω, χεύσω. τούτων γὰρ οἱ μέλλοντες προσλαμβάνουσιν υ, ἀπὸ ἀρχαίων ἐνεστώτων γινόμενοι, χεύω. ῥεύω. ἔτι καὶ καίω, καύσω, καὶ κλαίω, κλαύσω, ἀπὸ τοῦ καύω, καὶ κλαύω. ἢ ὅτι τῶν ἀθηναίων ἐκβαλλόντων τὸ ι τοῦ ἐνεστῶτος, κάω καὶ κλάω λεγόντων, πλεονάζεται τὸ υ ἐν τῷ μέλλοντι.

Ἔτι οἱ ἀθηναῖοι ἤδη τῶν εἰς ζω βαρυτόνων ὑπὲρ δισυλλάβων, βραχὺ φύσει τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ περισπώμενον μέλλοντα ποιοῦσιν. οἷον, νομίζω, νομίσω κοινῶς, καὶ νομιῶ ἀττικῶς. βαδίζω, βαδίσω, καὶ βαδιῶ, καὶ βαδιοῦμαι εὕρηται. ἀγωνίζομαι, ἀγωνίσομαι, ἀγωνιοῦμαι. τὸ δὲ δανείζω διὰ διφθόγγου γραφόμενον, δανείσω ποιεῖ, καὶ οὐ δανειῶ, ὥσπερ ποτέ τις τῶν ἀμαθῶν πλουσίων εἶπε παρ' Ἀθηναίοις ἐκκλησιάζουσι περὶ δανείου, ἐγὼ δανειῶ ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι χρήματα. ὅπερ ἀκούσαντες, καὶ θορυβήσαντες, οὐ μόνον τὸν λόγον αὐτοῦ, ἀλλ' οὐδὲ τὸ δάνειον ἀπεδέξαντο, ἕως τις παραστὰς εἶπεν ἐκείνῳ, δανείσω εἰπέ. καὶ τότε ἐκείνου δανείσω εἰπόντος ὑμῖν χρήματα, ἀπεδέξαντο καὶ ἐτίμησαν. Ὁμοίως καὶ οἱ δωριεῖς τοὺς βαρυτόνους καὶ περισπωμένους μέλλοντας περισπῶσι, τυψῶ, καὶ ποιησῶ λέγοντες. οἱ δὲ αἰολεῖς τοὐναντίον τοὺς περισπωμένους μέλλοντας βαρύνουσι, προστιθέντες σ, κείρω, κερῶ, κέρσω. φθείρω, φθερῶ, φθέρσω. Ἔτι σεσημείωται τὸ τρέφω, θρέψω, καὶ τρέχω, θρέξω, οὐ συναρχόμενα τοῖς ἐνεστῶσιν. Ἔτι τὸ ἔξω διαφέρει τοῦ ἕξω κατὰ τὸ πνεῦμα, εἰς διαφορὰν τοῦ ἔξω ἐπιρρήματος ψιλουμένου. Ἔτι πᾶς μέλλων πρὸ τοῦ ω, ἢ ψ ἔχει, ἢ ξ, ἢ σ, ὡς εἴρηται, ἢ ἕν τι τῶν τεσσάρων ἀμεταβόλων. Ἔτι πᾶς μέλλων βαρύτονος πλὴν τῶν τῆς τετάρτης συζυγίας, ἢ ἴσην τὴν παραλήγουσαν ἔχει τῷ ἐνεστῶτι, ἢ μείζονα, τύπτω, τύψω. λέγω, λέξω. πλέκω τε δὲ ἐλάτ-

ρονα. πλὴν τοῦ πνίγω, πνίξω. ἐρύκω, ἐρύξω. ταῦτα γὰρ ἐν μὲν τῷ ἐνεστῶτι, καὶ μακρὸν καὶ βραχὺ τὸ δίχρονον ἔχει. ἐν δὲ τῷ μέλλοντι, ἀεὶ μακρόν.

Τὸ δεύτερον, τύψεις. Τὸ τρίτον, τύψει. τύψετον. τύψετον. τύψομεν. τύψετε. τύψουσι, κατὰ τὸ τύπτω. Περὶ μέλλοντος δευτέρου.

Ὁ μέλλων δεύτερος τυπῶ περισπώμενος, ἀπὸ τοῦ δευτέρου ἀορίστου, ἀμοιβῇ τοῦ ον εἰς ω, καὶ ἐκβολῇ τῆς ἀρχούσης. ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ φυλάττει. συνάρχεται δὲ τῷ πρώτῳ μόνῃ φωνῇ διαφέρων αὐτοῦ. Τὸ δεύτερον τυπεῖς, τὸ τρίτον τυπεῖ περισπωμένως. τυπεῖτον, τυπεῖτον, ὁμοίως τοῖς ἄλλοις. τυποῦμεν. τυπεῖτε. τυποῦσι. καὶ ταῦτα μὲν περὶ τῶν ὁριστικῶν. περὶ δὲ τῶν προστακτικῶν καὶ τῶν ἄλλων ἐγκλίσεων, καθεξῆς ῥητέον. Περὶ προστακτικῶν.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ προστακτικοῦ, τὸ δεύτερον τύπτε, ἀπὸ τοῦ ἔτυπτε τρίτου προσώπου τοῦ παρατατικοῦ, ἐκβολῇ τῆς ἀρχούσης. Τὸ τρίτον τυπτέτω, ἀπὸ τοῦ δευτέρου, προσθέσει τω. πρῶτον δὲ πρόσωπον ἐν τοῖς προστακτικοῖς οὐκ ἔστιν. οὐδεὶς γὰρ προστάττει ἑαυτόν. Τὸ δυϊκὸν δεύτερον τύπτετον διὰ τοῦ ο μικροῦ, ἀπὸ τοῦ τύπτε, προσθέσει τον. Τὸ τρίτον τυπτέτων διὰ τοῦ ω μεγάλου, ἀπὸ τοῦ ἑνικοῦ τρίτου, προσθέσει ν, ἢ καὶ ἀπὸ τοῦ δυϊκοῦ δευτέρου εἰ βούλει. Τὸ πληθυντικὸν δεύτερον τύπτετε, ἀπὸ τοῦ ἑνικοῦ δευτέρου. Τὸ τρίτον τυπτέτωσαν, ἀπὸ τοῦ τυπτέτω, προσλήψει σαν. καὶ ἀττικῶς, τυπτόντων. καὶ τυψάντων, ἀντὶ τυψάτωσαν. οἱ γὰρ ἀττικοὶ τὸ πληθυντικὸν τρίτον ἐνεργητικὸν προφέρουσιν ὁμοφώνως τῇ γενικῇ πληθυντικῇ τῆς μετοχῆς, εἴτε τῶν προστακτικῶν ἀπὸ ἐνεργητικῶν γινομένων, καὶ τὸ ν κλιτικὸν ἐχόντων. ν δὲ κλιτικὸν λέγεται παρὰ τοῖς παλαιοῖς, ὅπερ ἔχουσι πάντα τὰ πρῶτα πρόσωπα πληθυντικὰ τῶν ὁριστικῶν χρόνων πρὸ τοῦ εν, τύπτομεν, ἐτύπτομεν. καὶ οὕτω μὲν σχηματίσεις πάντα προστακτικὰ εἰς ε ἀπὸ τῆς ἰδίας ἀρχῆς. ἀπὸ τοῦ τέτυφα παρακείμενος καὶ ὑπερσυντέλικος, τέτυφε, τετυφέτω. τετύφετον, τετυφέτων. τετύφετε, τετυφέτωσαν. ἀπὸ τοῦ τέτυπε, μέσος παρακείμενος, καὶ μέσος ὑπερσυντέλικος, τέτυπε, τετυπέτω. ἀπὸ τοῦ ἔτυπεν ἀορίστου δευτέρου, τύπε, τυπέτω. εἰπὲ, εἰπέτω, καὶ εἶπον, εἰπέτω παρὰ Μενάνδρῳ. καὶ τὸ λάβον ἀντὶ λαβὲ, καὶ ἄνελον ἀντὶ ἄνελε συρακουσίων ἐστί. τὸ δὲ τοῦ πρώτου ἀορίστου ὤφειλε μὲν αὐτὸ εἶναι τύψε κατὰ τὴν ἀκολουθίαν τῶν ἄλλων, ἀλλ' ὥς φασι συρακουσίων δωριέων ἔθει γέγονε, τοῦ ε εἰς ον μεταβληθέντος. καὶ λέγομεν, τύψον, τυψάτω. τύψατον, τυψάτων. τύψατε, τυψάτωσαν, καὶ τυψάντων διὰ τοῦ α, ὃ φυλάττει ὁ ἀόριστος. πάντα δὲ τὰ τῶν παρῳχημένων, σημασίαν μέλλοντος

ἔχουσι. καλοῦνται δὲ ἀφ' ὧν παράγονται. ὁ δὲ μέλλων ἀμοιρεῖ προστακτικοῦ, διότι ὁ ἀόριστος πρῶτος αὐτὸ προήρπασε. τὸ δὲ ὁμηρικὸν ἐκεῖνο, οἶσον θεῖον γρηῦς, ἀντὶ κόμισον, ἀφ' οὗ τὸ οἴσετε δ' ἄρνα, ἢ ἀπὸ τοῦ οἴω, οἴσω καθ' Ἡρωδιανόν, ὡς ἀπὸ ἐνεστῶτος. τὸ προστακτικὸν οἶσε οἰσέτω, ἢ κατὰ φιλόπονον ἀπὸ τοῦ μέλλοντος ἐξ ἀνάγκης, τοῦ ἀορίστου ἀχρήστου ὄντος, ἤτοι ἀπὸ τοῦ οἴω, οἴσω, οἶσε. τὸ προστακτικόν, οἶσον. καὶ κατὰ μεταπλασμόν, οἶσε, οἰσέτω. ὁμοίως καὶ τὸ ἄξετε πριάμοιο βίην, ἢ ἀπὸ τοῦ ἄξω ὥσπερ ἀπὸ ἐνεστῶτος, ἢ ἀπὸ τοῦ ἦξα, ἆξον, καὶ ἄξε, ἀξέτω, ἢ ὁριστικὰ ἀντὶ προστακτικῶν.

Περὶ εὐκτικῶν.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ εὐκτικοῦ τύπτοιμι, ἀπὸ τῆς τοῦ τύπτοντος γενικῆς μεταποιήσει τοῦ τος εἰς μι, καὶ ἐκβολῇ τοῦ ν, καὶ προσλήψει ι. Τὸ δεύτερον τύπτοις διὰ τῆς οι διφθόγγου, ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μ εἰς σ. Τὸ τρίτον τύπτοι ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. Τὸ δυϊκὸν δεύτερον τύπτοιτον, ἀπὸ τοῦ τύπτοιτε. Τὸ τρίτον τυπτοίτην, ἀπὸ τοῦ δυϊκοῦ δευτέρου. Τὸ πληθυντικὸν πρῶτον τύπτοιμεν, ἀπὸ τοῦ ἑνικοῦ τρίτου. Τὸ δεύτερον, τύπτοιτε. Τὸ τρίτον τύπτοιεν, ἀπὸ τοῦ τύπτοιμεν, ἐκβολῇ τοῦ μ. γράφονται δὲ πάντα διὰ τῆς οι διφθόγγου. τὸ δὲ τοῦ ἀορίστου πρώτου, διὰ αι. καὶ τὸ αἰολικὸν, διὰ ει. πάντα δὲ εἰς μι λήγουσι, καὶ σχηματίζονται ἀπὸ τῶν ἰδίων ἀρχῶν. ἀπὸ τοῦ τετυφότος, τετύφοιμι, τετύφοις, τετύφοι. ἀπὸ τοῦ τετυπότος, τετύποιμι, τετύποις, τετύποι. ἀπὸ τοῦ τύψαντος, τύψαιμι, τύψαις, τύψαι. Τὸ δὲ αἰολικὸν, τύψεια, τύψειας, τύψειε. τυψείατον, τυψειάτην. τυψείαμεν, τυψείατε, τύψειαν. ἀπὸ τοῦ τυπόντος ἀορίστου δευτέρου, τύποιμι, τύποις, τύποι προπαροξυτόνως. ἀπὸ τοῦ τύψοντος, τύψοιμι, τύψοις, τύψοι, καὶ αὐτὸ προπαροξυτόνως ὁμοίως τοῖς ἄλλοις. ἀπὸ τοῦ τυποῦντος δευτέρου μέλλοντος, τυποῖμι προπερισπωμένως, τυποῖς, τυποῖ.

Περὶ ὑποτακτικῶν.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ ὑποτακτικοῦ ἀπὸ τῆς ἰδίας ἀρχῆς μεταποιήσει τῆς ἐσχάτης, ἔτυπτον, ἐὰν τύπτω. Τὸ δεύτερον, ἐὰν τύπτῃς διὰ τοῦ η καὶ ι ὑπογεγραμμένου, ἀπὸ τοῦ ὁριστικοῦ δευτέρου, τροπῇ τοῦ ε εἰς η, προσγραφομένου καὶ τοῦ ι. τύπτεις, ἐὰν τύπτῃς. Τὸ τρίτον ἀπὸ τοῦ ὁριστικοῦ τρίτου ὁμοίως, τύπτει, ἐὰν τύπτῃ. καθόλου δὲ τὰ εἰς ω ὑποτακτικὰ εἰς ης τὸ δεύτερον καὶ εἰς η τὸ τρίτον ποιεῖ μετὰ τοῦ προσγεγραμμένου ι. πλὴν τῶν τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων. ἐκεῖνα γὰρ φυλάττουσι τὴν λήγουσαν τῶν ἰδίων ὁριστικῶν. βοᾷς, βοᾷ, ἐὰν βοᾷς, ἐὰν βοᾷ. χρυσοῖς, χρυσοῖ, ἐὰν χρυσοῖς, χρυσοῖ.

ἔτι καὶ τὸ δίδωσ, ἐὰν διδῷσ, ἐὰν διδῷ μετὰ τοῦ προσγεγραμμέ-
νου ι. τοῦτο δὲ ἐγένετο εἰς διάκρισιν τῶν συζυγιῶν. τὰ δυϊκὰ, ἐὰν
τύπτητον, τύπτητον ὁμοφώνως ἄνευ τοῦ ι, ἀπὸ τοῦ ἐὰν τύπτητε.
τὸ πρῶτον, ἐὰν τύπτωμεν, ἀπὸ τοῦ ἐὰν τύπτω, προσθέσει μεν. τὸ δεύτερον,
ἐὰν τύπτητε. τὸ τρίτον ἐὰν τύπτωσιν, ἀπὸ τοῦ πρώτου. ὡσαύτως καὶ τὰλ-
λα ἀπὸ τῶν ἰδίων ἀρχῶν, ἀπὸ τοῦ τέτυφα, ἐὰν τετύφω, τετύφῃς, τετύ-
φῃ. ἀπὸ τοῦ τέτυπα, ἐὰν τετύπω, τετύπῃς, τετύπῃ. ἀπὸ τοῦ ἔτυψα, ἐ-
ὰν τύψω, τύψῃς, τύψῃ, ἀντὶ μέλλοντος. ἀπὸ τοῦ ἔτυπον, ἐὰν τύπω, τύ-
πῃς, τύπῃ. ἀπὸ δὲ τοῦ πρώτου καὶ δευτέρου μέλλοντος ὑποτακτι-
κὰ οὐ γίνονται διὰ τὸ τοὺς ἀορίστους ἀντὶ προλαβεῖν. Δεῖ δὲ καὶ τοῦτο
εἰπεῖν εἰ καὶ τοῖς θεωρητικοῖς ἀνήκει, ὅτι τὰ ὑποτακτικὰ ἓξ ἔχουσιν
ὀνομασίας. τρεῖς ἀπὸ τῆς σημασίας, δύο ἀπὸ τῆς συντάξεως, καὶ μίαν
ἀπὸ τῆς φωνῆς. ἀπὸ τῆς σημασίας λέγονται ἀποτελεστικὰ, οἷον, δός
μοι χρήματα ἵνα ὠνήσωμαι βιβλία. αἰτιολογικὰ, ἐπεὶ σπουδάζω περὶ
λόγους ἵνα τιμηθῶ. διστακτικὰ, ἐὰν λούσωμαι, ὑγιαίνω. ἀπὸ δὲ τῆς συν-
τάξεως καλοῦνται ὑποτακτικὰ καὶ ἐπιζευκτικὰ, διότι ὑποτάσσονται
καὶ ἐπιζεύγνυνται τοῖς οἰκείοις συνδέσμοις. ἵνα. ὄφρα. ὅπως. ἐάν. ἄν. ἀπὸ δὲ
τῆς φωνῆς λέγονται ἐπηρμένα, διότι τὸ τῆς ὁριστικῆς φωνῆεν ἐκτείνοντες
ἐπαίρουσι. τύπτομαι, ἐὰν τύπτωμαι. ἔτι τὰ καλούμενα ἀνθυπο-
τακτικὰ καὶ ὑποθετικὰ σπάνια ὄντα, ἐν πρώτῳ μόνῳ προσώπῳ πλη-
θυντικῷ εὑρίσκονται διὰ τοῦ ω μεγάλου γραφόμενα. ἀλλ' ἀπεαριθμήσω-
μεν, καὶ ἴδωμεν. ἀλλ' ἄνδρας κτείνωμεν, καὶ πάντα δείξωμεν τοῖς φί-
λοις, τῶν συνδέσμων νοουμένων. καλοῦμεν δὲ αὐτὰ ὑποθετικὰ, ὅτι δι' αὐ-
τῶν ὑποτιθέμεθα ποιεῖν τι. ἄπωμεν ἐντεῦθεν. Περὶ ἀπαρεμφάτων.

Ὁ ἐνεστὼς τοῦ ἀπαρεμφάτου ἀπὸ τοῦ τρίτου τύπτει, προσθέσει ν τύ-
πτειν. καὶ δωρικῶς, τύπτεν. καὶ ἰωνικῶς, τυπτέμεν. καὶ δωρικῶς, εἴτε
αἰολικῶς, τυπτέμεναι. ἀπὸ τοῦ τέτυφε, τετυφέναι, προσθέσει ναι.
ἀπὸ τοῦ τέτυπε, τετυπέναι. ἀπὸ τοῦ ἔτυψα ἀορίστου, τύψαι, προσθέσει
ι. ἀπὸ τοῦ ἀορίστου δευτέρου ἔτυπον, τυπεῖν περισπωμένως, καὶ τυ-
πέειν, καὶ τυπέμεν, καὶ τυπέμεναι. ἀπὸ τοῦ μέλλοντος πρώτου τύψει,
προσθέσει ν τύψειν, καὶ τύψεν, καὶ τυψέμεν, καὶ τυψέμεναι. ὁ δεύτερος
μέλλων τυπεῖν περισπώμενος ἀπὸ τοῦ τυπεῖ, προσθέσει ν. καὶ τυ-
πέειν, καὶ τυπέμεν, καὶ τυπέμεναι. ὁμοίως καὶ τὰ περισπώμενα, καὶ
εἰς μι, ποιησέμεναι, θέμεναι, ὅπου ἀναδίπλωσις οὐκ ἔστιν. ἔτι εἰδέ-
ναι δεῖ ὅτι τὰ εἰς ειν ἀπαρέμφατα, ὡς γέγραπται, οἱ αἰολεῖς βαρυτό-
νως διὰ τοῦ η ἐκφέρουσι, φίλην ἀντὶ φιλεῖν, καὶ τὰ εἰς αν εἰς αις, γε-

λαῖς, ἀντὶ γελαῖ. καὶ τὰ εἰς οω, εἰς οις. ὑψοῖς, ἀντὶ ὑψοῦν. ὀρθοῖς, ἀντὶ ὀρθοῦ. ταῦτα δὲ πάντα λήγει εἰς ειν, πλὴν τοῦ παρακειμένου καὶ ἀορίστου πρώτου εἰς αι. Περὶ μετοχῶν.

Αἱ μετοχαὶ ἀπὸ τῶν ἰδίων χρόνων σχηματίζονται ἢ προσθέσει, ἢ μεταποιήσει μετὰ τριγενίας. ἀπὸ τοῦ τύπτω, ὁ ἐνεστὼς, ὁ τύπτων, τοῦ τύπτοντος. τὸ θηλυκὸν, ἡ τύπτουσα, ἀπὸ τοῦ τύπτοντος, τροπῇ τοῦ ν εἰς υ, καὶ τοῦ τος εἰς σα. τὸ οὐδέτερον, τὸ τύπτον, τοῦ τύπτοντος, ἀπὸ τοῦ τύπτοντος ἐκβολῇ τοῦ ς. ἀπὸ τοῦ τέτυφα, ὁ τετυφὼς, τοῦ τετυφότος. τὸ θηλυκὸν, ἡ τετυφυῖα ἀπὸ τοῦ τετυφὼς, τῆς τετυφυίας. τὸ τετυφὸς, τοῦ τετυφότος. ὡσαύτως ἀπὸ τοῦ τέτυπα, ὁ τετυπὼς, ἡ τετυπυῖα, τὸ τετυπός. ἀπὸ τοῦ ἔτυψα, ὁ τύψας, τὸ ας μακρόν. ἡ τύψασα, τὸ ψα καὶ αὐτὸ μακρὸν ἀπὸ τοῦ ἀρσενικοῦ. τὸ τύψαν, τοῦ τύψαντος. ἀπὸ τοῦ ἔτυπον δευτέρου ἀορίστου, ὁ τυπὼν ὀξυτόνως, ἡ τυποῦσα, τὸ τυπόν. ἀπὸ τοῦ τύψω, μέλλων πρῶτος, ὁ τύψων, ἡ τύψουσα, τὸ τύψον. ἀπὸ τοῦ τυπῶ, μέλλων δεύτερος, ὁ τυπῶν περισπωμένως, ἡ τυποῦσα, τὸ τυποῦν, τοῦ τυποῦντος. ᾗ δὲ κλιθήσονται, δῆλον. Σημειωτέον ὅτι τὸ ω μέγα τῆς μετοχῆς τοῦ παρακειμένου, καὶ ἔτι τοῦ μέσου, συστέλλεται ἐν ταῖς πλαγίαις. τετυφὼς, τετυφότος. πλὴν τινῶν σεσημειωμένων κατὰ κρᾶσιν, τὸ ω μέγα φυλαττόντων παρὰ ποιηταῖς. ἑστὼς, ἑστῶτος, καὶ διεστώς. βεβὼς, βεβῶτος. γεγὼς, γεγῶτος. τεθνεὼς, τεθνεῶτος. μεμαὼς, μεμαῶτος. καὶ περὶ μὲν τῶν ἐνεργητικῶν, ταῦτα. περὶ δὲ τῶν παθητικῶν, ἑξῆς λέγωμεν. Περὶ ὁριστικοῦ παθητικοῦ.

Ὁ ἐνεστὼς τοῦ ὁριστικοῦ παθητικοῦ τύπτομαι, ἀπὸ τοῦ ἰδίου ἐνεργητικοῦ τύπτω, συστολῇ τοῦ ω, καὶ προσθέσει μαι. προπαροξύνεται δὲ, τῆς παραληγούσης βραχείας οὔσης. αὐτῆς δὲ μακρᾶς, προπερισπᾶται. ποιοῦμαι. καλοῦμαι. Τὸ δεύτερον τύπτῃ διὰ τοῦ η, ἀπὸ τοῦ τύπτεται τρίτου, ἐκβολῇ τοῦ τ, καὶ κράσει τοῦ ε καὶ α εἰς η. ὅθεν καὶ τὸ ι προσγράφεται. τὸ δὲ δεύτερον τῶν παθητικῶν διὰ τῆς ει διφθόγγου καταχρηστικῶς γράφεται. πλὴν τῶν σεσημειωμένων, βούλομαι, βούλει. οἴομαι, οἴει. ὄψομαι, ὄψει. ἔομαι, ἔει, καὶ κράσει, εἶ. οἱ δὲ ἀττικοὶ πάντα διὰ τῆς ει διφθόγγου ἔγραφον. ὅπερ ἔτι βεβαιοῖ ἡ τῶν παλαιῶν βίβλων γραφή. καὶ ἰωνικῶς τύπτεαι, ἀπὸ τοῦ τύπτεται τρίτου, ἐκβολῇ τοῦ τ. Τὸ τρίτον τύπτεται ἀπὸ τοῦ πρώτου τύπτομαι, τροπῇ τοῦ μ εἰς τ. ἢ ἀπὸ τοῦ δευτέρου κατὰ ἀνάλυσιν τῶν κεκραμένων, καὶ προσθέσει τ. Τὸ δυϊκὸν πρῶτον τυπτόμεθον

ἀπὸ τοῦ τυπτόμεθα, ἀμοιβῇ τοῦ α εἰς ον. Τὸ δεύτερον καὶ τρίτον τύπτεσθον ὁμοφώνως, ἀπὸ τοῦ τύπτεσθε, τροπῇ τοῦ ε εἰς ον. Τὸ πληθυντικὸν πρῶτον τυπτόμεθα ἀπὸ τοῦ τύπτομαι, ἀμοιβῇ τοῦ αι εἰς εθα. καὶ κατὰ παρέμπτωσιν τυπτόμεσθα παρὰ ποιηταῖς, χάριν μέτρου. ὁμοφωνεῖ δὲ τὸ δυϊκὸν τρίτον τῷ δευτέρῳ, τοῦ πληθυντικοῦ τρίτου εἰς αι λήγοντος. ὅτε δὲ μὴ, οὐχ ὁμοφωνεῖ.

Περὶ παρατατικοῦ.

Ὁ παρατατικὸς, ἐτυπτόμην ἀπὸ τοῦ ἐνεργητικοῦ ἔτυπτον, προσθέσει μη. Τὸ δεύτερον ἐτύπτου ἀπὸ τοῦ ἐτύπτετο, τροπῇ τοῦ ε καὶ ο εἰς ου. καὶ ἰωνικῶς, ἐτύπτεο. καὶ δωρικῶς ἐτύπτευ, ὡς παρὰ, Βούτας μὲν ἐλέγευ, ἀντὶ ἐλέγου. Τὸ τρίτον ἐτύπτετο ἀπὸ τοῦ ἐτυπτόμην, τροπῇ τοῦ ε εἰς ο, καὶ τοῦ μην εἰς το. Τὸ δυϊκὸν πρῶτον ἐτυπτόμεθον. ἐτύπτεσθον. ἐτυπτέσθην. ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο κατὰ τὸν ἐνεστῶτα.

Περὶ παρακειμένου.

Ὁ παρακείμενος τέτυμμαι ἀπὸ τοῦ τέτυφα, ἀμοιβῇ τοῦ φα εἰς μαι. ὅτε δὲ ὁ ἐνεργητικὸς παρακείμενος πρὸ τοῦ α φ ἔχει, ὁ παθητικὸς λήγων εἰς μαι, προσλαμβάνει καὶ ἕτερον μ. οἷον, γέγραφα, γέγραμμαι. τέτυφα, τέτυμμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει χ, ὁ παθητικὸς προσλαμβάνει γ. πέπλεχα, πέπλεγμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει κ, εἰ μὲν μακρᾷ παραλήγει ἀπὸ περισπωμένου θέματος ὢν, ὁ παθητικὸς οὐδὲν προσλαμβάνει. ποιῶ, πεποίηκα, πεποίημαι. βοῶ, βεβόηκα, βεβόημαι. εἰ δὲ βραχείᾳ παραλήγει ὁ ἐνεργητικὸς, ὁ παθητικὸς προσλαμβάνει σ. τελῶ, τετέλεκα, τετέλεσμαι. γελῶ, γεγέλακα, γεγέλασμαι. Ἔτι ὅτε ὁ εἰς κα παρακείμενος ἀπὸ βαρυτόνου θέματος γίνεται τῆς τρίτης συζυγίας, εἴτε μακρᾷ εἴτε βραχείᾳ παραλήγων, ὁμοίως ὁ παθητικὸς προσλαμβάνει σ. πείθω, πείσω, πέπεικα, πέπεισμαι. λακτίζω, λελάκτικα, λελάκτισμαι. ἁρπάζω, ἥρπακα, ἥρπασμαι. οἱ δὲ τῆς τετάρτης συζυγίας, τροπῇ τοῦ κ εἰς μαι ποιοῦσι τὸν παθητικὸν παρακείμενον. ἔψαλκα, ἔψαλμαι. ἔσπαρκα, ἔσπαρμαι. κέκλικα, κέκλιμαι. τὰ δὲ εἰς νω ὡς τὰ πολλὰ, τρέπουσι τὸ ν εἰς γ ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ, ἐπειδὴ τὸ ν πρὸ τοῦ γ, ἢ κ, ἢ ξ, ἢ χ, εἰς γ τρέπεται. οἷον, μιαίνω, μεμίαγκα. μολύνω, μεμόλυγκα. τοῦτο δὲ τὸ τραπὲν γ ἀπὸ τοῦ ν, τρέπεται κοινῶς μὲν εἰς μ ἐν τῷ παθητικῷ παρακειμένῳ, μεμίαγκα, μεμίαμμαι. μεμόλυγκα, μεμόλυμμαι. ἀττικῶς δὲ, εἰς σ. οἷον, μεμίασμαι. μεμόλυσμαι. Τῶν δὲ ἀπὸ τῶν εἰς ω καθαρὸν παρακειμένων, οἱ μὲν, προσ-

λαμβάνουσι σ. οἷον, σβέω, ἔσβεσμαι. ξέω, ἔξεσμαι. ἀκούω, ἤκουσμαι. κελεύω, κεκέλευσμαι. κρούω, κέκρουσμαι. κλείω, κέκλεισμαι, καὶ κέκλειμαι. οἱ δὲ, οὔ. βασιλεύω, βεβασίλευμαι. ἱππεύω, ἵππευμαι. κινδυνεύω, κεκινδύνευμαι. τυραννεύω, τετυράννευμαι. Ὁ δὲ παθητικὸς παρακείμενος ἀπὸ τῶν εἰς ω γινόμενος, τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ ἐνεργητικῷ, τέτυφα, τέτυμμαι. πεποίηκα, πεποίημαι. πλὴν τῶν ἀπὸ δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων. οὗτοι γὰρ ἀναλαμβάνουσι τὸ ε τῆς παραληγούσης τοῦ ἐνεστῶτος, ὅπερ τρέπεται εἰς ο μικρὸν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ ὡς εἴρηται ἔθει ἀττικῷ. λέγω, λέλογχα, λέλεγμαι. πλέκω, πέπλοχα, πέπλεγμαι. καὶ χωρὶς τῶν ἐχόντων τὸ ρ μετὰ ἐπιπλοκῆς συμφώνου. ταῦτα γὰρ τρέπουσι τὸ ε εἰς α. στρέφω, ἔστρεφα, ἔστραμμαι. τρέφω, τέθραμμαι. τρέπω, τέτραμμαι. σεσημείωται τὸ βρέχω, βέβροχα, βέβρεγμαι. ἔτι καὶ τὸ δέδωκα δέδομαι ὅτι τῶν εἰς μι συστέλλεται ὅτι παθητικοῦ. τὸ δὲ τέθειμαι, ἀπὸ τοῦ τέθεικα βοιωτικοῦ. Τὸ δεύτερον τέτυψαι ἐκ τοῦ τέτυπται τρίτου, τροπῇ τοῦ πτ εἰς ψ. καὶ εἰ μὲν πρὸ τοῦ τ εὑρεθῇ σ ἐν τῷ τρίτῳ προσώπῳ, τρέπεται τὸ τ εἰς σ, καὶ τὸ ἓν σ ἀποβάλλεται, καὶ οὕτω γίνεται τὸ δεύτερον. γεγέλασται, γεγέλασαι. τετέλεσται, τετέλεσαι. εἰ δὲ εὑρεθῇ πρὸ τοῦ τ ἀμετάβολον, τρέπεται τὸ τ εἰς σ ἐν τῷ δευτέρῳ, καὶ τὸ ἀμετάβολον φυλάττεται. ἔσταλται, ἔσταλσαι. ἔσπαρται, ἔσπαρσαι. μεμόλυνται, μεμόλυνσαι. ἔτι καὶ ἀπὸ τοῦ ἐνεργητικοῦ μέλλοντος, οὗ τὸ σύμφωνον φυλάττεται ἐν τῷ δευτέρῳ προσώπῳ. τύψω, τέτυψαι. λέξω, λέλεξαι. εἰ δὲ ἕτερον σύμφωνον εἴη, προσλαμβάνεται σ. ποιήσω, πεποίησαι. κρινῶ, κέκρισαι. Τὸ τρίτον τέτυπται ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μαι εἰς ται. καὶ ὤφειλεν εἶναι τέτυμται, ἀλλ᾽ ἐτράπη τὸ μ εἰς π διὰ τὸ εὔφωνον. τὰ γὰρ ψιλὰ ψιλῶν προηγεῖται, καὶ τὰ δασέα δασέων. ἔστι καὶ ἀπὸ τοῦ δευτέρου. καὶ εἰ μὲν ἐν τῷ δευτέρῳ εἴη τι τῶν διπλῶν, ἐν τῷ τρίτῳ προσλαμβάνεται τὸ ψιλόν. τέτυψαι, τέτυπται. λέλεξαι, λέλεκται. εἰ δὲ ἐν τῷ δευτέρῳ εἴη σ ὅπερ ἔχει καὶ τὸ πρῶτον, ἢ ρ, ἢ λ, φυλάττεται αὐτὸ καὶ ἐν τῷ τρίτῳ. ἤκουσμαι, ἤκουσαι, ἤκουσται. ἔσπαρμαι, ἔσπαρσαι, ἔσπαρται. ἔσταλμαι, ἔσταλσαι, ἔσταλται. εἰ δὲ πρὸ τοῦ μαι καὶ ἕτερον εἴη μ τετραμμένον ἀπὸ τοῦ τρίτου ἐν τῷ δευτέρῳ καὶ πρώτῳ, πρὸ τοῦ τ προσλαμβάνεται ν τὸ χαρακτηριστικόν. ἔρραμμαι, ἔρρανσαι, ἔρρανται. πέφαμμαι, πέφανσαι, πέφανται. εἰ δὲ τὸ πρῶτον πρὸ τοῦ μ οὐδὲν ἔχει, τὸ δὲ τὸ

τρίτον

τρίτον πρὸ τοῦ τ, πεποίημαι, πεποίηται. τὸ δυϊκὸν προπαροξύτονον τετύμμεθον, ἐκ τοῦ πληθυντικοῦ πρώτου, ἀμοιβῇ τοῦ α εἰς ον. τὸ δεύτερον καὶ τρίτον τέτυφθον, ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ. τὸ πληθυντικὸν προπαροξύτονον, ἀπὸ τοῦ ἑνικοῦ πρώτου. τὸ δεύτερον τέτυπθε, καὶ δι' εὐφωνίαν τέτυφθε. τὸ τρίτον κοινῶς μὲν οὐ γίνεται διὰ τὴν ἀσυνταξίαν, ὅτε πρὸ τοῦ τ τοῦ τρίτου προσώπου ἑνικοῦ ἄλλο τι σύμφωνον εἴη, ἤγουν π. οἷον, τέτυπται. κ, οἷον, λέλεκται. σ, οἷον, εἴργασται. ἔτι καὶ τὰ ἀμετάβολα, λ, οἷον, ἔψαλται. ν, οἷον, μεμίανται. ρ, οἷον, ἔσπαρται. ἐν τούτοις γὰρ τρίτον πρόσωπον πληθυντικὸν γενέσθαι οὐχ οἷόν τε. ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. ὡσαύτως καὶ ἐν τῷ ὑπερσυντελίκῳ, τετυμμένοι εἰσὶν, ἀντὶ τοῦ τέτυπνται. καὶ κεκαρμένοι εἰσὶν, ἀντὶ κέκαρνται. ἰωνικῶς δὲ εἰς ται γίνεται, τετύφαται, καὶ γεγράφαται, ἀπὸ τοῦ ἑνικοῦ τρίτου, τροπῇ τοῦ π εἰς φ τὸ ἀντίστοιχον, καὶ ἐπενθέσει τοῦ α. ἄλλως κατὰ παλαιοὺς, οἱ Ἴωνες τὰ τρίτα πρόσωπα τοῦ παθητικοῦ οὕτω ποιοῦσιν, ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλὸν, τρέπουσιν αὐτὸ τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασὺ, καὶ ποιοῦσι τρίτον πληθυντικὸν, προσθέσει τοῦ α, νένιπται, νενίφαται. εἰ μέντοι εἴη τὸ κοινὸν εἰς σται βαρύτονον, ὅτε τὸ ἰωνικὸν ἔχει πρὸ τοῦ αται τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου, πέφρασται, πεφράδαται, ὅτι πέφραδα. οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραλήγοντες, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συστολὴν, πεποίηται, πεποιέαται. τοῦ τρίτου δὲ πρὸ τοῦ τ μηδὲν ἔχοντος, γίνεται τὸ τρίτον κοινῶς, πεποίηται, πεποίηνται. ἀπὸ δὲ τοῦ τέτυψαι, γίνεται ὁ μετ' ὀλίγον μέλλων, τετύψομαι, τετύψῃ, τετύψεται, κατὰ τὸ τύψομαι σχηματιζόμενος, μιᾷ συλλαβῇ περιττεύων τοῦ παθητικοῦ παρακειμένου. πολλάκις δὲ αὐτὸς τῷ μέσῳ μέλλοντι περισπωμένῳ συντρέχεται, ὅτε ἡ αὐτὴ ἄρχουσα εἴη μέλλοντι καὶ παρακειμένῳ. τοῦτο δὲ γίνεται ἐπὶ τῶν ἀρχομένων ἀπὸ τῶν ἀμεταβόλων φωνηέντων, η. ι. υ. ω. οἷον, ἰξεύσομαι, ἴξευσμαι, ἰξεύσομαι. ὑβρίσομαι, ὕβρισμαι, ὑβρίσομαι. ἔτι δεῖ γινώσκειν καὶ τοῦτο, ὅτι ἐπὶ τῶν ἀρχομένων ἀπὸ ι καὶ υ, ὁ μὲν μέσος μέλλων αὐτὰ βραχέα ἢ θέσει μακρὰ ἔχει. ὁ δὲ μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ παθητικοῦ παρακειμένου μακρά.

Περὶ ὑπερσυντελίκου.

ὁ ὑπερσυντέλικος ἐτετύμμην, ἀπὸ τοῦ τέτυμμαι, τροπῇ τοῦ μαι

εἰς μην, καὶ προσθέσει τοῦ ε τῇ αὐξήσει, ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς. τὸ δεύτερον, ἐτέτυψο. τὸ τρίτον, ἐτέτυπτο. καὶ τἄλλα ὡσαύτως τῷ παρακειμένῳ. τὸ δὲ πληθυντικὸν τρίτον, κοινὸν μὲν οὐ γίνεται διὰ τὴν προειρημένην αἰτίαν. διὰ μετοχῆς δὲ ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, τετυμμένοι ἦσαν, ἀντὶ ἐτέτυπντο. καὶ ἰωνικῶς ἐτετύφατο, ἀπὸ τοῦ ἐνικοῦ τρίτου, τροπῇ τοῦ π εἰς φ, καὶ προσθέσει τοῦ α.

Περὶ παθητικοῦ ἀορίστου πρώτου.

Ὁ παθητικὸς ἀόριστος πρῶτος, ἐτύφθην. ἀπὸ τοῦ παρακειμένου, τροπῇ τοῦ μαι εἰς θην, ἐτύμθην, καὶ διὰ τὸ εὔφωνον, ἐτύφθην. τὸ δεύτερον ἐτύφθης, ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ν εἰς σ. τὸ τρίτον ἐτύφθη ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. τὸ δυϊκὸν δεύτερον ἐτύφθητον, ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ. τὸ τρίτον ἐτυφθήτην ἐκ τοῦ ἰδίου δευτέρου, ἀμοιβῇ τοῦ ον εἰς ην. τὸ πληθυντικὸν πρῶτον ἐτύφθημεν, ἀπὸ τοῦ ἑνικοῦ πρώτου, προσθέσει με. τὸ δεύτερον ἐτύφθητε ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ μεν εἰς τε. τὸ τρίτον ἐτύφθησαν, ἀπὸ τοῦ πρώτου. καὶ ἰωνικῶς ἔτυφθεν ἀπὸ τῆς γενικῆς τοῦ τυφθέντος, ἐκβολῇ τοῦ ος. ὥσπερ ἤγερθεν, ἀντὶ ἠγέρθησαν. καὶ τάφεν, ἀντὶ ἐτάφησαν. εἰ μὲν δὴ ὁ παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος ἢ διφθόγγου καταχρηστικῆς, συνάρχεται αὐτῷ ὁ ἀόριστος, ὥπλισμαι, ὡπλίσθην. ᾕρημαι, ᾑρέθην. εἰ δ᾽ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, τότε ὁ ἀόριστος ἀποβάλλει τὸ σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ. οἷον, πεποίημαι, ἐποιήθην. τέτυμμαι, ἐτύφθην. τὸ δ᾽ εὑρεθὲν σύμφωνον πρὸ τοῦ μ τοῦ παρακειμένου φυλάττει. οἷον, κέκαρμαι, ἐκάρθην. ἔψαλμαι, ἐψάλθην. ἔσβεσμαι, ἐσβέσθην. πλὴν εἰ μὴ μ ἢ γ εἴη. τὸ γὰρ εὑρεθὲν μ ἀπὸ φ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ φ, τέτυφα, τέτυμμαι, ἐτύφθην. γέγραφα, γέγραμμαι, ἐγράφθην. ἔτι καὶ τὸ γ ἀπὸ τοῦ χ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ χ, λέλεχα, λέλεγμαι, ἐλέχθην. τὸ δὲ ἐμολύνθην καὶ ἐμιάνθην, ἔχει τὸ ν διὰ τὴν ἐπιφορὰν τοῦ θ. τὸ γὰρ ν ἐπιφερομένου δ, ἢ θ, ἢ τ, φυλάττεται. εἰ δὲ ὁ παθητικὸς παρακείμενος οὐδὲν ἔχει, οὐδὲ ὁ ἀόριστος. κέκριμαι, ἐκρίθην. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν ὁ ἀόριστος τῷ παρακειμένῳ, τέτυμμαι, ἐτύφθην. πεποίημαι, ἐποιήθην, πλὴν τοῦ εὕρημαι, εὑρέθην. ὅθεν καὶ εὑρετής. καὶ ἐπήνημαι, ἐπηνέθην. καὶ τῶν ἀπὸ τοῦ αἱρῶ περισπωμένων. οἷον, καθῄρημαι, καθῃρέθην. ἀφῄρημαι, ἀφῃρέθην. ῥῶ, ἔῤῥημαι, ἐῤῥέθην. καὶ χωρὶς τῶν ἐχόντων τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνου, καὶ τρεπόντων τὸ ε εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ, ἔστραμμαι, ἐστρέφθην. τέθραμμαι, ἐθρέφθην. ὁ δὲ δεύτερος ἐτάφην, ἀπὸ τοῦ ἔταφον. καὶ τὸ ἐμνήσθην δὲ προσλαμβάνει σ, τοῦ μέμνημαι μὴ ἔχοντος, καὶ

τὸ ἐῤῥώσθην, τοῦ ἔῤῥωμαι μὴ ἔχοντος. τοὐναντίον δὲ τὸ σέσωσμαι, ἐσώθην.

Περὶ τοῦ δευτέρου ἀορίστου.

ὁ παθητικὸς δεύτερος ἀόριστος ἐτύπην διὰ τοῦ π, ἀπὸ τοῦ ἔτυπον δευτέρου ἀορίστου, τροπῇ τοῦ ον εἰς ην. ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ φυλάττει, ἔτυπον, ἐτύπην. ἔβλαβον, ἐβλάβην. ἔφθαρον, ἐφθάρην. τὸ δεύτερον, ἐτύπης. τὸ τρίτον ἐτύπη, κατὰ τὸ πρῶτον. ἀπὸ δὲ τοῦ ἐτύφθην, μέλλων πρῶτος παθητικὸς, τυφθήσομαι, σῃ, σεται. καὶ ἀπὸ τοῦ ἐτύπην, τυπήσομαι, σῃ, σεται, κατὰ τὸ τύψομαι. ὁ μέσος ἀόριστος πρῶτος ἐτυψάμην, ἀπὸ τοῦ ἔτυψα, προσθέσει μην. τὸ δεύτερον ἐτύψω, ἀπὸ τοῦ ἐτύψασο τρίτου ἐκβολῇ τοῦ σ, καὶ κράσει τοῦ αο εἰς ω μέγα. καὶ ἰωνικῶς ἐτύψαο, ὥσπερ ἴψαο, ἀντὶ ἴψω. τὸ τρίτον ἐτύψατο, ἀπὸ τοῦ πρώτου. καὶ τἄλλα ὁμοίως τοῖς προειρημένοις. μέσος δεύτερος ἀόριστος ἐτυπόμην, ἀπὸ τοῦ ἔτυπον, προσθέσει μην. τὸ δεύτερον, ἐτύπου. καὶ ἰωνικῶς, ἐτύπεο. καὶ δωρικῶς, ἐτύπευ. τὸ τρίτον ἐτύπετο, καὶ τἄλλα. Δεῖ δὲ εἰδέναι, ὅτι τὸ τρίτον πρόσωπον εἰ εἴη διὰ τοῦ ατο, τότε τὸ δεύτερον εἰς ω, ἐτύψατο, ἐτύψω. ὅπου δὲ εἴη διὰ τοῦ ετο, ἐκεῖ τὸ δεύτερον εἰς ου, ἐτύπετο, ἐτύπου. ὁ μέσος μέλλων πρῶτος τύψομαι, ἀπὸ τοῦ ἐνεργητικοῦ τύψω, συστολῇ τοῦ ω εἰς ο, καὶ προσθέσει μαι. τὸ δεύτερον τύψῃ μετὰ τοῦ προσγεγραμμένου ι. τὸ τρίτον τύψεται, καὶ τἄλλα κατὰ τὸν ἐνεστῶτα. ὁ μέσος μέλλων δεύτερος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου, ἀμοιβῇ τοῦ ω εἰς ου, καὶ προσθέσει μαι, τυπῶ, τυποῦμαι. ψαλῶ, ψαλοῦμαι. σπερῶ, σπεροῦμαι. τούτοις ὁμοίως καὶ οἱ δωριεῖς προπερισπῶσι τοὺς εἰς ου μέλλοντας, ποιησοῦμαι, ἀντὶ ποιήσομαι. καὶ τὸ κεισοῦμαι, καὶ κεισεῦμαι, ἀντὶ κείσομαι. τὸ δεύτερον τυπῇ μετὰ τοῦ προσγεγραμμένου ι. τὸ τρίτον τυπεῖται. τυπούμεθον. τυπεῖσθον, τυπεῖσθον. τυπούμεθα, τυπεῖσθε, τυποῦνται. οἱ δὲ μέσοι μέλλοντες, καὶ μέσοι ἀόριστοι, ἐν τοῖς παθητικοῖς ὡς ἐπὶ τὸ πλεῖστον ἐνέργειαν σημαίνουσι. πολλάκις δὲ καὶ πάθος.

Προστακτικά.

ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ προστακτικοῦ, τὸ δεύτερον τύπτου, ἐκ τοῦ ἐτύπτου δευτέρου κατὰ ἀφαίρεσιν. καὶ ἰωνικῶς, τύπτεο, καὶ δωρικῶς τύπτευ. τὸ τρίτον τυπτέσθω, ἐκ τοῦ τυπτέτω ἐνεργητικοῦ, τροπῇ τοῦ τ εἰς θ, καὶ προσθέσει σ. τὸ δυϊκὸν δεύτερον τύπτεσθον διὰ τοῦ ο μικροῦ, ἀπὸ τοῦ τύπτεσθε. τὸ τρίτον τυπτέσθων, ἀπὸ τοῦ δευτέρου κατ' ἔκτασιν. τὸ πληθυντικὸν δεύτερον τύπτεσθε, ἀπὸ τοῦ τυπτέσθω. τὸ τρίτον τυπτέσθωσαν ἀπὸ τοῦ τυπτέσθω, προσθέσει σαν.

καὶ ἀττικῶς κατὰ συγκοπὴν, τυπτέσθων. οἱ γὰρ ἀττικοὶ ἀεὶ τοῦ προστακτικοῦ τῶν μὴ ἐχόντων τὸ μ κλιτικὸν τῶν ἀπὸ παθητικοῦ γινομένων ποιοῦσι τρίτον πρόσωπον προστακτικὸν, ὅμοιον τῷ δυϊκῷ τρίτῳ. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος, τέτυψο, ἀπὸ τοῦ ἐτέτυψο. τὸ τρίτον τετύφθω, ἀπὸ τοῦ τετυφέτω, τετυφέθω. καὶ δι' εὐφωνίαν, τετύφθω. τέτυφθον, τετύφθων. τέτυφθε, τετύφθωσαν. ὁ ἀόριστος παθητικὸς, τύφθητι, ἀπὸ τοῦ ἐτύφθη. ὧν δὲ αἱ μετοχαὶ εἰς σ ὀξύτονοι διὰ τοῦ ντ κλινόμεναι, τούτων τὰ προστακτικὰ εἰς θι. καὶ ὤφειλε τύφθηθι εἶναι, ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων, τύφθητι λέγεται. τὸ τρίτον τυφθήτω, ἀπὸ τοῦ πρώτου. τύφθητον, τυφθήτων. τύφθητε, τυφθήτωσαν. ὁ ἀόριστος δεύτερος ὁμοίως, τύπηθι, τυπήτω, ἀπὸ τοῦ ἐτύπη. τύπητον. τυπήτων. τύπητε. τυπήτωσαν. ὁ μέσος ἀόριστος πρῶτος ἀπὸ τοῦ ἔτυψα, τύψαι, τυψάσθω. τύψασθον, τυψάσθων. τύψασθε, τυψάσθωσαν, καὶ τυψάσθων. ὁ μέσος ἀόριστος δεύτερος ἀπὸ τοῦ ἐτύπου, τυποῦ περισπωμένως, τυπέσθω. τύπεσθον, τυπέσθων. τύπεσθε, τυπέσθωσαν, καὶ τυπέσθων.

Εὐκτικά.

ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ εὐκτικοῦ, τυπτοίμην, ἀπὸ τοῦ τύπτοιμι, ἀμοιβῇ τῆς ἐσχάτης, ἢ ἀπὸ τοῦ τύπτομαι. τὸ δεύτερον τύπτοιο, ἀπὸ τοῦ τρίτου, ἐκβολῇ τοῦ τ. τὸ τρίτον τύπτοιτο, ἐκ τοῦ πρώτου. τὸ δυϊκὸν πρῶτον τυπτοίμεθον, ἐκ τοῦ τυπτοίμεθα, ἀμοιβῇ τοῦ α εἰς ον. τὸ δεύτερον τύπτοισθον, ἐκ τοῦ τύπτοισθε. τὸ τρίτον τυπτοίσθην, ἐκ τοῦ δυϊκοῦ δευτέρου. τὸ πληθυντικὸν πρῶτον τυπτοίμεθα, ἐκ τοῦ ἑνικοῦ πρώτου τυπτοίμην. τὸ δεύτερον τύπτοισθε, ἀπὸ τοῦ πρώτου ἢ τρίτου ἑνικοῦ. τὸ τρίτον τύπτοιντο, ἀπὸ τοῦ τρίτου προσθέσει ν. καὶ ἰωνικῶς τυπτοίατο, τροπῇ τοῦ ν εἰς α. καὶ γενοίατο, ἀντὶ τοῦ γένοιντο. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος ἀναπληροῦται. τετυμμένος εἴην, εἴης, εἴη. ὅτε δὲ ὁ παρακείμενος πρὸ τοῦ μ ἕτερον μ προσλαμβάνει, ἢ ἄλλο σύμφωνον τῶν εἰρημένων, ἢ φωνῆεν παραλήγει, οὕτως ἀναπληροῦται τὸ εὐκτικὸν καὶ ὑποτακτικὸν, τέτυμμαι, τετυμμένος εἴην. πέπλεγμαι, πεπλεγμένος εἴην. εἴργασμαι, εἰργασμένος εἴην. κέκαρμαι, κεκαρμένος εἴην. τέθυμαι, τεθυμένος εἴην. λέλυμαι, λελυμένος εἴην. ὅτε δὲ μὴ ἴδιον εὐκτικὸν καὶ ὑποτακτικὸν ποιεῖ, πεποίημαι, πεποιήμην διὰ τὴν καταχρηστικὴν δίφθογγον, ἐὰν πεποιῶμαι. κέκλημαι, κεκλήμην, ἐὰν κεκλῶμαι. ὁ ἀόριστος πρῶτος, τυφθείην, ης, η, ἀπὸ τοῦ ὁ τυφθεὶς, προσθέσει η. καὶ τροπῇ τοῦ σ εἰς ν, τυφθείητον, την. τυφθείημεν, τυφθείητε, τυφθείησαν, καὶ τυ-

φθεῖεν. δῆλος δὲ ὁ σχηματισμός. ὁμοίως καὶ ὁ ἀόριστος δεύτερος, τυπείην, ης, η, ἀπὸ τοῦ τυπείς. καὶ ἀπὸ τοῦ τυφθήσομαι, μέλλων πρῶτος παθητικός, τυφθησοίμην, σοιο, σοιτο. καὶ ἀπὸ τοῦ τυπήσομαι, τυπησοίμην, σοιο, σοιτο. ὁ μέσος ἀόριστος πρῶτος, τυψαίμην, ἀπὸ τοῦ ἐτυψάμην, προσθέσει ι. τύψαιο, τύψαιτο. τὸ τρίτον τῶν πληθυντικῶν, τύψαιντο. καὶ τὸ ἰωνικὸν, τυψαίατο. ὁ μέσος ἀόριστος δεύτερος, τυποίμην, ἀπὸ τοῦ ἐτυπόμην, προσθέσει ι. τύποιο, τύποιτο προπαροξυτόνως. τὸ τρίτον, τύποιντο. καὶ τὸ ἰωνικὸν, τυποίατο. ὁ μέσος μέλλων πρῶτος, τυψοίμην, ἀπὸ τοῦ τύψομαι. τύψοιο, τύψοιτο. ὁ μέσος μέλλων δεύτερος, τυποίμην, ἀπὸ τοῦ τυποῦμαι, τυποῖο, τυποῖτο περισπωμένως. τυποίμεθον, τυποῖσθον, τυποίσθην. τυποίμεθα. τυποῖσθε. τυποῖντο. καὶ ἀπὸ τοῦ τετύψομαι, μετ' ὀλίγον μέλλων, τετυψοίμην, τετύψοιο, τετύψοιτο κατὰ τὸν ἐνεστῶτα. Δεῖ δὲ εἰδέναι ὅτι πᾶν εὐκτικὸν λήγει ἢ εἰς μι, τύπτοιμι, τύψαιμι, ἢ εἰς ην καθαρὸν, ἢ μετὰ τοῦ μ, τυπτοίμην, τυφθείην. παραλήγει δὲ διφθόγγῳ οι, ἢ αι, ἢ ει, ἢ η μετὰ τοῦ προσγεγραμμένου ι. πλὴν τοῦ ζευγνύην.

Περὶ ὑποτακτικοῦ.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ ὑποτακτικοῦ, ἐὰν τύπτωμαι, ἀπὸ τοῦ ἐὰν τύπτω, προσθέσει μαι. τὸ δεύτερον ἐὰν τύπτῃ, ἀπὸ τοῦ ἐὰν τύπτῃ τρίτου. ὅθεν καὶ τὸ ι προσγράφεται. καὶ ἰωνικῶς τύπτεαι, ἀπὸ τοῦ τρίτου. τὸ τρίτον, ἀπὸ τοῦ δευτέρου, προσθέσει ται, χωρὶς τοῦ ὑπογεγραμμένου ι. τὰ δυϊκὰ ἐὰν τυπτώμεθον, τύπτησθον, τύπτησθον. τὸ πληθυντικὸν πρῶτον, ἐὰν τυπτώμεθα, ἀπὸ τοῦ ἐὰν τύπτωμαι. τὸ δεύτερον, ἐὰν τύπτησθε. τὸ τρίτον, ἐὰν τύπτωνται. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος διὰ τὴν προειρημένην αἰτίαν ὑποτακτικὸν οὐ ποιεῖ. ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος, τετυμμένος ἐὰν ὦ, ᾖς, ᾖ. τετυμμένω ἐὰν ἦτον, ἦτον. τετυμμένοι ἐὰν ὦμεν, ἦτε, ὦσιν. ὁ ἀόριστος πρῶτος παθητικὸς, ἀπὸ τοῦ ἐτύφθην, ἐὰν τυφθῶ, τυφθῇς, τυφθῇ, μετὰ τοῦ προσγεγραμμένου ι ἐν δευτέρῳ καὶ τρίτῳ ὁμοίως τῷ ἐνεργητικῷ. ἐὰν τυφθῆτον, τον. ἐὰν τυφθῶμεν, ἐὰν τυφθῆτε, ἐὰν τυφθῶσιν. ὁμοίως καὶ ὁ ἀόριστος δεύτερος, ἐὰν τυπῶ, τυπῇς, τυπῇ. ὁ μέσος ἀόριστος πρῶτος ἀντὶ μέλλοντος, ἐὰν τύψωμαι, τύψῃ, τύψηται, ἀπὸ τοῦ ἐτυψάμην. καὶ μέσος ἀόριστος δεύτερος ἐὰν τύπωμαι, τύπῃ, τύπηται, ἀπὸ τοῦ ἐτυπόμην. οὔτε δὲ ὁ μετ' ὀλίγον μέλλων, οὔτε οἱ μέσοι μέλλοντες ὑποτακτικὰ ποιοῦσιν.

Περὶ ἀπαρεμφάτων.

Ὁ ἐνεστὼς ἐστὶ παρατατικὸς τοῦ ἀπαρεμφάτου ἀπὸ τοῦ τύπτεται, τύπτεσθαι, ἀμοιβῇ τοῦ ται εἰς σθαι. Ὁ παρακείμενος καὶ ὑπερσυντέλικος τετύφθαι, ἀπὸ τοῦ τέτυπται. ὅτε γὰρ εὑρεθῇ ψιλὸν ἐν τῷ τρίτῳ, διὰ τὴν ἀσυνταξίαν τρέπεται εἰς τὸ ἀντιστοιχοῦν δασύ. τέτυπται, τετύφθαι. γέγραπται, γεγράφθαι. νένυκται, νενύχθαι παροξυτόνως, πλὴν τινῶν. ὅτε δὲ πρὸ τοῦ τ τοῦ τρίτου εὕρηται ἀμετάβολον, φυλάττεται καὶ ἐν τῷ ἀπαρεμφάτῳ, κέκαρται, κεκάρθαι. ἔψαλται, ἐψάλθαι. εἰ δὲ τὸ τ τοῦ τρίτου μόνον εἴη, εἰς σθαι τὸ ἀπαρέμφατον γίνεται, τύπτεται, τύπτεσθαι. τύψεται, τύψεσθαι. Ὁ μετ' ὀλίγον μέλλων, ἀπὸ τοῦ τετύψεται, τετύψεσθαι. Ὁ ἀόριστος πρῶτος ἀπὸ τοῦ ἐτύφθην, τυφθῆναι. ἀπὸ τοῦ ἐτύπην, τυπῆναι, προσθέσει ναι. Μέλλων πρῶτος παθητικὸς, ἀπὸ τοῦ τρίτου πάντα, τυφθήσεσθαι, καὶ τυπήσεσθαι. Μέσος ἀόριστος πρῶτος, τύψασθαι. Μέσος ἀόριστος δεύτερος, τυπέσθαι. Μέσος μέλλων πρῶτος, τύψεσθαι. Μέσος μέλλων δεύτερος, τυπεῖσθαι.

Περὶ μετοχῶν.

Αἱ μετοχαὶ πᾶσαι τριγενῶς κλινόμεναι, ἀπὸ τῶν ἰδίων ἀρχῶν σχηματίζονται. Ἀπὸ τοῦ τύπτομαι, ἐνεστὼς καὶ παρατατικὸς ὁ τυπτόμενος, ἀμοιβῇ τοῦ μαι εἰς μενος. τὸ θηλυκὸν, ἡ τυπτομένη. τὸ οὐδέτερον, τὸ τυπτόμενον ἀπὸ τοῦ ἀρσενικοῦ, τῆς τελευταίας τραπείσης. ὡσαύτως ἐστὶ οἱ ἄλλοι χρόνοι. ὁ παρακείμενος καὶ ὑπερσυντέλικος ἀπὸ τοῦ τέτυμμαι, ὁ τετυμμένος, ἡ τετυμμένη, τὸ τετυμμένον. Ὁ ἀόριστος πρῶτος παθητικὸς ἀπὸ τοῦ ἐτύφθην, ὁ τυφθεὶς, ἡ τυφθεῖσα, τὸ τυφθέν. καὶ ἀπὸ τοῦ ἐτύπην, ὁ ἀόριστος δεύτερος, ὁ τυπεὶς, ἡ τυπεῖσα, τὸ τυπέν. Ὁ μέλλων πρῶτος ἀπὸ τοῦ τυφθήσομαι, ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον. ἀπὸ τοῦ τυπήσομαι, ὁ τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον. Ἔτι ἀπὸ τοῦ τετύψομαι, ὁ μετ' ὀλίγον μέλλων, ὁ τετυψόμενος, ἡ τετυψομένη, τὸ τετυψόμενον. Ὁ μέσος ἀόριστος πρῶτος ἀπὸ τοῦ ἐτυψάμην, ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον. Ὁ μέσος ἀόριστος δεύτερος, ἀπὸ τοῦ ἐτυπόμην, ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον. Ὁ μέσος μέλλων πρῶτος ἀπὸ τοῦ τύψομαι, ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον. Ὁ μέσος μέλλων δεύτερος ἀπὸ τοῦ τυποῦμαι, ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον. καὶ ταῦτα μὲν ἀρκεῖ περὶ τῶν βαρυτόνων ῥημάτων, ἀπὸ τῶν παλαιῶν ὑπομνημάτων ἐν συνόψει συναχθέντα. περὶ δὲ τῆς κλίσεως τῶν ἄλλων ῥημάτων τῶν βαρυτόνων περιττὸν ἡγησάμην εἰπεῖν, ἐπειδὴ εὕρηνται καθ' αὑτὰς γεγραμμένα.

οὔτε περὶ κλίσεως χρονικῆς ἢ ἐγκλιτικῆς οἰκεῖον εἰπεῖν. ὅτι εἰδὼς τὴν προσωπικὴν, κἀκείνας οἶδεν εὑρεῖν εὐχερῶς. φέρουσι δὲ τὸ φόρτον τοῖς εἰσαγωγικοῖς φοβερὸν ἀνιαρόν. ἀλλὰ καὶ περὶ τῶν περισπωμένων καὶ εἰς μι, βραχύτατα λέγομεν.

Περὶ τῶν περισπωμένων ῥημάτων.

Τὰ περισπώμενα ῥήματα ἀπὸ τῶν εἰς ω καθαρῶν βαρυτόνων γίνονται κατὰ κρᾶσιν περισπωμένως. διὸ καὶ περισπώμενα λέγεται. ἀπὸ τοῦ ποιέω ἰωνικοῦ, ποιῶ. βοάω, βοῶ. χρυσόω, χρυσῶ. ταῦτα δὲ οἱ αἰολεῖς, ὡς γέγραπται, εἰς μι ποιοῦσι, νόημι, ἀντὶ νοῶ. φίλημι, ἀντὶ φιλῶ. αἴνημι παρ' Ἡσιόδῳ, ἀντὶ αἰνῶ. τούτων αἱ συζυγίαι τρεῖς, ὡς προείρηται. ὧν ἡ πρώτη διὰ τοῦ ε ω προενεχθέντος ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τῶν ἄλλων χρόνων πλὴν τοῦ παρατατικοῦ τὸ η ἢ τὸ ε ἔχει οὕτως. ὅτε ὁ ἐνεστὼς τούτων μακρᾷ φύσει ἢ θέσει παραλήγει, τότε ὁ μέλλων τῷ η παραλήγει, μιᾷ συλλαβῇ περιττεύων τοῦ ἰδίου περισπωμένου ἐνεστῶτος. ποιῶ, ποιήσω. εὑρῶ, εὑρήσω. οἰκῶ, οἰκήσω. τηρῶ, τηρήσω. ἀθλῶ, ἀθλήσω. ἐξαιρεῖται τὸ ἀρκῶ, ἀρκέσω. νεικῶ, νεικέσω. αἰδῶ, αἰδέσω. αἰνῶ, αἰνέσω. ὅθεν ἐπαινῶ, ἐπαινέσω κοινῶς. παρὰ δὲ τοῖς παλαιοῖς αἰνήσω, καὶ ἐπαινήσω. ὅθεν καὶ ὁ ποιητής, μῦθον ἐπαινήσαντες ὀδυσσῆος θείοιο. ἔτι καὶ τὰ μονοσύλλαβα εἰς η, ζῶ, ζήσω. ῥῶ, ῥήσω. καὶ τὰ εἰς ἐν λ. θέλω, θελήσω. μέλω, μελήσω. ὅτε δὲ ὁ ἐνεστὼς βραχείᾳ παραλήγει, τότε ὁ μέλλων ὁτὲ μὲν τῷ η παραλήγει, φιλῶ, φιλήσω. νοῶ, νοήσω. φθονῶ, φθονήσω. ὁτὲ δὲ τῷ ε, τελῶ, τελέσω. καλῶ, καλέσω. ὀλῶ, ὀλέσω. ἐνίοτε δὲ καὶ ἀμφότερα. φορῶ, φορήσω, καὶ φορέσω. πονῶ, πονήσω ψυχικῶς, καὶ πονέσω σωματικῶς. φρονῶ, φρονήσω, καὶ φρονέσω. χωρῶ, χωρήσω, καὶ χωρέσω. τὸ δὲ η φυλάττει καὶ ὁ παρακείμενος, καὶ ὑπερσυντέλικος, καὶ ἀόριστος. μέσοι δὲ παρακείμενοι καὶ ἀόριστοι δεύτεροι οὐκ εἰσὶ, πλὴν τῶν σεσημειωμένων τῆς πρώτης καὶ δευτέρας συζυγίας αὐτῶν. δουπῶ, δουπήσω, δεδούπηκα πρῶτος, δέδουπα μέσος, μιᾷ συλλαβῇ ἐλλείπων τοῦ πρώτου. ἀόριστος δεύτερος, ἔδουπον. κτυπῶ, κτυπήσω, ἐκτύπηκα πρῶτος, ἔκτυπα μέσος. ἔκτυπον ἀόριστος β. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα. ἤνωγα. ἤνωγον. μυκῶ, μυκήσω. μεμύκηκα. μέμυκα. ἔμυκον. χραισμῶ, ἔχραισμον ἀόριστος δεύτερος. ὀλισθῶ, ὄλισθον. ἁμαρτῶ, ἥμαρτον. εὑρῶ, εὗρον. βλαστῶ, ἔβλαστον. ἀλαλκῶ, ἤλαλκον. οὗτοι δὲ οἱ δεύτεροι ἀόριστοι φύσει ἢ θέσει μακρᾷ παραλήγουσι τοὐναντίον τῶν βαρυτόνων. καὶ τὰ μὲν προενεχθέντα ἰωνικὰ καὶ ποιητικά, ὁμοίως τοῖς βαρυτόνοις κλίνονται, ποιέω. ποιέεις. ποιέει. τὰ δὲ δεύτερα ῥητορικὰ περισπώμενα, ἰδίαν ἔλαχον κλίσιν κατὰ κρᾶσιν

ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ. ἐν δὲ τοῖς ἄλλοις χρόνοις ὡσαύτως τοῖς βαρυτόνοις κλίνεται. ὥσπερ εἴτις οἶδε κλίνειν καλῶς τὸ τύπτω καὶ τύπτομαι θεμέλιον ὄντα πάντων τῶν ῥημάτων, ἀπόνως καὶ ταῦτα κλινεῖ. ὁ δὲ ἐκείνων ὀλιγωρῶν, καὶ τούτων ἄπειρος ἔσται, καὶ ὁ κόπος αὐτοῦ κενὸς ἔσται. χωρὶς γὰρ ἀρχῶν καὶ θεμελίων τὰ πάντα κενά.

Κρᾶσις τῆς πρώτης.

Αἱ δὲ κράσεις τῆς πρώτης συζυγίας ἐν ὁριστικοῖς, προστακτικοῖς, εὐκτικοῖς, ὑποτακτικοῖς, ἀπαρεμφάτοις, καὶ μετοχαῖς, οὕτως γίνονται. Τὸ ε καὶ ω, εἰς ω κιρνᾶται. Τὸ ε καὶ ει, εἰς ει. Τὰ δύο εε, εἰς ει. Τὸ ε καὶ ο, εἰς ου. Τὸ ε καὶ ου, εἰς ου. Τὸ ε καὶ οι, εἰς οι. Τὸ ε καὶ η, εἰς η. Ποιέω, ῶ. ποιέεις, εῖς. ποιέει, ποιεῖ. Ἐποίεον, ουν. ἐποίεες, εις. ἐποίεε, ει. Ὁ παρακείμενος, πεποίηκα. Ὁ ὑπερσυντέλικος, ἐπεποιήκειν. Ὁ ἀόριστος, ἐποίησα. Ὁ μέλλων, ποιήσω. χρονικῶς μόνον ἐν τούτοις καὶ ἐγκλιτικῶς, ἵνα μὴ τὸ πάρεργον μεῖζον τοῦ ἔργου γένοιτο. ἡ κλίσις γὰρ τούτων πολλοῖς τε ἄλλοις εἴρηται, κἀμοὶ ἐν τῷ πρώτῳ. ὅ, τε σχηματισμὸς ὁ αὐτὸς τοῖς βαρυτόνοις. Ποίεε, ει. ποιεέτω, ποιείτω. Πεποίηκε, πεποιηκέτω. Ποίησον, ποιησάτω. Τὸ εὐκτικὸν, ποιέοιμι, ποιοῖμι. καὶ τροπῇ τοῦ μι εἰς ην αἰολικῶς, ποιοίην, ης, η. οὕτω καὶ βοάοιμι, βοῷμι, βοῴην, ης, η. καὶ χρυσόοιμι, χρυσοῖμι, χρυσῴην, ης, η. πεποιήκοιμι. ποιήσαιμι. ποιήσεια. ποιήσοιμι. Ὑποτακτικόν, ἐὰν ποιέω, ῶ. ποιέῃς, ῇς. ποιέῃ, ῇ. Ἐὰν πεποιήκω. Ἐὰν ποιήσω, ἀντὶ μέλλοντος. Ποιέειν, εῖν. πεποιηκέναι. ποιῆσαι. ποιήσειν. Ὁ ποιέων, ῶν. Ἡ ποιέουσα, ποιοῦσα. Τὸ ποιέον, οῦν. ὁ πεποιηκώς. ὁ ποιήσας. ὁ ποιήσων.

Παθητικά.

Ποιέομαι ποιοῦμαι, τὸ παθητικόν. ποιέῃ, ῇ. ποιέεται, εῖται. ἐποιεόμην, ἐποιούμην. πεποίημαι. σαι. ται. τὸ πληθυντικὸν τρίτον πεποίηνται κοινῶς, καὶ ἰωνικῶς πεποιέαται, ἀπὸ τοῦ τρίτου ἑνικοῦ, τροπῇ τοῦ η εἰς ε, καὶ πλεονασμῷ τοῦ α. πᾶν γὰρ τρίτον ἑνικὸν τοῦ παθητικοῦ παρακειμένου ἔχων πρὸ τοῦ τ φωνῆεν μακρὸν, τρέπον αὐτὸ εἰς βραχὺ, τὸ ἰωνικὸν τρίτον ποιεῖ, προστεθέντος καὶ α, πεποίηται, πεποιέαται. διὸ οἱ περισπώμενοι μακρᾷ παραλήγοντες, ταύτην συστέλλουσιν εἰς τὴν ὀφειλομένην συστολήν. βεβόηται, βεβοάαται. κεχρύσωται, κεχρυσόαται. εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ τρίτου πληθυντικοῦ, ἀμοιβῇ τοῦ ν εἰς α, ὥσπερ τύψοιντο, τυψοίατο, πεποίηνται, πεποιέαται, τῆς ὀφειλομένης συστολῆς γινομένης. ἐπεποιήμην, πεποιήσομαι. ἐποιήθην, ποιηθήσομαι. ἐποιησάμην, ποιήσομαι. Ποιέου, οῦ. πεποίησο. ποιήθητι. ποίησαι. ποιεοίμην, ποιοίμην. πεποιήμην. ποιηθείην. ποιηθησοίμην. ποιησαίμην. ποιησοίμην. ἐὰν ποιέ

ωμαι, ῶμαι. ἐὰν πεποιῶμαι. ἐὰν ποιηθῶ. ἐὰν ποιήσωμαι, ἀντὶ μέλλοντος πάντοτε. Ποιέεσθαι, εῖσθαι. πεποιῆσθαι. ποιηθῆναι. ποιήσεσθαι. ποιήσασθαι. ὁ ποιεόμενος, ούμενος. ὁ πεποιημένος. ὁ ποιηθείς. ὁ ποιησάμενος. ὁ ποιησόμενος. Σημειωτέον δὲ ὅτι τὰ δισύλλαβα ἐν δευτέρῳ καὶ τρίτῳ προσώπῳ συναίρεσιν μὴ πάσχει. νέω, νέεις, εῖς. νέει, εῖ. πλέω, πλέεις, εῖς. πλέει, εῖ. ῥέω, ῥέεις, εῖς. ῥέει, εῖ. χέω, χέεις, εῖς. χέει, εῖ. καὶ ἐν τοῖς παθητικοῖς ἐν τρίτῳ, πλεῖται. ῥεῖται. καὶ τὸ δεῖται μετὰ τούτων. Δευτέρα ἐστὶν ἡ διὰ τοῦ αω προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τῶν ἄλλων χρόνων τὸ α ἢ τὸ η ἔχει, οὕτως εἰπεῖν. Ὅτε ὁ ἐνεστὼς αὐτῶν πρὸ τοῦ ω ε ἢ ι ἔχει, τότε ὁ μέλλων τῷ α παραλήγει. ἐῶ, ἐάσω. θεῶ, θεάσω. αἰτιῶ, αἰτιάσω. ἐρυθριῶ, ἐρυθριάσω. ἀλλοιῶ, ἀλλοιάσω κοινῶς, καὶ ἀλλοιήσω ἰωνικῶς. Ἔτι τὰ παραληγόμενα τῷ ο, ἀκροῶ, ἀκροάσω. ἐξαιρεῖται βοῶ, βοήσω. γοῶ, γοήσω. ἀλοῶ, ἀλοήσω, καὶ ἀλοάσω. Ἔτι τὰ εἰς ρω ὑπὲρ μίαν συλλαβήν, περῶ, περάσω. φυρῶ, φυράσω. γηρῶ, γηράσω. ξυρῶ δὲ, ξυρεῖς. ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο. Ἔτι τὰ εἰς λω ὑπὲρ μίαν συλλαβὴν τῷ ε παραληγόμενα, γελῶ, γελάσω. ἐλῶ, ἐλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω μονοσύλλαβα, μὴ ποιοῦντα παράγωγα εἰς μι, δρῶ, δράσω. κλῶ, κλάσω. φλῶ, φλάσω. θλῶ, θλάσω. Ἔτι ὅτε ὁ ἐνεστὼς τῷ υ παραλήγει, τότε καὶ ὁ μέλλων τῷ η, ἐστυῶ, ἐστυήσω. λυῶ, λυήσω. δυῶ, δυήσω. Ἔτι τὰ εἰς λω μόνον ἢ μετὰ συμφώνου κατὰ σύλληψιν, εἴτε κατὰ διάστασιν, συλῶ, συλήσω. κραιπαλῶ, κραιπαλήσω. ὁμιλῶ, ὁμιλήσω. ποδαγρῶ, ποδαγρήσω. χολῶ, χολήσω. μελαγχολῶ, μελαγχολήσω. ἀχολῶ, ἀχολήσω. πλὴν τοῦ χαλῶ, χαλάσω. ἱλῶ, ἱλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω τὰ παράγωγα εἰς μι ποιοῦντα, χρῶ, χρήσω, ὅτι χρῆμι. πρῶ, πρήσω, ὅτι πρῆμι. πλῶ, πλήσω, ὅτι πλῆμι. Ἔτι τὰ εἰς ἄλλο τι σύμφωνον λήγοντα, σμῶ, σμήσω. κνῶ, κνήσω. ζῶ, ζήσω. νικῶ, νικήσω. πεινῶ, πεινάσω. διψῶ, διψήσω. κυβερνῶ, κυβερνήσω. τιμῶ, τιμήσω. ἡβῶ, ἡβήσω. ζυφῶ, ζυφήσω. ζυγῶ, ζυγήσω. σιγῶ, σιγήσω. σιωπῶ, σιωπήσω. σπῶ, σπήσω, τὸ ἀκολουθῶ. σπῶ δὲ σπάσω, τὸ ἀνασπῶ, ἀνασπάσω. Αἱ κράσεις τῆς δευτέρας συζυγίας εἰσὶν αὗται ἐν πᾶσι τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. Τὸ α καὶ ω, εἰς ω κιρνᾶται. τὸ α καὶ ε ἐν τῇ διφθόγγῳ, εἰς ᾳ ὑπογεγραμμένον. τὸ α καὶ ε, εἰς α μακρόν. τὸ α καὶ ο, εἰς ω. καὶ τὸ α καὶ ου, εἰς ω. Τὸ α καὶ ειν, εἰς αν. Τὸ α καὶ οι, εἰς ῳ ὑπογεγραμμένον. Τὸ α καὶ η, εἰς α. δεικτικά. Βοάω, ῶ. βοάεις, ᾶς μετὰ τοῦ προσγεγραμμένου ι. ὡσαύτως καὶ τὸ βοάει, ᾷ. ἐβόα-

ου, ων. ἐβόαον, αον. ἐβόαε, α. βεβόηκα. ἐβεβοήκειν. ἐβόησα. βοήσω.
βόαε, α. βοαέτω, άτω. βεβόηκε. κέτω. βόησον. σάτω. βοάοιμι, ῷμι.
βοάοις, ῷς. βοάοι, ῷ μετὰ τοῦ ι. καὶ αἰολικῶς, βοῴην, ης, η. βεβοή-
κοιμι. βοήσαιμι. βοήσεια. βοήσοιμι. ἐὰν βοάω, ῶ. βοάῃς, ᾷς. βο
άῃ, ᾷ ὁμοίως τοῖς ὁριστικοῖς. ἐὰν βεβοήκω. ἐὰν βοήσω. βοάειν,
ᾶν. βεβοηκέναι. βοῆσαι. βοήσειν. ὁ βοάων, ῶν. ὁ βεβοηκώς. ὁ βο
ήσας. ὁ βοήσων. βοάομαι, ῶμαι. βοάῃ, ᾷ. βοάεται, ᾶται. ἐβοαό
μην, ώμην. βεβόημαι. ἐβοήθην. βοηθήσομαι. ἐβοησάμην. βοή-
σομαι. βοάου, ῶ. βεβόησο. βοήθητι. βόησαι. βοαοίμην, ῴμην. βε
βοοίμην. βοηθείην. βοησαίμην. βοησοίμην. ἐὰν βοάωμαι, ῶμαι.
ἐὰν βεβοῶμαι. ἐὰν βοηθῶ. ἐὰν βοήσωμαι. βοάεσθαι, ᾶσθαι. βε
βοῆσθαι. βοηθῆναι. βοηθήσεσθαι. βοήσεσθαι. ὁ βοαόμενος, ώμενος.
ὁ βεβοημένος. ὁ βοηθείς. ὁ βοηθησόμενος. ὁ βοησόμενος. Τρίτη ἐστὶν
ἡ διὰ τοῦ οω προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ
τῶν ἄλλων χρόνων τῷ ω μεγάλῳ παραλήγει ὡς ἐπὶ τὸ πλεῖστον.
ἐν ὀλίγοις δὲ τῷ ο μικρῷ οὕτως, ὅτι τὰ τῆς τρίτης ῥήματα
ἔχουσι προϋποκείμενον ῥηματικὸν, τότε τὸ ω μέγα εὑρήσεις ἐν τῇ
παραληγούσῃ τοῦ μέλλοντος. χρυσόω, ῶ, χρυσώσω, ὅτι χρυσός. ἀργυ
ρόω, ῶ, ἀργυρώσω, ὅτι ἄργυρος. γυψῶ, γυψώσω, ὅτι γύψος. χειρῶ,
χειρώσω, ὅτι χείρ. πυρῶ, πυρώσω, ὅτι πῦρ. στεφανῶ, στεφανώσω, ὅτι στέφα
νος. ὀρθῶ, ὀρθώσω, ὅτι ὀρθός. στρεβλῶ, στρεβλώσω, ὅτι στρεβλός. κα-
κῶ, κακώσω, ὅτι κακός. ταπεινῶ, ταπεινώσω, ὅτι ταπεινός. καὶ ἄλλα
πάμπολλα. πλὴν ὀλίγων τινῶν τῶν ἐχόντων τὸ ο μικρόν. ἀρῶ, ἀρό
σω. ὀμῶ, ὀμόσω. ὀνῶ, ὀνόσω. βόω, ῶ, βόσω. ὅπερ καὶ ἐν τοῖς ἄλλοις χρό
νοις ἔστιν ἰδεῖν. Αἱ δὲ κράσεις τῆς τρίτης οὕτως ἔχουσι. τὸ ο καὶ ω,
εἰς ω κιρνᾶται. τὸ ο καὶ οι, εἰς οι. τὸ ο καὶ ε, εἰς ου. τὰ δύο οο, εἰς
ου. τὸ ο καὶ ειν, εἰς ουν. τὸ ο καὶ η, εἰς οι. χρυσόω, ῶ. χρυσόεις,
οῖς. χρυσόει, οῖ. ἐχρύσοον, ουν. κεχρύσωκα. ἐκεχρυσώκειν. ἐχρύσωσα.
χρυσώσω. χρύσοε, ου. κεχρύσωκε. χρύσωσον. χρυσόοιμι, οῖμι. κε
χρυσώκοιμι. χρυσώσαιμι. χρυσώσεια. χρυσώσοιμι. ἐὰν χρυσόω,
ῶ. χρυσόῃς, οῖς. χρυσόῃ, οῖ ὁμοίως τοῖς ὁριστικοῖς. ἐὰν κεχρυσώκω.
ἐὰν χρυσώσω. χρυσόειν, οῦν. κεχρυσωκέναι. χρυσῶσαι. χρυσώσειν.
ὁ χρυσόων, ῶν. ὁ κεχρυσωκώς. ὁ χρυσώσας. ὁ χρυσώσων. χρυσόο-
μαι, οῦμαι. ἐχρυσοόμην, ούμην. κεχρύσωμαι. ἐκεχρυσώμην. ἐ-
χρυσώθην. ἐχρυσωσάμην. χρυσώσομαι. χρυσόου, οῦ. κεχρύσωσο.
χρυσώθητι. χρύσωσαι. χρυσοοίμην, οίμην. κεχρυσώμην. χρυσω-

θείην. χρυσωσαίμην. χρυσωσοίμην. ἐὰν χρυσόωμαι, ῶμαι. χρυσόῃ, οῖ. χρυσόηται, οῦται, καὶ χρυσῶται. ἐὰν κεχρυσῶμαι. ἐὰν χρυσωθῶ. ἐὰν χρυσώσωμαι. χρυσόεσθαι, οῦσθαι. κεχρυσῶσθαι. χρυσωθῆναι. χρυσωθήσεσθαι. χρυσώσεσθαι. ὁ χρυσοόμενος, ούμενος. ὁ κεχρυσωμένος. ὁ χρυσωθείς. ὁ χρυσωθησόμενος. ὁ χρυσωσόμενος.

Περὶ τῶν εἰς μι.

Τούτων οὕτως ἐχόντων, καὶ περὶ τῶν εἰς μι λέγωμεν βραχύτατα, ὧν αἱ συζυγίαι, ὡς ἔγνωσται, τέσσαρές εἰσι. τούτων ἡ πρώτη, ἀπὸ τῆς πρώτης τῶν περισπωμένων, τιθέω, ῶ, τίθημι. ἡ δευτέρα, ἀπὸ τῆς δευτέρας, ἱστάω, ῶ, ἵστημι. ἡ τρίτη, ἀπὸ τῆς τρίτης, διδόω, ῶ, δίδωμι. ἡ δὲ τετάρτη, ἀπὸ τῶν εἰς υω βαρυτόνων μέχρι παρατατικοῦ κλινομένη. ζευγνύω, ζεύγνυμι. πηγνύω, πήγνυμι. ὀλύω, ὄλυμι. καὶ ἡ μὲν πρώτη καὶ δευτέρα, τῷ η παραλήγει. ἡ δὲ τρίτη, τῷ ω. ἡ δὲ τετάρτη, τῷ υ. κοινὸν δ' αὐταῖς ἐν τῷ μέλλοντι ἀποβάλλειν τὴν πρώτην συλλαβήν. τίθημι, θήσω. ἵστημι, στήσω. δίδωμι, δώσω. καὶ ἐν μὲν τοῖς ἐνεργητικοῖς, μακρᾷ παραλήγει. ἐν δὲ τοῖς παθητικοῖς, βραχείᾳ, τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι. δίδωμι, δίδομαι. ζευγνῦμι, ζεύγνυμαι. εἰ μή που ποιητικὴ ἄδεια τοὐναντίον ἐν τοῖς παθητικοῖς γένοιτο, ὡς τίθημαι. ἀνάχημαι. δίζημαι, καὶ ἄλλα ἰωνικά. οἱ δὲ αἰολεῖς τίθαιμι, ἵσταιμι λέγουσι. καὶ τὰ μὲν εἰς μι, ἐν μὲν τῷ ἐνεστῶτι καὶ παρατατικῷ καὶ ἀορίστῳ δευτέρῳ, ἰδίαν ἔλαχον κλίσιν. ἐν δὲ τοῖς ἄλλοις χρόνοις, ὁμοιοτρόπως τοῖς βαρυτόνοις κλίνονται. ἃ παρὰ τῶν ἄλλων δεῖ καλῶς μαθεῖν. σχηματίσεις δὲ αὐτῶν τὰ δεύτερα πρόσωπα ἀπὸ τῶν πρώτων, τροπῇ τοῦ μι εἰς σ. τίθημι, τίθης. ἵστημι, ἵστης. δίδωμι, δίδως. ζεύγνυμι, ζεύγνυς. τὰ δὲ τρίτα, ἀπὸ τῶν δευτέρων, προσθέσει ι. τίθης, τίθησι, καὶ τίθητι δωρικῶς. ἵστης, ἵστησι. δίδως, δίδωσι. ζεύγνυς, ζεύγνυσι. τὸ δεύτερον καὶ τρίτον τῶν δυϊκῶν, ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ, τροπῇ τοῦ ε εἰς ον, ὥσπερ καὶ τὰ βαρύτονα. τίθετε, τίθετον, τίθετον. ἵστατε, ἵστατον, ἵστατον. δίδοτε, δίδοτον, δίδοτον. ζεύγνυτε, ζεύγνυτον, ζεύγνυτον. τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ πρώτου, μεταποιήσει τῆς ληγούσης, καὶ συστολῇ τῆς παραληγούσης. ἢ ἀπὸ τῆς μετοχικῆς γενικῆς κατὰ παλαιούς. τίθεμεν. ἵσταμεν. δίδομεν. ζεύγνυμεν. τὸ πληθυντικὸν δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μεν εἰς τε, τίθεμεν, τίθετε. ἵστατε. δίδοτε. ζεύγνυτε.

τὸ πληθυντικὸν τρίτον ὁμοφώνως ταῖς μετοχικαῖς δοτικαῖς πληθυντικαῖς, τιθεῖσι. ἱστᾶσι. διδοῦσι. ζευγνῦσι. καὶ ἰωνικῶς, τιθέασι. διδόασι. ζευγνύασι. τὸ δὲ ἵστημι, ἱστᾶσι ποιεῖ διὰ τὴν εὐφωνίαν. ἔτι καὶ ἱᾶσιν ἀττικῶς ἐκ συναιρέσεως, καὶ ἀφιᾶσι, καὶ τὰ ὅμοια. ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος, τροπῇ τοῦ μ εἰς ν, προσθέσει τῆς συνήθους αὐξήσεως, τίθημι, ἐτίθην. ἵστημι, ἵστην. δίδωμι, ἐδίδων. ζεύγνυμι, ἐζεύγνυν. τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ν εἰς σ. τὸ τρίτον ἐκ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. καὶ τὰ λοιπὰ ὁμοιοτρόπως τῷ ἐνεστῶτι.

ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος, θήσω, τέθεικα. στήσω, ἕστακα. δώσω, δέδωκα. ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου κατὰ τὰ βαρύτονα, ἐτεθείκειν. ἑστάκειν. ἐδεδώκειν. τὸ δὲ τέθεικα καὶ ἐτεθείκειν, βοιωτικῶς, τροπῇ τοῦ η εἰς ει. ὥσπερ εἵρωες, ἀντὶ ἥρωες. ὅθεν καὶ τὸ τέθειμαι διὰ τοῦ ει. τὸ δὲ ἕστακα διὰ τοῦ α, εἰς διαφορὰν τοῦ ἕστηκα, ἀπὸ τοῦ ἑστήκω. ὁ ἀόριστος πρῶτος, ἔθηκα. ἔστησα. ἔδωκα. τὸ γὰρ ἔθηκα, ἀντὶ ἔθησα, καὶ ἔδωκα, ἀντὶ ἔδωσα ἔξω τοῦ κανόνος. μεθ' ὧν καὶ τὸ ἧκα σεσημείωται ἐν τοῖς εἰς μι, ὥσπερ τὸ εἶπα, καὶ ἤνεγκα ἐν τοῖς βαρυτόνοις. ὁ ἀόριστος δεύτερος, ἔθην, θης, θη, διὰ τοῦ η. τὰ δὲ λοιπὰ, διὰ τοῦ ε. ἔστην, στης, στη. ἔδων, δως, δω, διὰ τοῦ ω μεγάλου. τὰ δὲ λοιπὰ, διὰ τοῦ ο μικροῦ. μέλλων, θήσω. στήσω. δώσω. εἰδέναι δὲ δεῖ ὅτι τὰ εἰς μι ὑπερδισύλλαβα μὲν ὄντα, προπαροξύνονται. τίθημι. δίδωμι. δισύλλαβα δὲ, ὀξύνονται. εἰμί. φημί. ἠμί. ἐγκλινόμενα δὲ, ὀξύνονται. καὶ σύνθετα, προπαροξύνονται. σύμφημι. πάρειμι. τὸ δὲ εἶμι τὸ πορεύομαι, περισπᾶται. καὶ τὰ μὲν τῆς πρώτης καὶ δευτέρας, ἀνελλιπῆ. τὰ δὲ τῆς τρίτης πλὴν τοῦ δίδωμι, ἐλλιπῆ. τὰ δὲ τῆς τετάρτης, μέχρι παρατατικοῦ. τῶν δὲ προστακτικῶν τὰ μὲν, εἰς θι ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν γίνονται, ἐκβολῇ τοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς θι. τιθέντος, τίθετι, ἀντὶ τίθεθι. τιθέτω. θέντος, θέτι, καὶ θὲς, θέτω. ἱστάντος, ἵσταθι, ἱστάτω. στάντος, στῆθι, στήτω. διδόντος, δίδοθι, διδότω. δόντος, δόθι, καὶ δὸς, δότω. ζευγνύντος, ζεύγνυθι, ζευγνύτω. τὰ δὲ εἰς ον τρέπει εἰς ε, ὡς τὰ βαρύτονα, τέθεικε, τω. ἕστακε, ἑστακέτω. στῆσον, στησάτω. δέδωκε, τω. τῶν δὲ εὐκτικῶν τὰ μὲν, εἰς ην ὡς τὰ παθητικὰ τοῦ πρώτου καὶ δευτέρου ἀορίστου, τιθείην, ης, η. θείην, ης, η. ἱσταίην, σταίην. διδοίην, δοίην. τὰ δὲ, εἰς μι ὡς τὰ βαρύτονα, τεθείκοιμι, κοις, κοι. ἑστάκοιμι. στήσαιμι τὸ κοινὸν, στήσεια τὸ αἰολικόν. δεδώκοιμι, θήσοιμι. στήσοιμι. (δώσοιμι. τῶν δὲ ὑποτακτικῶν

τὰ μὲν περισπώμενα, ὡς τὰ παθητικὰ τοῦ πρώτου καὶ δευτέρου ἀορίστου, ἐὰν τιθῶ, θῇς, θῇ. ἐὰν θῶ. ἐὰν ἱστῶ, ἱστᾷς, ἱστᾷ διὰ τοῦ α. ἐὰν στῶ, στῇς, στῇ. ἐὰν διδῶ. ἐὰν δῶ. τὰ δὲ προπαροξύτονα, ὡς τὰ βαρύτονα, ἐὰν τεθείκω. ἐὰν ἑστάκω. ἐὰν στήσω. ἐὰν δεδώκω. Τῶν δὲ ἀπαρεμφάτων τὰ μὲν, εἰς ναι. τὰ δὲ, εἰς ειν. τιθέναι. τεθεικέναι. θεῖναι. ἱστάναι. ἑστακέναι. στῆσαι. στῆναι. διδόναι. δεδωκέναι. δοῦναι. ζευγνύναι, θήσειν, στήσειν, δώσειν, ἀπὸ τῶν ἰδίων ὁριστικῶν ὡς τὰ βαρύτονα. Τῶν δὲ μετοχῶν αἱ μὲν, εἰς εις. αἱ δὲ, εἰς ας, καὶ ως, καὶ ους, καὶ υς, ξιγλυῶς. ὁ τιθείς. ἡ τιθεῖσα. τὸ τιθέν. ὁ θείς. ὁ τεθεικώς. ὁ θήσων. ὁ ἱστάς. ὁ ἑστακώς. ὁ στάς. ὁ στήσων. ὁ διδούς. ὁ δεδωκώς. ὁ δούς. ὁ δώσων. ὁ ζευγνύς. καὶ τὰ παθητικά, τίθεμαι, ἐθέμην. τέθειμαι, ἐτέθην. ἐθέμην. θήσομαι. καὶ τἆλλα κατὰ τὰ προγεγραμμένα ἐν διαφόροις ἐρωτήμασι καὶ ἐπιτομαῖς τῶν νεωτέρων, ὧν πρῶτος ὁ σοφὸς Μανουὴλ ὁ χρυσολωρᾶς, ὁ φυτεύσας καὶ διδάξας ἐν Ἰταλίᾳ τὰ ἑλληνικά. οὗ τὸ βιβλίον οὐκ οἶδ᾽ ὅπως τινὲς τῶν ἀμαθῶν συστείλαντες, διέφθειραν. καὶ μετ᾽ ἐκεῖνον μετὰ πολλὰ ἔτη ὁ πάντ᾽ ἄριστος Θεόδωρος ὁ γαζῆς τέσσαρα βιβλία συνέθηκε κάλλιστα καὶ ἐλλογιμώτατα. ἐπεὶ δὲ ἡ ἡμετέρα γραμματικὴ ποικίλη τε τυγχάνει, καὶ δύσκολος, καὶ οἷόν τι πέλαγος ἀχανές, οὐ δεῖ τοὺς ἀκροατὰς μόναις ἀρκεῖσθαι ταῖς ἐπιτομαῖς, ὥσπερ σκιαγραφίαις οὔσαις, ἀλλὰ μετ᾽ ἐκείνας ζητεῖν τὰ εὑρισκόμενα παλαιὰ καὶ νέα ἐρωτήματα, ἀφ᾽ ὧν καὶ αὐτὸς ταυτὶ ἠρυσάμην. καὶ ὅσα εὐχερῶς εὕρηνται. τὰ τέτταρα βιβλία Ἀπολλωνίου τοῦ δυσκόλου. Ἡρωδιανοῦ πλεῖστα. Συγγέλου τοῦ ἱεροσολυμίτου τὸ περὶ συντάξεως. Μαξίμου τοῦ πλανούδου τὸν διάλογον, καὶ τὸ περὶ συντάξεως, καὶ περὶ μεταβατικῶν, καὶ ἀμεταβάτων. Τρύφωνος καὶ Θεοδοσίου, καὶ χοιροβοσκοῦ τὰ εὑρισκόμενα. περὶ συνωνύμων ῥημάτων. περὶ τρόπων καὶ σχημάτων ποιητικῶν. περὶ παθῶν. περὶ πνευμάτων. περὶ ποιότητος καὶ ποσότητος. περὶ ὀρθογραφίας. περὶ ἰδιωμάτων. τὰ τοῦ Μοσχοπούλου πάντα. τὰς ἐκλογὰς Θωμᾶ τοῦ μαγίστρου. τὰς τοῦ φρυνίχου. τὰς τοῦ Ἁρποκρατίωνος. τὸν Πολυδεύκην αὐτόν. τὰ περὶ μέτρων διαφορᾶς, καὶ τὰ τοῦ Ἡφαιστίωνος. τὸ περὶ τόνων Ἡρωδιανοῦ καὶ Θεοδοσίου, ὃ συνέτεμον ἐν βραχεῖ. τὰ λεξικά. τὰ ἐτυμολογικά. καὶ τἆλλα ὅσα εἰς τὰς ἀρχὰς ἀνήκει, καὶ θεμέλια τῆς ἑλληνικῆς γλώττης. ἃ εἴ τις ἀκριβῶς οἶδε, θαρρούντως δύναται περαιοῦσθαι τὸ ἐπίπονον τοῦτο πέλαγος. Ἔρρωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. καὶ εἴ τι σφαλερὸν εἴρηται, ἐπιδιορθώσαντες, συγγνῶτε. ἄνθρωποι)

γὰρ πάθος τὸ ἁμαρτάνειν. τὸ μὲν περὶ ὀνόματος ἐξέδοτο ἐν μεδιο-
λάνῳ, ὑπὸ φραγκίσκου σφορτίου τοῦ ἡγεμόνος, ἀξιώσει φιλίππου
φροντίνου, καὶ βαρθολομαίου τοῦ χάλκου, καὶ βωνίνου τοῦ βομ-
βρικίου. οἷς χαριζόμενος, καὶ τοὺς κανόνας τῶν ῥημάτων προσέ-
θηκα τῇ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἐπιτομῇ τῇ πολλάκις ἐντυπω-
θείσῃ. οἳ τῇ ὑποθέσει ταύτῃ ἥρμοζον. ἔτει ἀπὸ θεογονίας, χιλιο-
στῷ, ἑξηκοστῷ τρίτῳ. τὸ δὲ περὶ ῥήματος, ἐσχεδιάσθη μὲν ἐκεῖ,
ἐξέδοτο δὲ ἐνταῦθα ἐν μεσσήνῃ τῆς σικελίας. ἔτι καὶ
τὸ περὶ συντάξεως τῶν ῥημάτων κατὰ λατίνους,
καὶ ἄλλα τινά. ἔτει χιλιοστῷ, τετρακοσιοστῷ,
ἑξηκοστῷ ὀγδόῳ. εἴη εὐτυχὲς ὥσ-
περ τὸ πρῶτον.

Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου περὶ ἀντωνυμιῶν κατὰ πᾶσαν διάλεκτον καὶ ποιητικὴν χρῆσιν.

Ἐπειδὴ καὶ τὸ τὰς ἀντωνυμίας ἀκριβῶς εἰδέναι πάνυ χρήσιμον τοῖς εἰσαγομένοις τυγχάνει, ἀναγκαῖον ἡγησάμην περὶ αὐτῶν ἐν συνόψει διαλαβεῖν, οὐ μόνον κατὰ τὴν κοινὴν συνήθειαν ὥς τινες, ἀλλὰ κατὰ πᾶσαν διάλεκτον καὶ ποιητικὴν χρῆσιν, ἵνα μὴ περὶ αὐτῶν ἀμφισβητοῖεν οἱ τῶν ποιητῶν ἀκροαταὶ ἄλλας παρὰ τὰς συνήθεις εὑρίσκοντες. Ἀντωνυμία τοίνυν ἐστὶ μέρος λόγου πτωτικὸν ἀντὶ ὀνόματος παραλαμβανόμενον. τῶν ἐν ὀνόματι ἰδίων προσώπων ἐμφαινόντων, αὕτη προσήχθη ἵνα τὰ πάντα δηλώσῃ. τῶν μὲν πτώσεων τοῦ ὀνόματος κεκοινωνηκυῖα, τῶν δὲ προσώπων τοῦ ῥήματος. ταύτης δὲ ἀρκτικὰ εἴδη πέντε. πρωτότυπον. κτητικόν. δεικτικόν. ἀναφορικόν, καὶ σύνθετον. περὶ ὧν λεκτέον. Πρωτότυποι εἰσὶ τρεῖς. Τοῦ πρώτου προσώπου ἡ ὀνομαστικὴ μὲν, ἐγὼ κοινῶς. ἀττικῶς δὲ, ἔγωγε. εἰώθασι γὰρ αὐτοὶ προσλαμβάνοντες παραπληρωματικοὺς συνδέσμους ἐπαίρειν τὰς λέξεις. δωρικῶς δὲ, ἐγών, καὶ ἐγώνη. Ἡ γενικὴ, ἐμοῦ κοινῶς, καὶ μοῦ χωρὶς τοῦ ε. ὡσαύτως καὶ ἐπὶ τῆς δοτικῆς καὶ αἰτιατικῆς κατ' ἀφαίρεσιν, ἐγκλιτικῶς. καὶ ἰωνικῶς ἐμέο. ὅπερ ποτὲ μὲν προσλαμβάνει τὸ ι, καὶ γίγνεται ἐμεῖο, ποτὲ δὲ θεν, καὶ γίγνεται ἐμέοθεν. καὶ κατὰ συγκοπὴν, ἐμέθεν. δωρικῶς δὲ καὶ αἰολικῶς, ἐμοῦς. Ἡ δοτικὴ, ἐμοὶ, καὶ μοι. Ἡ αἰτιατικὴ, ἐμὲ, καὶ με. κλητικὴν δὲ ἡ τοῦ πρώτου προσώπου οὐκ ἔχει. οὐδεὶς γὰρ ἑαυτὸν καλεῖ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, νῶϊ, καὶ νώ. Ἡ γενικὴ, καὶ δοτικὴ, νῶϊν, καὶ νῷν. Ἡ ὀνομαστικὴ πληθυντικὴ, ἡμέες, ἡμεῖς. δωρικῶς δὲ καὶ αἰολικῶς, ἄμμες. οὐ κατ' ἀναλογίαν ἡ ὀνομαστικὴ δυϊκὴ, ἄμμε. Ἡ γενικὴ, ἡμέων, ἡμῶν. καὶ ἐπενθέσει τοῦ ι, ἡμείων. καὶ αἰολικῶς, ἀμμέων. Ἡ δοτικὴ, ἡμῖν περισπωμένως παρὰ τοῖς ῥήτορσιν. ὀξυτόνως δὲ παρὰ ποιηταῖς, ὅτε τὸ ι βραχὺ τυγχάνει. καὶ δωρικῶς ἄμιν, καὶ αἰολικῶς, ἄμμιν. Ἡ αἰτιατικὴ, ἡμέας, ἡμᾶς. καὶ αἰολικῶς, ἄμμε. Τοῦ δευτέρου προσώπου ἡ ὀνομαστικὴ, σὺ κοινῶς, καὶ δωρικῶς τὺ, καὶ τύνη. Ἡ γενικὴ κοινῶς σοῦ, καὶ ἰωνικῶς σέο, καὶ σεῖο ποιητικῶς, καὶ ἀττικῶς σέοθεν, καὶ σέθεν. δωρικῶς δὲ καὶ αἰολικῶς, σεῦ. Ἡ δοτικὴ, κοινῶς μὲν, σοί. δωρικῶς δὲ, τοί. διαφέρει δὲ τῆς ὀνομαστικῆς, ὅτι ἐκείνης μὲν τὸ σὺ διὰ τοῦ υ ψιλοῦ γράφεται, ταύτης δὲ διὰ τῆς οι διφθόγγου. Ἡ αἰτιατικὴ, σέ. καὶ δωρικῶς, τύ. Ἡ κλητικὴ, σύ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, σφῶϊ, καὶ σφώ. Ἡ γενικὴ καὶ δοτικὴ, σφῶϊν, καὶ σφῷν. Ἡ κλητικὴ, ὁμοία τῇ ὀνομαστικῇ. Ἡ ὀνομαστικὴ πληθυντικὴ, ὑμέες, ὑμεῖς. καὶ δωρικῶς

ὕμες, καὶ αἰολικῶς, ὔμμες. ὡς κατ' ἀναλογίαν ἡ ὀνομαστικὴ δυϊκὴ ὔμμε. ἡ γενική, ὑμέων, ὑμῶν, καὶ ὑμείων, καὶ αἰολικῶς, ὐμμέων. ἡ δοτικὴ ὑμῖν, περισπωμένη μὲν παρὰ τοῖς ῥήτορσιν, ὀξυτονουμένη δὲ πολλάκις παρὰ τοῖς δωρικοῖς ποιηταῖς, ὅτε τὸ ι βραχύ ἐστι. καὶ δωρικῶς ὔμιν, καὶ αἰολικῶς ὔμμιν. ἡ αἰτιατική, ὑμέας, ὑμᾶς. καὶ δωρικῶς καὶ αἰολικῶς, ὔμμε. διαφέρουσι δὲ τὰ πληθυντικὰ τοῦ δευτέρου προσώπου τῶν πληθυντικῶν τοῦ πρώτου, ὅτι ἐκεῖνα μὲν διὰ τοῦ η γράφονται, ταῦτα δὲ διὰ τοῦ υ ψιλοῦ. ἡ κλητική, ὑμεῖς. Τοῦ τρίτου προσώπου ἡ ὀνομαστικὴ κατὰ παλαιοὺς ἴε, καὶ ὅς. ἡ γενική, κοινῶς μὲν, οὗ. ἰωνικῶς δὲ, ἕο, καὶ εἷο. ἀττικῶς, ἕθεν. καὶ δωρικῶς, ἑοῦς. τὸ δὲ ἐμοῖο, καὶ σοῖο, καὶ οἷο, οὐ γίνονται ἀπὸ τῶν πρωτοτύπων, ἀλλ' ἀπὸ τῶν κτητικῶν, ἐμοῦ, σοῦ, οὗ, ἔθει ἰωνικῷ. ἡ δοτική, οἷ. καὶ προσθέσει, ἑοῖ. ἡ αἰτιατική, ἕ. ὅθεν ἕθεν, καὶ ἑέ. κλητικὴν δὲ οὐκ ἔχει. οὐδεὶς γὰρ τὸν ἀπόντα καλεῖ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκή, σφῶε σφώ, ἥπερ ἀεὶ ἀντὶ αἰτιατικῆς λαμβάνεται. οἷον, τίς τ' ἄρ σφῶε θεῶν, ἀντὶ αὐτούς. ἡ γενικὴ καὶ δοτική, σφέοιν, σφοῖν, καὶ σφῖν. Ἡ ὀνομαστικὴ πληθυντική, σφέες σφεῖς, καὶ σφὲς δωρικῶς. ἡ γενική, σφέων σφῶν, καὶ σφείων. ἡ δοτική, σφίσι, καὶ σφῖν. ἡ αἰτιατική, σφέας, σφᾶς. Καὶ αὗται μὲν αἱ πρωτότυποι ἀντωνυμίαι, ἀφ' ὧν παράγονται ὀκτὼ κτητικαὶ τριγενῶς κλινόμεναι.

Κτητικαί.

Ἀπὸ τῆς ἐμοῦ γενικῆς τῆς πρωτοτύπου, παράγεται ἐμός. ἐμή. ἐμόν. Ἀπὸ τῆς σοῦ τοῦ δευτέρου προσώπου, σός. σή. σόν. αἳ καὶ δωρικῶς, τεός, τεά, τεόν λέγονται. Ἀπὸ τῆς οὗ γενικῆς τοῦ τρίτου, ἑός. ἑή. ἑόν. Ἀπὸ τῆς νῶϊ ὀνομαστικῆς δυϊκῆς τοῦ πρώτου προσώπου, νωΐτερος, νωϊτέρα, νωΐτερον. λέγονται δὲ ὅταν δύο μόνοι μετέχωσι τοῦ κτήματος. Ἀπὸ τῆς σφῶϊ ὀνομαστικῆς δυϊκῆς τοῦ δευτέρου προσώπου, σφωΐτερος, σφωϊτέρα, σφωΐτερον. ὡσαύτως καὶ αὗται ὅταν δύο μετέχωσι τοῦ κτήματος. Ἀπὸ τοῦ τρίτου προσώπου ἀντωνυμία οὐ παράγεται. οὐ γάρ ἐστιν ὀνομαστικὴ ἀφ' ἧς παραχθήσεται. τὸ γὰρ σφῶε, αἰτιατική ἐστιν. Ἀπὸ τοῦ ἡμεῖς ὀνομαστικῆς τοῦ πρώτου προσώπου, ἡμέτερος, ἡμετέρα, ἡμέτερον. ἀπὸ τοῦ ὑμεῖς δευτέρου, ὑμέτερος, ὑμετέρα, ὑμέτερον. αὗται δὲ λέγονται ὅτε πολλοὶ μετέχουσι τοῦ κτήματος. Ἀπὸ τῆς σφέες σφεῖς τοῦ τρίτου, σφέτερος, σφετέρα, σφέτερον. παρὰ ποιηταῖς δέ εἰσι καὶ ἄλλαι κτητικαὶ ἀντωνυμίαι κατὰ τὴν ἀκολουθίαν τούτων, ἁμὸς, ἁμή, ἁμὸν, ἀντὶ ἡμέτερος, ἡμετέρα, ἡμέτερον. καὶ ὑμὸς, ὑμή, ὑμὸν, ἀντὶ ὑμέτερος, ὑμετέρα, ὑμέτερον. καὶ σφός,

σφή,

σφή, σφόν, ἀντὶ σφέτερος, σφετέρα, σφέτερον· τούτων δὲ τὰς μὲν ἀρσενικὰς καὶ οὐδετέρας κατὰ τὴν τετάρτην κλινεῖς κλίσιν. τὰς δὲ θηλυκάς, κατὰ τὴν δευτέραν.

Περὶ δεικτικῶν.

Δεικτικαὶ δέ εἰσι δύο τριχῶς κλινόμεναι οὕτω κοινῶς καὶ ἀττικῶς. Οὗτος, καὶ προσχηματισμῷ, οὑτοσί. εἰώθασι γὰρ οἱ ἀττικοὶ προστιθέναι τὸ ι, ἵνα πλείω τὴν δεῖξιν ἐκφαίνωσιν. ἡ γενική, τούτου, καὶ τουτουΐ. τούτῳ, καὶ τουτῳΐ. τοῦτον, καὶ τουτονί. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. Αὕτη, καὶ αὑτηΐ. ταύτης, καὶ ταυτησί. ταύτῃ, καὶ ταυτηΐ. ταύτην, καὶ ταυτηνί. Τοῦτο, καὶ τουτοΐ, καὶ τουτὶ ἄμεινον. τούτου, καὶ τουτουΐ. τούτῳ, καὶ τουτῳΐ. τοῦτο, τουτοΐ, καὶ τουτί. πληθυντικῶς, ταῦτα, καὶ ταυτὶ ἐπὶ ὀνομαστικῆς καὶ αἰτιατικῆς. Ἐκεῖνος, ἐκεινοσί. ἐκείνη, ἐκεινηΐ. ἐκεῖνο, ἐκεινοΐ. λέγεται δὲ καὶ χωρὶς τοῦ ε κατ' ἀφαίρεσιν ποιητικῶς. κεῖνος. κείνη. κεῖνο. οἱ δὲ δωριεῖς τρέποντες τὸ κ εἰς τ καὶ τὸ ε τῆς ει διφθόγγου εἰς η, ὑπογράφοντες καὶ τὸ ι, τῆνος, τήνη, τῆνο, ἀντὶ κεῖνος, κείνη, κεῖνο λέγουσιν. ὧν τὰς μὲν ἀρσενικὰς καὶ οὐδετέρας, κατὰ τὴν τετάρτην κλινεῖς κλίσιν. τὰς δὲ θηλυκάς, κατὰ τὴν δευτέραν. Ἀπὸ δὲ τοῦ ὁ ἄρθρου, καὶ δε, καὶ γε συνδέσμων, γίνονται ἀντωνυμικά, ὅδε, καὶ ὁδὶ ἀττικῶς. τοῦδε. τῷδε. τόνδε. ἥδε. τῆσδε. τῇδε. τήνδε. τόδε, καὶ τοδί. τοῦδε. τῷδε. τόδε, καὶ τοδί, ἀεὶ ταῖς πτώσεσι τῶν ἄρθρων προστιθεμένων τῶν συνδέσμων. καὶ ὅγε. τοῦγε. ἥγε. τῆσγε. τόγε. τοῦγε. Ἔστι ὃ, ἀντὶ οὗτος. ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. ἣ, ἀντὶ αὕτη. ὃ, ἀντὶ τοῦτο. Εὑρίσκεται δὲ καὶ δεῖνα ἐπὶ τρίτου προσώπου μόνον πάντα τὰ ἄρθρα προσλαμβάνουσα, ἣν μονοπρόσωπον, καὶ ἀντωνυμίαν ἀόριστον τινὲς ἐκάλεσαν. Ὁ δεῖνα, τοῦ δεῖνος, καὶ δεῖνα, δείνατος. τῷ δεῖνι. τὸν δεῖνα. Ἡ δεῖνα, τῆς δεῖνος. τῇ δεῖνι. τὴν δεῖνα. Τὸ δεῖνα. τοῦ δεῖνος. τῷ δεῖνι. τὸ δεῖνα. Ἔστι καὶ παρὰ ποιηταῖς, ὁ δεὶς, τοῦ δεῖνος. τῷ δεῖνι. τὸν δεῖνα, καὶ τὰ λοιπά.

Περὶ ἀναφορικῆς.

Ἀναφορικὴ δὲ μία, ἥτις καὶ ἐπιταγματικὴ καλεῖται, διότι μετὰ πάσης πρωτοτύπου ἀντωνυμίας δύναται συντάττεσθαι δι' ὅλων τῶν πτώσεων καὶ ἀριθμῶν. κλίνεται δὲ τριχῶς οὕτω, Αὐτός. αὐτοῦ. αὐτῷ. αὐτόν. Αὐτή. αὐτῆς. αὐτῇ. αὐτήν. Αὐτό. αὐτοῦ. αὐτῷ. αὐτό. καὶ τὰ μὲν ἀρσενικὰ καὶ οὐδέτερα, κατὰ τὴν τετάρτην κλίνονται κλίσιν. τὰ δὲ θηλυκά, κατὰ τὴν δευτέραν. λαμβάνεται δὲ αὐτὸς ἀντὶ ἐγώ, σύ, ὅς, καὶ ἐκεῖνος. αὐτοῦ ἐμοῦ, αὐτοῦ σοῦ, αὐτοῦ οὗ, καὶ ἐκείνου. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ψιλοῦται δὲ ἀεὶ αὐτός,

αὐτῇ, αὐτό. τὸ δὲ αὐτοῦ, αὐτῷ, αὐτὸν δασυνόμενα, ἀπὸ τοῦ ἑαυτοῦ, ἑαυτῷ, ἑαυτὸν κατὰ ἀφαίρεσιν. ὅθεν καὶ ἡ δασεῖα φυλάττεται.

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς ἀπὸ τῶν πρωτοτύπων καὶ τοῦ αὐτὸς γινόμεναι. περὶ ὧν εἰδέναι δεῖ, ὅτι οἱ ἀρχαῖοι μὴ ἔχοντες συνθέτους ἀντωνυμίας, ἀνεπλήρουν τὴν χρείαν αὐτῶν διὰ τῶν πρωτοτύπων, καὶ τῆς ἀναφορικῆς, ἐμοῦ αὐτοῦ λέγοντες, σοῦ αὐτοῦ, οὗ αὐτοῦ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οἱ δὲ μεταγενέστεροι, συνέθηκαν. διὸ καὶ συνθέτους αὐτὰς ὠνόμασαν. κλίνονται δὲ τριγενῶς ὀνομαστικὰς οὐκ ἔχουσαι, διότι αὐτοπάθειαν σημαίνουσι. καλοῦνται δὲ καὶ ἀντανακλαστοὶ, ἐπειδὴ ἐν τῷ αὐτῷ ἐννοεῖται τὸ ἐνεργοῦν, καὶ πάσχον. καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου, ἑνικῶς μόνον κλίνονται. ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτόν. ἐμαυτῆς. ἐμαυτῇ. ἐμαυτήν. ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτό. Σεαυτοῦ. σεαυτῷ. σεαυτόν. σεαυτῆς. σεαυτῇ. σεαυτήν. σεαυτοῦ. σεαυτῷ. σεαυτό. αἵτινες καὶ κατὰ κρᾶσιν, σαυτοῦ. σαυτῷ. σαυτόν. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. εὕρηνται δὲ καὶ ἐν παραθέσει ἀρχαίῳ ἔθει, σὲ αὐτὸν, ἀντὶ σὲ μόνον. σὲ αὐτὴν, ἀντὶ σὲ μόνην. Θεοδόσιος δέ φησι τοὺς παλαιοὺς αὐτὰς κλίνειν ἐπὶ παντὸς ἀριθμοῦ. Τοῦ δὲ τρίτου προσώπου, ἑαυτοῦ. ἑαυτῷ. ἑαυτόν. ἑαυτῆς. ἑαυτῇ. ἑαυτήν. ἑαυτοῦ. ἑαυτῷ. ἑαυτό. καὶ πληθυντικῶς παρὰ λόγον ἔθει ἀττικῷ, συνθέτως καὶ διῃρημένως τριγενῶς. ἑαυτῶν, καὶ σφῶν αὐτῶν. ἑαυτοῖς, καὶ σφίσιν αὐτοῖς. ἑαυτοὺς, καὶ σφᾶς αὐτούς. ὁμοίως ἑαυτῶν, ἑαυταῖς. ἑαυτάς. ἑαυτῶν. ἑαυτοῖς. ἑαυτά. λαμβάνονται δὲ καὶ ἀντὶ ἀλλήλων, ἀλλήλοις. ἀλλήλους. Εἰσὶ δὲ καὶ παρὰ ποιηταῖς ἄλλαι ἀντωνυμίαι μονόπτωτοι καὶ μοναδικαὶ καλούμεναι, ἐμὶν, ἀντὶ ἐμοί. καὶ τὶν καὶ τεΐν, ἀντὶ σοί. καὶ σφὲ, ἀντὶ αὐτόν. καὶ μὶν, καὶ νὶν, ἀντὶ αὐτόν. αὐτήν. αὐτό. καὶ ἔτι πληθυντικῶς ἀντὶ αὐτούς. αὐτάς. αὐτά. καὶ ἔτι δωρικῶς ψὲ, ἀντὶ αὐτάς. καὶ ταῦτα μὲν ἐκ πολλῶν δι᾽ ὠφέλειαν τῶν μαθητῶν. οἱ διὰ τὴν ἀπορίαν τῶν βιβλίων καὶ διδασκάλων δυσχερῶς μανθάνειν τὰ τοιαῦτα ἐδύνανται. Ἔρρωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. ἐν Μεδιολάνῳ, ἔτει χιλιοστῷ, τετρακοσιοστῷ, ἑξηκοστῷ.

Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου περὶ τῶν ὑπογεγραμμένων φωνηέντων. ἐν Μεσσήνῃ τῆς Σικελίας συνετέθη.

Πολλῶν ὄντων καὶ χρησίμων τῆς τεχνικῆς γραμματικῆς, ἓν οἶμαι καὶ τὸ περὶ τῶν ὑπογεγραμμένων φωνηέντων εἰδέναι, τίνα καὶ τίνι λόγῳ ὑπογράφονται, μέρος ὂν ὀρθογραφίας καὶ ἐτυμολογίας. ὅπερ εἰ καὶ τοῖς πολλοῖς νῦν ὀλιγωρεῖται διὰ τὴν ἄγνοιαν, ὥσπερ καὶ ἄλλα πολλά, ὅμως τοῖς παλαιοῖς περισπούδαστον ἦν εἰδέναι, καὶ χρῆσθαι. τουτὶ δὲ ἀπὸ τῆς γραφῆς τῶν παλαιῶν βιβλίων καταμαθεῖν ἔστιν. διὸ οὐδενὸς δεῖ. εἰ γὰρ ἀχρεῖον ἦν, οὐκ ἂν προσέγραφον. ὅτε οἱ γραμματικοὶ διεσπαρμένως λόγον ἐποίουν. ταῦτα διδεῖν ᾠήθην τὰ παρ' ἄλλοις, καὶ τὰ ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ γεγραμμένα, δι' ὠφέλειαν τῶν νέων διὰ βραχέων ἐπισημειώσασθαι, ἵν' ἀπόνως εἰδέναι ἔχοιεν περὶ τούτων, καὶ μὴ ἀεὶ σφάλλοιντο. εἰ δ' ἔνια τεχνικὰ ἢ ῥητορικὰ παραλέλειπται, οὐ θαυμάζειν χρή. οὐ γὰρ προὐθέμην μετὰ πάσης ἐπιμελείας περὶ πάντων εἰπεῖν, ἀλλ' αὐτοσχεδίως περὶ τῶν μνημονευομένων. ἀφ' ὧν ἔστι τὰ λοιπὰ εὐχερῶς μαθεῖν ἐξέσται.

Περὶ τῶν ὑπογεγραμμένων φωνηέντων.

Τὰ νῦν ὑπογραφόμενα φωνήεντα δὶς οἱ παλαιοὶ προσέγραφον, ἀπὸ τῶν διφθόγγων τὸ εἶναι ἔχουσι. διὸ καὶ δίφθογγοι καταχρηστικῶς καλοῦνται. καὶ τὸ μὲν ᾳ ὑπογραφόμενον, δυνάμει αι τυγχάνει ὄν. ὡσαύτως καὶ τὸ ῃ ἀπὸ τοῦ αι, τροπῇ τοῦ α εἰς η, καὶ τοῦ ι ὑπογραφομένου. τὸ δὲ ῳ ὑπογραφόμενον, δυνάμει οι τυγχάνει κατ' ἔκτασιν τοῦ ο εἰς ω, καὶ τοῦ ι ὑπογραφομένου. ὅθεν ἔστιν εἰπεῖν τινὰ μὲν καθολικῷ κανόνι ὑπογράφεσθαι, τινὰ δ' ἀπ' ἐτυμολογίας. ἄλλα ἢ πάθει τινί, ἐκτάσει, ἢ κράσει, ἢ συναιρέσει, ἢ συναλοιφῇ, ἢ τροπῇ. ὀλίγα δ' ἄττα κατὰ παράδοσιν καὶ ὁμοίωσιν ἄλλων. περὶ ὧν λεκτέον ἀρξαμένοις ἀπὸ τοῦ α.

Περὶ τοῦ α.

Παντὶ α δοτικῆς ἑνικῆς ὁποίου ἂν εἴη γένους ὑπογράφεται ι. τῷ Αἰνείᾳ. τῷ Πυθαγόρᾳ. τῇ Μαίᾳ. τῇ μαρείᾳ. τῇ ἡμέρᾳ. τῷ κρέᾳ, ἀπὸ τοῦ κρέαϊ κατὰ συναίρεσιν. ὅθεν καὶ οἱ Λατῖνοι ἐν τῇ ὁμοίᾳ δοτικῇ διαιρέσει χρῶνται. αὐλάϊ, ἀντὶ αὐλῇ. ἔτι παντὶ α τοῦ δευτέρου καὶ τρίτου προσώπου τῆς ὁριστικῆς καὶ ὑποτακτικῆς τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ῥημάτων, βοάεις, βοᾷς. βοάει, βοᾷ. δράεις, δρᾷς. δράει, δρᾷ. τὸ γὰρ α καὶ ε εἰς α μακρὸν κιρνᾶται, καὶ τὸ ι ὑπογράφεται. ἐὰν βοάῃς, βοᾷς. ἐὰν βοάῃ, βοᾷ. ὡσαύτως καὶ τὸ δεύτερον τοῦ παθητικοῦ, βοάομαι, ῶμαι. βοάῃ, ᾷ. καὶ τὰ ἀπαρέμφατα δὲ τῶν τοιούτων ἀνάλογα ὑπογεγραμμένα

ἀνέγνωμεν. βοᾷν. σιγᾷν. ἀλλὰ διὰ τὴν ἐπιφορὰν τοῦ ν οὐ παραδέχονται ἔνιοι τῶν ἡμετέρων γραμματικῶν, καὶ ὅτι ἀπὸ τοῦ τρίτου τοῦ παρατατικοῦ αὐτὰ σχηματίζουσιν. ᾄδης, ᾄδου, ᾄδῃ, καὶ τὰ λοιπὰ ὑπογράφονται, ἀπὸ τοῦ ἀΐδης κατὰ κρᾶσιν. ὅθεν καὶ τὸ α ἐκτείνεται. τῶν δὲ πρωτοτύπων συστέλλεται, ἀΐς, ἀΐδος. ἀΐδης, ἀΐδου. ἀϊδωνεύς, ἀϊδωνέως. τοῦτο δὲ δῆλον ἀπὸ τῶν ποιητικῶν ἐπῶν. ᾄδω ἀπὸ τοῦ ἀείδω ἰωνικοῦ κατὰ κρᾶσιν. ὅθεν καὶ τὸ α μακρόν. τὸ δὲ ἀείδω, βραχύ, καὶ τοῦ ἀοιδὸς, καὶ ἀοιδή. ᾆσμα ᾄσματος, ἀπὸ τοῦ ᾄδω, ᾖσμαι. ᾀεὶ ὑπογράφεται παρὰ ταῖς παλαιαῖς βίβλοις, ἀπὸ τοῦ αἰεὶ οἶμαι. παρὰ ποιηταῖς δὲ συστέλλεται. ῥᾳδίως ἀπὸ τοῦ ἰωνικοῦ ῥηϊδίως, τροπῇ τοῦ η εἰς α, καὶ τοῦ ι ὑπογραφομένου. ὡσαύτως καὶ ῥᾴδιος, ῥᾳδία, ῥᾴδιον. ὃ καὶ ἡ ῥᾴων, καὶ τὸ ῥᾷον. ῥᾷστος, ῥᾴστη, ῥᾷστον, καὶ ῥᾷστα. ῥᾳστώνη. ῥᾳστωνεύομαι. ῥᾳδιουργῶ. ῥᾳδιούργημα. καὶ πάντα ἀπὸ τοῦ ῥᾷον. ἤγουν πρᾷος, πρᾴα, πρᾷον. πρᾳότης. ῥᾳθυμῶ, ῥᾴθυμος, ῥᾳθυμία, ἤτοι ῥᾴων θυμός. ὅθεν καὶ τὸ α ἐκτείνεται. ῥᾷβδος, ἀπὸ τοῦ ῥᾷον βαίνειν. δᾲς, δᾳδὸς, δᾳδὶ, δᾷδα, ὅτι δαῒς παρὰ παλαιοῖς, ἀπὸ τοῦ δαίω. ὡσαύτως καὶ θρᾷξ, θρᾳκὸς, θρᾳκὶ, θρᾷκα, ὅτι θραὶξ καὶ θρᾴϊξ. ὅθεν ἰωνικῶς, θρήϊκες ἀκρόκομοι. καὶ θρηϊκία γῆ. καὶ θρᾴκη, ἡ ἐπαρχία. καὶ θρᾳκίας εἴτε θρασκίας ἄνεμος, ὁ διὰ τῆς θρᾴκης. δημοσίᾳ, ἀντὶ δημοσίως. ἰδίᾳ, ἀντὶ ἰδίως. βίᾳ, ἀντὶ βιαίως. παρρησίᾳ, καὶ πάντα τὰ τοιαῦτα ἐπιρρήματα κατάληξιν δοτικῆς ἔχοντα, ὑπογράφεται.

Περὶ τοῦ η.

Χρῄζω ὑπογράφεται, ἀπὸ τοῦ ἰωνικοῦ χρηΐζω. καὶ κλῄζω, ἀπὸ τοῦ κληΐζω. λῃστὴς, λῃστοῦ, ἀπὸ τοῦ ληΐζω, ληϊστὴς, καὶ ληϊστήρ. λῃστεύω, λῃστεία. λῃστρικὸς. κή. κόν. θρῃσκεύω καὶ θρῃσκεία, ἀπὸ τῶν θρᾳκῶν. ἦτορ ἤτορος τινὲς ὑπογράφουσιν, ἀπὸ τοῦ ἀΐθω παράγοντες. εἰ δὲ ἀπὸ τοῦ ἄω ὅπερ ἀναλογώτερον, οὐχ ὑπογράφεται. πέρσῃ, μούσῃ, σκύθῃ, ἑλένῃ, σοφῇ, καλῇ, καὶ πᾶσα δοτικὴ ἑνικὴ εἰς η λήγουσα, ὑπογράφεται ι. ὡσαύτως πέρσῃσιν ἰωνικῶς, ἀντὶ πέρσαις. μούσῃσιν, ἀντὶ μούσαις. νύμφῃσιν, ἀντὶ νύμφαις. καὶ πᾶσα δοτικὴ ἰωνικὴ λήγουσα εἰς ῃσι. τρέπεται γὰρ τὸ α τῆς αι διφθόγγου εἰς η, καὶ τὸ ι ὑπογράφεται. ᾖθον, ἀπὸ τοῦ αἴθω. ᾑρούμην, ᾕρημαι, ᾑρέθην, ἀπὸ τοῦ αἱροῦμαι. ἀφῄρημαι, ἀφῄρησαι, ἀφῄρηται, ἀφῃρημένος, ἀφῃρέθην, ἀπὸ τοῦ ἀφαιροῦμαι. ᾐνιξάμην, ἀπὸ τοῦ αἰνίττομαι. καὶ πάντες οἱ παρήκοντες τῶν ἀπὸ τοῦ αι ἀρχομένων, τρέπουσι τὸ α εἰς η, καὶ τὸ ι ὑπογράφουσιν. ἔτι τύπτῃ, γράφῃ, λέγῃ, καὶ πάντα τὰ δεύτερα πρό-

ἔστι τὰ τῶν παθητικῶν κοινῶν καὶ ἀποθετικῶν ἐνεστώτων εἰς ῃ λήγοντα. ἀπὸ γὰρ τοῦ τρίτου γίνεται. τύπτεται γάρ, καὶ ἐκβολῇ τοῦ τ, καὶ κράσει τοῦ ε καὶ α εἰς η, ὑπογραφομένου καὶ τοῦ ι. ὁμοίως καὶ τῶν μελλόντων, τύψῃ, γράψῃ, ποιήσῃ, τυπῇ. Ἔτι πάντα τὰ δεύτερα καὶ τρίτα ἐνικὰ τῶν ὑποτακτικῶν διαφόρων συζυγιῶν εἰς ῃ λήγοντα, ἐὰν τύπτῃς, τύπτῃ. ἐὰν τετύφῃς, τετύφῃ. ἐὰν τύψῃς, τύψῃ. ἐὰν ποιήσῃς, ποιήσῃ. ἐὰν τιθῇς, τιθῇ. Ἔτι τὰ δεύτερα τῶν παθητικῶν κοινῶν καὶ ἀποθετικῶν. ἐὰν τύπτωμαι, τύπτῃ. ἐὰν τύψωμαι, τύψῃ. ὁμοιοτρόπως καὶ τὸ μέμνῃ ἰωνικόν, ἀντὶ μέμνησαι. κάθῃ, ἀντὶ κάθησαι. δύνῃ, ἀντὶ δύνασαι. Κέχηνα, ἀπὸ τοῦ χαίνω, χανῶ, κέχηνα. καὶ πέφηνα, ἀπὸ τοῦ φαίνω. ὅτε γὰρ ὁ ἐνεστὼς παραλήγει τῇ αι διφθόγγῳ, τότε τὸ α εἰς η τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι τῆς διφθόγγου ὑπογράφεται. δεδιῄτηκα, ἀπὸ τοῦ διαιτῶ. φημὶ φῇς, ἀπὸ τοῦ φᾷς. ᾔδει κοινόν, ἀπὸ τοῦ εἴδω, τροπῇ τοῦ ε εἰς η. καὶ τοῦ ᾔδει τὸ πρῶτον ὑπογράφεται, ἀπὸ τοῦ κοινοῦ κατ᾽ ἔκτασιν. ὡσαύτως καὶ τὸ ᾔειν, ἐπῄειν, προσῄειν, ἀπῄειν, ἀπὸ τοῦ εἴω κοινοῦ. ἐπῇμεν, ἀπὸ τοῦ ἐπείω. ᾖα, ὅτι ἤϊα. ἔκηα ἰωνικόν, ἀπὸ τοῦ καίω. κῄωμεν, ἀπὸ τοῦ καίωμεν. κηάμενοι, ἀντὶ καίοντες. ᾖδεν, ᾖσεν, ἀπὸ τοῦ ᾄδω. τῇ μῇ, ἀντὶ τῇ ἐμῇ. Ἀηδὼν ἀηδόνος, καὶ τὰ λοιπά, ἀπὸ τοῦ ἀείδω κατ᾽ ἔκτασιν. γῄδιον, ὅτι γηΐδιον. ᾐὼν ᾐόνος, ὅτι ἠϊών. αἰζηός, ὅτι αἰζηΐος, ἀπὸ τοῦ ἀεὶ ζῆν. ζῇς ζῇ ἰωνικά, ἀπὸ τοῦ ζάω, ῶ, ζάεις, ᾶς, ζάει, ᾶ. καὶ ζῇς, ζῇ, τροπῇ τοῦ α εἰς η. ἔτι πεινῇς, πεινῇ. διψῇς, διψῇ. καὶ τὸ ζῆν ὑπογεγραμμένον ἀναλόγως ἀνέγνωμεν, πλὴν οὐ παραδέχονται ἔνιοι τῶν ἡμετέρων διὰ τὴν ἐπιφορὰν τοῦ ν, καὶ διὰ τὸ ἀπὸ τοῦ τρίτου τοῦ παρατατικοῦ αὐτὸ σχηματίζειν. μιμνῄσκω, ὅτι οἱ αἰολεῖς μιμναίσκω λέγουσι. λῇς ποτὶ τὰν νυμφὰν λῇς αἰπόλε, ἀπὸ τοῦ λῶ, λᾷς. καὶ ἄλλα πάμπολλα. κῇφα, ἀντὶ καὶ εἶπα. ᾖδεν, ἀντὶ εἶδεν. ἐνθῆν, ἀντὶ ἐλθεῖν. τῆνος, τῆνα, τῆνο, ἀντὶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο. Ἔτι δὲ τὰ ἰωνικὰ ὁμηρικά. μῃόνων, ἀντὶ μαιόνων. μῃονία, ἀντὶ μαιονία. μετῄωρα, ἀντὶ μεταίωρα. κρῄηνον, ἀντὶ κραίαινον. καλλιπάρῃοι καὶ μιλτοπάρῃοι, ἀπὸ τοῦ παρειᾶς. τελῄεσσας ἑκατόμβας, ἀντὶ τελείας. ὀπώπῃ, ἀντὶ ὀπώπει. δεδῄει καὶ δέδῃεν, ἀπὸ τοῦ δαίω. ᾔομεν, ἀντὶ εἴομεν. τῇ, ἄρθρῳ, καὶ τῇ, ἀντὶ ταύτῃ, καὶ τῇ, ἀντὶ λάβε, ἀπὸ τοῦ τῶ. Τὰ εἰς ῃ ἐπιρρήματα ὑπογράφονται. ἄλλῃ. πάντῃ. πῇ. ὅπῃ. κρυφῇ. σπουδῇ. εἰκῇ. ἡσυχῇ. κομιδῇ. πολλαχῇ. πανταχῇ. διπλῇ. τριπλῇ. τετραπλῇ. πενταπλῇ. ταύτῃ. ᾗ, ἀντὶ ᾗτινι. καὶ ᾗ, ἀντὶ ὅπου, ἀφ᾽ οὗ τὸ ᾗχι. τὸ δὲ ἤδη καὶ δηλα-

δῇ, οὗ. μῇ. νῇ. δῇ. ἢν σχετλιαστικόν. ὤη, καὶ ἰωή. Ἔτι πάντα τὰ ἀττι-
κὰ τοῦ παρακειμένου τῷ η παραλήγοντα, πεποιήμην, πεποίῃο, πεποί-
ῃο. βεβοήμην. ᾔδεσθα, ἀντὶ ᾔδεις. ᾐδέσθην, ἀπὸ τοῦ αἰδοῦμαι. [illegible]
δ᾽ ᾕρεον ὄβριματα νηῶν, ἀπὸ τοῦ αἱρῶ. ᾔστην, ἀπὸ τοῦ εἰδήτην. ᾔσμεν, ᾔστε, ᾔ-
σαν, ἀντὶ εἴδημεν, εἴδητε, ᾔδεσαν. δῃώσας ἀντὶ κόψας, ἀπὸ τοῦ δαΐω.
δῃῶ ἡ δημήτηρ ὑπογράφεται, ὥς ἔνιοι φασὶν, ἀπὸ τοῦ δαΐω. ὅπερ οἱ πλεῖ-
στοι οὐ παραδέχονται. κλῇθρα ἰωνικῶς, ἀπὸ τοῦ κλείω, κλεῖθρον. νηρῇ-
δες, ὅτι νηρηΐδες. βρισῇδες, ὅτι βρισηΐδες. χρυσῇδες, ὅτι χρυσηΐδες.
καδμῇδες, ὅτι καδμηΐδες κατὰ συναίρεσιν. παμφαίνῃσιν, ἔχῃσι, φαί-
νῃσιν, ὡς ὑποτακτικὰ ὑπογράφονται.

Περὶ τοῦ ῳ.

Τῷ τῷ ἄρθρῳ τῆς ἑνικῆς δοτικῆς ἀρσενικοῦ καὶ οὐδετέρου γένους,
ἀεὶ ὑπογράφεται. τῷ αἰνείᾳ. τῷ λόγῳ. τῷ αἴαντι. τῷ γράμματι. τῷ ξύ-
λῳ. Ἔτι πάσῃ δοτικῇ εἰς ω ληγούσῃ ὑπογράφεται ι. τῷ λόγῳ. τῷ
ξύλῳ. τῇ ὁδῷ. τῷ μενέλεῳ. τῇ ἅλῳ. Ἔτι πάσῃ γενικῇ καὶ δοτι-
κῇ δυϊκῇ, καὶ δοτικῇ πληθυντικῇ, καὶ ὀνομαστικῇ καὶ κλητικῇ πλη-
θυντικῇ τῶν ἀττικῶν ὀνομάτων τῆς τρίτης κλίσεως κατ᾽ ἔκτασιν.
τοῖν μενέλεῳν, ἀπὸ τοῖν μενελάοιν. τοῖς μενέλεῳς, ἀπὸ τοῖς μενε-
λάοις. οἱ μενέλεῳ, ὦ μενέλεῳ, ἀπὸ τοῦ οἱ μενέλαοι. οὐ μὴν ἡ ὀνομα-
στικὴ καὶ κλητικὴ τῶν οὐδετέρων ὑπογράφεται, τὰ ἀνώγεω, ὦ ἀνώγεω, διότι
ἀπὸ τὰ ἀνώγεα γίνεται. Ἔτι πάσῃ γενικῇ καὶ δοτικῇ δυϊκῇ τῶν ὀνομά-
των τῆς δευτέρας τῶν συνῃρημένων κλίσεως, τοῖν ὄφεῳν ἀττικῶς κατ᾽
ἔκτασιν, ἀπὸ τοῖν ὀφέοιν, ἀναβιβαζομένου καὶ τοῦ τόνου καὶ πρὸ τῆς
ληγούσης μακρᾶς οὔσης. ταῖν πόλεῳν, ἀπὸ ταῖν πολέοιν. καὶ ἔτι
κρεῷν, ἀπὸ τοῖν κρεάοιν. νῷν, ὅτι νῶϊν. σφῷν, ὅτι σφῶϊν. λῷον, ὅτι
λώϊον. λῷστος, ὅτι λώϊστος. σῴζω, ὅτι σωΐζω. σῷς, σῷος, ὅτι σώϊος. ἡ-
ρῷος, ὅτι ἡρώϊος. καὶ τὰ ὅμοια. πατρῷος, πατρῴα, πατρῷον, ὅτι πατρώ-
ϊος. μητρῷος, α, ον, ὅτι μητρώϊος. παππῷος, α, ον. μινῷος, ὅτι μινώϊος.
κῷος, ὅτι κώϊος. ἑῷος, ὅτι ἑώϊος. ἀχελῷος, ὅτι ἀχελώϊος. ἀῷος ποταμὸς
κύπρου, ὅτι ἀώϊος. μινῴδης, ὅτι μινωΐδης. ἡρῴδης, ὅτι ἡρωΐδης. ἀφ᾽ οὗ καὶ
ὁ ἡρῳδιανός. κῷνος, κατὰ παράδοσιν. ᾠδὴ, ἀπὸ τοῦ ἀοιδή. καὶ τὰ ἀπ᾽ αὐτοῦ,
προσῴδιον. ᾠδεῖον. προσῳδία. ὑμνῳδία. μελῳδία. ἀπῳδή. κωμῳ-
δία. τραγῳδία. μονῳδία. ῥαψῳδία. παλινῳδία. κωμῳδός. τραγῳ-
δός. μονῳδός. ὑμνῳδός. μελῳδός. ῥαψῳδός. καὶ τὰ ἑαυτῶν ῥήματα. ὑ-
μνῳδῶ. ῥαψῳδῶ. κωμῳδῶ. τραγῳδῶ. μονῳδῶ. χρησμῳδῶ. χρησμῳ-
δός. χρησμῳδία. κῷας. κῴδιον, ὅτι κωΐδιον. στῴδιον, ἀπὸ τῆς στοιᾶς. οἷς
παραλόγως ἠκολούθησε τὸ λαγῴδιον, καὶ καλῴδιον. ἀλῳὴ, ἡ ἅλως.

ἀπὸ τοῦ ἀλθίω· γὰρ ἀλώη ἐστὶ ἰατρικὸν φάρμακον, ὤ. ζῳάδης, ὅτι ζωϊάδης. ζῷαι καὶ λῷαι κατὰ παράδοσιν. ζῳοὺς, τοὺς ζωϊκούς. ἡρῷναι, ὅτι ἡρωΐναι. ἐρῳδιὸς, εἰ μὲν ἀπὸ τοῦ ὄρωρος πραγμάτων, οὐκ ἔχει. εἰ δὲ καθὸ ἡ ῥῳδιακὸν ἀπὸ τοῦ ῥοίζω, ἔχει. ῥοιδιὸς γάρ. καὶ πλεονασμῷ τοῦ ε, καὶ ἐκτάσει, ἐρῳδιός. ὅπερ ὑπογεγραμμένον καὶ αὐτὸς εἶδον ἐν ὀρθογράφοις παλαιοῖς βιβλίοις. ζῴδιον, ὅτι ζωΐδιον. ζῷον, ὅτι ζώϊον. καὶ ὅτι τὰ δισύλλαβα τῷ ω παραληγόμενα, ὑπογράφονται. ζῷον. πτῷον. οἷς ὁμοίως δὲ σῷον. προσῷον. περισῷον. ὑπερῷον, ὅτι ὑπερώϊον. ᾠὸν, ὅτι ὤϊον εὕρηται. ᾦα τὸ περιτραχήλιον τοῦ ἱματίου. ἀπὸ τοῦ ὄϊς ἤ, ὀΐς, οἰὸς, οἶα. καὶ ἐκτάσει, ᾦα. ᾧ, ἀντὶ ᾧτινι, ὡς δοτική. καὶ ᾧ, ἀντὶ καθά. ᾡπόλος ἀντὶ ὁ αἰπόλος, κατὰ κρᾶσιν καὶ συναίρεσιν. ᾡπόλοι ἀντὶ αἰπόλοι δηλονότι, κατὰ ἔκθλιψιν, καὶ κρᾶσιν, καὶ συναίρεσιν. χᾡ ξυμπόται, ἀντὶ καὶ οἱ ξυμπόται. χᾡ συγγενεῖς, ἀντὶ καὶ οἱ συγγενεῖς. χᾡ τυμπανισμοὶ, ἀντὶ καὶ οἱ τυμπανισμοί. ἐγᾦμαι ῥητορικὸν, ἀντὶ ἐγὼ οἶμαι. ἐγᾦδα, ἀντὶ ἐγὼ οἶδα. ᾤχηκα, ἀπὸ τοῦ οἴχω. ᾤκτειρα, ἀπὸ τοῦ οἰκτείρω. ᾠχόμην, ἀπὸ τοῦ οἴχομαι. ᾠμην, ᾠήθην, ἀπὸ τοῦ οἴομαι. ᾠκοδόμηκα, ἀπὸ τοῦ οἰκοδομῶ. διῴκηκα, ἀπὸ τοῦ διοικῶ. ᾤκουν, ἀπὸ τοῦ οἰκῶ. καὶ πάντες οἱ παρεληλυθότες τῶν ἀπὸ τοῦ οι ἀρχομένων ῥημάτων, πλὴν τῶν σεσημειωμένων παρὰ τῷ Ἡρῳδιανῷ καὶ τοῖς ἄλλοις ἀξιοπίστων. οἷον, οἰῶ τὸ μονῶ, οἴουν. οἰμῶ τὸ πορεύομαι, οἴμουν. οἰνῶ, οἴνουν. οἰνίζω, οἴνιζον. οἰστρῶ, οἴστρουν. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπουν. οἰωνοπολῶ, οἰωνοπόλουν. οἰακονομῶ, οἰακονόμουν. οἰακίζω, οἰάκιζον. οἰακοστροφῶ, οἰακοστρόφουν. οἰδαίνω, οἴδαινον. οἰκουρῶ, οἰκούρουν. ταῦτα γὰρ ἢ δι' εὐφωνίαν, ἢ ἰωνικῷ ἔθει ἀξιόπιστα ἔμειναν. Ἔτι τὰ δεύτερα καὶ τρίτα ἑνικὰ πρόσωπα τῶν ὑποτακτικῶν τῆς τρίτης συζυγίας τῶν εἰς μι, ἐὰν διδῷς, διδῷ. ἐὰν δῷς, δῷ. ἐὰν ἁλῷς, ἁλῷ, ὅθεν ἁλῴη. Ἔτι τὰ δεύτερα τῶν παθητικῶν τῶν αὐτῶν, ἐὰν διδῶμαι, διδῷ. ἐὰν δῶμαι, δῷ. Ἔτι δὲ κατὰ συναίρεσιν ὡ τῶν εὐκτικῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, βοάοιμι, ῷμι. βοάοις, ῷς. βοάοι, ῷ. βοάοιτον, ῷτον. βοαοίτην, οῴτην. βοάοιμεν, ῷμεν. βοάοιτε, ῷτε. βοάοιεν, ῷεν. καὶ ἐκ τροπῆς τοῦ μι εἰς ην αἰολικῶς, βοῴην, βοῴης, βοῴη. τὸ παθητικὸν ὁμοίως, βοαοίμην, ῴμην. βοάοιο, ῷο. βοάοιτο, ῷτο. Ἔτι δὲ ὡ τοῦ εὐκτικοῦ τοῦ παρακειμένου, κεχρυσῴμην, κεχρύσῳο, κεχρύσῳτο. ζῴη. δῴη, ἀπὸ τοῦ δοίη. ἐῴκει, ἀπὸ τοῦ εἴκω. ἔοικα, ἐῴκειν. ἐῳνοχόει, ἀπὸ τοῦ οἰνοχοῶ. ἀνῷγε, καὶ ἀνέῳγε, καὶ ἀνῷξε, καὶ ἀνέῳξε, καὶ ἀνέῳγμαι, καὶ

ἀνεῳγμένος ἀττικῶς πάντα, ἀπὸ τοῦ ἀνοίγω. ἐπαρῴνουν καὶ πεπαρῴνηκα, ἀπὸ τοῦ παροινῶ. ᾤμοι τινὲς ὑπογράφουσιν, ἀπὸ τοῦ οἴμοι κατ᾽ ἔκτασιν. θῳή, ὅτι θωϊή. ὅθεν καὶ ἀθῷος, ὁ ἀζήμιος. κεῴμι, ἀπὸ τοῦ κεάσοιμι, οἶμι. βιῴην καὶ ἀναβιῴην, ὡς εὐκτικά. καὶ νικῴη, καὶ μελετῴη. θρῴσκω, ἀπὸ τοῦ θρωΐσκω τὸ πηδῶ. ὅθεν θρῳσμὸς ὁ ὑψηλὸς τόπος, οἱονεὶ θωρισμός. κολῳὸς ὁ θόρυβος, τινὲς ὑπογράφουσιν ἐτυμολογοῦντες, ἀπὸ τῶν κολοιῶν τῶν ὀρνέων. καὶ κολῳῶ, τὸ θορυβῶ. πλῴζω, ὅτι πλωΐζω. χρῴζω, ὅτι χρωΐζω. πρῷζον δὲ προχθεσινόν, ὅτι πρωΐζον. πρῴην ὑπογράφεται, ὅτι ἀπὸ τοῦ πρωΐ, πρώϊος, πρωΐα. καὶ ἰωνικῶς, πρωΐην κατ᾽ αἰτιατικὴν πτῶσιν, ἀφ᾽ οὗ πρῴην ἐπίρρημα. πρῷρα κατὰ παράδοσιν ὑπογράφεται, ὅτι πρώϊρα. καὶ δῆλον ὅτι κυανοπρῴροις ἀνέγνωμεν. φῴζειν τὸ καίειν, ὅτι φωΐζειν. κυκλῷ δὲ ἐπίρρημα ὑπογράφεται ἀπὸ δοτικῆς γινόμενον, καὶ ἄλλα πολλά. ἔρρωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. ἐν Μεσσήνῃ τῆς Σικελίας ἔτει ἀπὸ θεογονίας χιλιοστῷ, πεντακοσιοστῷ, ἑβδομηκοστῷ.

Σκιπίωνος Καρτερομάχου.

Τὴν Κωνσταντίνοιο μαθὼν πολυειδέα τέχνην,
ὄρσεο γραμματικῆς καὶ σὺ λαβεῖν ἐς ἄκρον.
Οὐ νέμεσις παῖδας γλώσσῃ πάλαι ἀμφὶ φοινικοὺς
τὸν σοφὸν Ἑλλήνων κοινὰ γονῆα πονεῖν.

Ἐνετίῃσι παρ᾽ Ἄλδῳ οὐκ ἄνευ προνομίου ὡς καὶ ἐν ἄλλοις.

Quæ inter imprimendum euenere errata.

Διόρθωσις τῶν τῆσδε τῆς βύβλου ἁμαρτημάτων.

·α·

Ἐν τῇ ·β· σελίδι τοῦ ·γ· φύλλου, γράφε τῷ ὄγκῳ.
ἐν τῇ ·α· τοῦ ·δ· ὁ δοίδυξ.
ἐν τῇ ·α· τοῦ ·ζ· λογία.

·β·

ἐν τῇ ·α· τοῦ ·ε· κεχρύσωσο, σωσο.
ἐν τῇ ·α· τοῦ ·ζ· ἐὰν στήσωμαι, στήσῃ, στήσηται.

·γ·

ἐν τῇ ·β· τοῦ ·β· ἐν τούτοις γάρ.
ἐν τῇ ·α· τοῦ ·ε· ἀεὶ δὲ ὁ παθητικός.
ἐν τῇ ·α· τοῦ ·ς· οἷον, λείπω, λείψω.
ἐν τῇ αὐτῇ λέλειφα, λέλειφα.
ἐν τῇ ·β· τοῦ ·η· δίς· τετράκις πολλάκις· ὀλιγάκις.
ἐν τῇ αὐτῇ· τὰ δὲ ἐκλογῆς, οἷον, μηνοῦντε, τὰ δὲ ἀποτρεπτικά, οἷον, ἡράκλεις.
ἐν τῇ αὐτῇ, ὅπερ λέγει, τὰ δὲ, βιασμοῦ, γράφεται καὶ ἀνέσεως.

·δ·

ἐν τῇ ·β· τοῦ ·α· ἐκβολῇ· τοῦ ·σ· καὶ προσθέσει.
ἐν τῇ ·α· τοῦ ·β· ὑπερβολὴν σημαινούσῃ.
ἐν τῇ αὐτῇ, βελτίων, ἀρείων, κρείττων.
ἐν τῇ ·β· τοῦ ·γ· νῦν δὲ περὶ τῆς συντάξεως.
ἐν τῇ ·α· τοῦ ·ς· ἀντὶ φυσίζωος.

·ε·

ἐν τῇ ·α· τοῦ ·γ· μέλλων, χρώσω, χύω, καὶ χύνω, μέλλων χύσω, χωννύω,

μέλλων χώσω,

ἐν τῇ ·β· τοῦ ·γ· ἀμβροσία·

ἐν τῇ ·β· τοῦ ·δ· τὸ ·η· πρὸ τοῦ ·ψ· οὐχ εὑρίσκεται, εἰ μὴ ἀπὸ κλίσεως·

ἐν τῇ ·α· τοῦ ·ε· πλὴν τοῦ ὁκοῖος ὁκόσος·

ἐν τῇ ·β· τοῦ ·ε· πρὸ τοῦ ἡ ·ψ· δίφθογγος, ἐλλείπει τοῦ τὴν, ἡ ·αυ· δίφθογγος ψιλοῦται, οἷον, αὐλός·

πλὴν, αὕτη, αὐτοῦ, ἀντὶ ἑαυτοῦ·

·Α·

ἐν τῇ ·β· τοῦ ·β· τὰ δὲ προαιρετικά·

ἐν τῇ αὐτῇ ἔτι καὶ τὰ ἐφετικά·

ἐν τῇ ·β· τοῦ ·γ· πάμπολλα·

ἐν τῇ ·α· τοῦ ·ε· ἀπαλλάττωσι·

ἐν τῇ ·β· τοῦ ·ς, τὸ τέταρτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν παράγουσαν,

ἐν τῇ ·β· τοῦ ·ζ· ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀπαιτοῦσι,

ἐν τῇ ·β· τοῦ ·η· λημῶ λήμαις·

ἐν τῇ ·β· τοῦ ·ι· καὶ μιᾷ καταλήξει·

ἐν τῇ ·α· τοῦ ·ια· ἐπιλάθωμαι, πρόωμαι, καὶ τὰ ὅμοια· ἀνυπότακτα ἐνεργητικὰ καλοῦνται·

·Α·

ἐν τῇ ·α· τοῦ ·β· ὡς γέγραπται·

ἐν τῇ ·α· τοῦ ·ε· μοῦσα, πεῖνα·

·Β·

ἐν τῇ ·α· τοῦ ·ζ· ἢ ·λ· ἔχουσι πρὸ αὐτοῦ·

ἐν τῇ αὐτῇ, ἀλτὸς, ἁλὸς ἐγένετο·

ἐν τῇ ·β· τοῦ ·η· τούτοις προστιθέμενον·

·Γ·

ἐν τῇ ·α· τοῦ ·γ· οἷον, ἡ διῶρυξ·

ἐν τῇ·β.στίχου·λ·προσθέσει τοῦ·σσ·ποιοῦσι.
ἐν τῇ.α·τοῦ·ε·καρχηδὼν, καρχηδόνος.
ἐν τῇ αὐτῇ ἡ ἐν λιβύῃ.
ἐν τῇ·β·στίχου·ζ·γῆρυς, γήρυος.
ἐν τῇ·α·τοῦ·η·μέρμινθος.

·Δ·

ἐν τῇ·α·στίχου·α·τινί·τινά.
ἐν τῇ·α.στίχου·ε·φθεῖσθαι ὅμως.

·Ε·

ἐν τῇ·β·τοῦ·β·καὶ ἔτι χωρεῖσ.
ἐν τῇ·α·στίχου·ϛ·καὶ τυψάντων διὰ στίχου·ν.
ἐν τῇ·β·στίχου·ζ·ὅθεν καὶ τὸ·ι·προσγράφεται.

·Ζ·

ἐν τῇ·α·τοῦ·β·καὶ κράσει τοῦ·αο·εἰς·ω·μέγα, ἐτύψω.
ἐν τῇ αὐτῇ καὶ ἰωνικῶς τύπτεο.
ἐν τῇ·α·στίχου·ε·πεινῶ, πεινήσω.
ἐν τῇ·β·στίχου·ζ·χιλιοστῷ, πεντακοσιοστῷ.
ἐν τῇ·α·στίχου·η·καὶ γίγνεται·ἐμεῖο·ποτὲ δὲ·θεν.

·Η·

ἐν τῇ·β·στίχου·λ·ὅρσιο γραμματικῆς.

Ordo quaternionum, si separatum a latino græcum fore placuerit.

α

κωνσταντίνου·
ἐπιτομὴ
κλητικὴ δὲ
νε ταῖν ξυ

·β·

ἡ τυποῦσα
μένη, τό τε
ποιέοιθον,
βοαοίμην

·γ·

ΠΕΡΙ ΤΗΣ
καν· ἤυληκα
κοινῶς, καὶ
κράζω.

·δ·

στατικὰ
ἡδύτερος
ας, βαρεῖαν
σιν πρόστι

ε·

κρεμάζω
λον· πυθύσω
τέρος, ἔφυν,

Α·

προοίμιον·
μαι· ἔπι·
λὰ καὶ ἐρᾶσθαι
κὴν προσώπου
παρακαλῶ·
μισέομαι

Α·

ΚΩΝΣΤΑΝΤΙΝΟΥ
στης, νεφεληγε
τὸ ω μέγα·
ὀξεῖα· μα

Β·

λήγει. χω
βύρηνται δὲ
λανοσ, καὶ
ὄντα φυλάτ

Γ·

κολαπτύτων

ἐν ταῖς κλη
δίον βόμβυξ
μάρτυρος,

Δ·

κάρα. καὶ.
ἀλείφατος·
ταῖς πτώσεσιν
οὔρεα κατ'

Ε.

ἐγρηγόρουν
τὸ ξίλον ἔ
πλοῦ συμφώ
ξοπῆ τοῦ

Ζ·

ξίτον πρὸ
τὸ ἐῤῥώσθην
φθεῖσαι· δὴ
οὔτε περὶ

Η·

σφῆ, σφῶν.
κωνσταντίνου

Ordo quaternionum, si separatum latinũ a græco fore placuerit·

a

ALDVS.
De nomine
famis fami
hic cyclops·

b

ses·set.uer·
medius ao
optatiua acti
clamaueras
rauerãm.

c

duorum ita
scripseram
ut strepo
De primo

d

mei ipsius
cus æaci
De uerbali
punctum cum
in compositione

e

eo futurum·
liquefacio·
cipiens aspira

A.
Pathah.hateph
medium &
mitto·fero
lauo manus
repeto a te
dem est pri/
Illudor.

B

CONSTANTINI
dendum, & con
bisyllaba.
ralis nomina
uocatiuum.

C

plurisyllabo
ninis compo
ladæ. etiam
gnum cete.

D

perbisyllaba
cion onis
o rex fontis
fert ut stur
multisyllaba

E
quidem longa
autem & hoc
mosthenes.
hi hercules

F
ritum ut ui
timant.uer
n in g.uer·
ptm̃ perse.
uerberauit.

G

in min, &
& attice per
De infinitis
in præsenti

H

uos & eo·
ipsa ipsum
legimus.

m

De literis
ALPHABETVM
ε cum tenui
ῳ cum iota

n

non ualde
neq; audi
neq; abiicias
ne alterum.

Hebra.

Aldus studiosis

Ordo quaternionum, si latinum græ-co inserere quis uoluerit.

α a

κωνσταντίνου.
ALDVS.
ἐπιτομή
De nomine
κλητικὴ δὲ
famis fami
νε ταῦν ζυ
hic cyclops.

b β.

ses. set uer-
ἡ τυπτοῦσα
medius ao
μλὴν, τὸ τε
optatiua acti
ποιέοισθον,
clamaueras
βοαοίμην
raueram.

γ c

ΠΕΡΙ ΤΗΣ
duorum ita
κειν. ἤυλησα
scripsera m
κοινῶσ, καὶ
ut strepo.
κράζω.

De primo.

d δ.

mei ipsius.
στικὰ
cus æaci
ἤδύτερος
De uerbali
ας, βαρεῖαν
punctum. cum
σιν πρός τι
in compositione

ε e.

κρεμάζω
eo. futurum
λων. πυθύσω
liquefacio
τέρος, ἔφυν,
cipiens aspira

A. A.

προοίμιον.
medium, &
μαι. ἔπι.
mitto. fero.
λὰ καὶ ἐρᾶσθαι
lauo manus
κὶν προσώπου

repeto a te
παρακαλῶ.
dem est pri
μισέομαι
illudor. in cu-

A B.

CONSTANTINI
ΚΩΝΣΤΑΝΤΙΝΟΥ
dendum & con-
στησ. νεφεληγε
bisyllaba.
τὸ ωμέγα.
ralis nomina
ὀξεῖα. μα
uocatiuum.

B C.

λήγει. χω
plurisyllabo-
εὕρηνται δὲ
ninis compo-
λαος, καὶ
ladæ. Etiam
ὄντα φυλάτ
gnum cete

D r.
perbisyllaba
κωλατπύτων
cion onis
ἐν ταῖς κλη
o rex fontis
οἷον βόμβυξ
fert ut stur-
μαρτυρος
multisyllaba.

Δ E.

κάρα. καί.
quidem longa
ἀλείφαρς.
autem & hoc
ταῖς πτώσεσιν
mosthenes.
οὔρεα κατ
hi hercules

F E.
ritum ut ui-

ἐγρηγόρουν.
timant uer-
τὸ ζίγνε
n in g uer-
πλοῦ συμφώ
ptm̃ perfe.
ζοπη γοῦ
uerberauit,

Z G.

ζίγν πρὸ
in min, &
γὸ ἐρρώσθην
& attice per
φθεῖεν. δῆ
De infinitis.
οὔτε περὶ
in præsenti

H H.
uos & æo-
σφὴ, σφόν.
ipsa ipsum

κωνσταντίνου
legimus.

m.

De litteris
ALPHABETVM.
ε cum tenui
ῳ cum iota.

n.

non ualde.
neque audi-
neq; abiicias
ne alterum.

Hebraicum.

Aldus studiosis
pathah. hateph.

Aldus Manutius Romanus Studiosis adolescentulis.S.P.D.

Nihil prætermittere est animus, quod utile credamus futurus iis, qui græce discere cõcupiscunt, optime'que scire latine. Quã obrem græcas literas, ac diphthongos, earum'q; nomina, & potestatem, ac quemadmodum in latinum transferãtur cum exemplis ad id accõmodatis annotauimus. addidimus etiam abbreuiationes scitu quidem pulcherrimas. Et quia operæpretium existimauim⁹ scire uos græce salutationem Angeli ad Beatissimã Virginem, exulum'q; filiorum Euæ ad eandem, nec uõ Diui Ioannis Euangelium, In principio erat uerbum. Item Symbolum Apostolorum, hæc omnia cum latina iterpretatione imprimenda curauimus. Addidimus carmina Pythagoræ cognomento, ob ipsorum excellentiam, & diuinas admonitiones, aurea. Phocylidis item præcepta sanctiss. quem antiquis Ethographis annumerat Isocrates, quæ si placuisse cognouero, habeo lõge meliora, maiora'que, quæ postea Deo fauente condonabuntur. Omnem enim uitam decreuimus ad hominum utilitatem consumere. Deus est mihi testis, nihil me magis desiderare, quã prodesse hominibus, quod & ante acta uita nostra ostendit ubicunque uiximus, & ostensuram speramus (quando id uolumus) in dies magis quandiu in hac lachrymarum ualle, & plena miseriæ uiuimus. Dabo igitur operam, ut quantum in me est, semper prosim. nam & si quietam, ac tranquillam agere uitam possumus, negotiosam tamẽ eligimus, & plenam laboribus. Natus est enim homo non ad uoluptates, bono, & docto uiro indignas, sed ad laborem, & ad agendum semper aliquid uiro dignum. non torpeamus igitur, non uitam in otio, uentri, somno'que, & reliquis uoluptatibus indulgentes, transeamus ueluti pecora. Nam (ut inquit Cato) Vita hominis prope uti ferrum est. ferrum si exerceas conteritur, si non exerceas, tamen rubigo interficit, ita si se homo exerceat, consumitur, si non exerceat, torpedo plus detrimẽnti affert, quam exercitatio.

Valete.

ALPHABETVM GRAECVM.

Literæ apud græcos sunt quatuor & uiginti

Α α α ἄλφα Alpha.a. Β ϐ β βῆτα Vita.b.
Γ γ Ϲ γάμμα Gamma.g. Δ δ δ δέλτα Delta.d.
Ε ε ϵ ἐψιλὸν Epsilon.e. Ζ ζ ξ ζ ζῆτα Zita.z.
Η η η ἦτα Ita.e.longum. Θ ϑ θ θῆτα Thita.th.
Ι ι ϊ ἰῶτα Iota.i. Κ κ κάππα Cappa.c. Λ λ
λάμβδα Lambda.l. Μ μ μῦ My.m. Ν ν ν νῦ
Gni.n. Ξ ξ ξῖ Xi.x. Ο ο ομικρὸν Omicron.o.
Π π ϖ πῖ Pi.p. Ρ ρ ϱ ῥῶ Rho.r. Σ σ σ
ς ς σῖγμα Sigma.s. Τ τ τ ταῦ Taf.t. Υ υ
ὑψιλὸν Ypsilon.y. Φ φ φ φῖ Phi.ph. Χ χ χῖ
Chi.ch. Ψ ψ ψῖ Psi.ps. Ω ω ω ωμέγα. Omega.
o.magnum.

De diuisione literarum graecarum.

Diuiduntur hæ quatuor & uiginti literæ in duas partes in uocales & consonantes. Vocales sunt septem.

Α α. Ε ε. Η η. Ι ι. Υ υ.

Diuidũtur septem uocales in tres partes, in semper longas, semper breues, & communes.

Vocales semper longæ duæ.

η ω

Vocales semper breues duæ.

ε ο

Vocales communes tres.

α υ ι

De diphthongis proprie & impropriè.

Diphthõgi ex uocalibus fiunt. sunt autem diphthongi proprie & improprie.

Diphthongi proprie sunt sex.

ΑΙ αι ἄλφα ἰῶτα. Alpha iota. ΑΥ αυ ἄλφα ὑψιλὸν. alpha ypsilon. ΕΙ ει ει εἰῶτα. eiota. ΕΥ ευ ε ὑψιλόν. eypsilon. ΟΙ οι ὀ ἰῶτα. o iota ΟΥ ου ȣ ȣ ὀυ ψιλόν. o ypsilon.

Dipthongi impropriæ item sex.

ἄλφα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου .ι. alpha cum iota subscri-
pto sic ᾳ. ἦτα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου .ι. ita cum iota subscripto sic. ῃ. ὦ, μέγα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου .ι. o mega cũ iota subscripto sic. ῳ. ὖ ψιλὸν μετὰ τοῦ ἰῶτα προσγεγραμμένου, idest ypsilon cũ iota adscripio sic. υι. ὦ μέγα ὖ ψιλὸν, idest omega ypsilon sic ωυ. ἦτα ὖ ψιλὸν, ita ypsilon sic. ηυ.

De consonantibus.

Consonantes sunt decem & septem. β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. Quæ diuiduntur in duas partes semiuocales & mutas. Semiuocales sunt octo. ζ ξ ψ λ μ ν ρ σ. Rursus semiuocales diuiduntur in duas partes in duplices & in immutabiles. Duplices sunt tres. ζ ξ ψ. Immutabiles quatuor. λ μ ν ρ. Sigma uero remanet semiuocalis Mutæ sunt nouem β γ δ κ π τ θ φ χ. quæ secant̃ in tres partes. In tenues. aspiratas. & medias.

Tenues sunt tres.

κ π τ.

Mediæ item tres.

β γ δ.

Rursus aspiratæ tres.

θ φ χ.

Et sciendum tres tenues κ π τ. habere suas aspiratas, θ φ χ. Medias uero, β γ δ. Habet igitur κ suam aspiratam. χ & mediam γ π uero habet suam aspiratam, φ. & mediam, β. τ habet suam aspiratã, θ. mediam uero, δ. Cõstituant autẽ sic.

	κ		γ		χ
Tenues,	π	Mediæ,	β	Aspiratæ,	φ
	τ.		δ.		θ.

Quæ tantam habent inter se cognationem, ut tenuis sæpe trãseat in suam aspiratam & mediam. Item aspirata in tenuem, mediamq́3. Rursus media ĩ tenuẽ, atq3 aspiratã. quod facile patet exẽplis. κ transit in suam aspiratam, χ. in fine dictionis sequente uocali aspirata, ut οὐχ οὕτως ἐστι, pro οὐκ ἔστιν οὕτως. primum οὐχ habet χ quia supra, ō. est aspiratio. secũdum uero. κ. quia sequit̃

ε. cum tenui. & πεποίηχ' ὅπερ ἐκέλευσας pro πεποίηκα ὅπερ ἐκέλευσας.

τ transit in. θ. ut αὐλεῖσθαί θ' ἱδρῦα. pro αὐλεῖσθαί τε ἱδρῦα. sic in καθέδρα ex κατὰ καὶ ἕδρα abiicitur alpha κατὰ θλῖψιν, & . τ . trãsit in. θ. quia iuenit supra ε. aspirationem. Idem fit in καθέζομαι, καθὸ, ex κατὰ καὶ ἕζομαι, κατὰ καὶ ὅ.

π item trãsit in φ sic ὑφ' ἕν. integrum est ὑπὸ ἕν sed κατὰ θλῖψιν fit ὑφ' ἕν. & quia π inuenit supra ε aspirationen transit in suam aspiratam φ, & fit ὑφέν. sic ἐφίππια, ἐξ ἐπὶ καὶ ἵππος. ἐφ' ᾧ, ἐξ ἐπὶ καὶ ᾧ. ἐφοράω, ἐκ τοῦ ἐπὶ καὶ ὁράω. sic per q̃ multa alia. Hanc transmutationẽ pulchrũ est deprehendere in coniugationibus. nam idcirco prima coniugatio barytonorum habet φ aspiratã ante α in præterito, qa ĩ præsenti est uel π tenuis. uel β media uel πτ. uel ipsũ φ. ut λείπω, λέλειφα. λείβω, λέλειφα. τύπτω, τέτυφα. γράφω, γέγραφα. in futuro uero ψ. quæ est π σ. α, β. σ. φ, πτ. ut τύψω pro τύπσω. Eodem modo secunda coniugatio barytonorũ ideo habet in præterito χ, quia in præsenti est γ media uel κ tenuis uel κτ. uel ipsum χ. ut λέγω, λέλεχα, πλέκω, πέπλεχα. τίκτω, τέτεχα. λέχω, λέλεχα. In futuro uero transeunt in ξ, qa ualet qđ κ tenue, & σ. ẽ n. ξ κσ. ut λέξω, p λέκσω. mutãť etiã aspiratæ ĩ suas tenues in ptis geminãtib⁹ primã sic, φύω, πέφυκα. χαλέπτω, κεχάλεφα. θαυμάζω, τεθαύμακα, quod fit ad euitandam cacophoniam idest dissonantiã. præterea in præteritis passiuis mediæ pro aspiratis ponuntur ante μαι. γ pro χ ut λέλεχα, λέλεγμαι. β pro φ ut τέτυφα deberet esse passiuũ præteritum τέτυβμαι, sed quia ante μ non admittitur β, transmutatum est β in μ, ut, τέτυμμαι pro τέτυβμαι. γέγραμμαι pro γέγραβμαι. Rursus mediæ transeunt in aspiratas sic, λέλεγμαι, ἐλέχθην γ in χ. τέτυμμαι pro τέτυβμαι, ἐτύφθην β in φ. Item in tenues ut λέλεγμαι, λέλεκται γ in κ. τέτυμμαι pro τέτυβμαι τέτυπται β in π. Quod & nos facimus græcas literas in nostras commutantes, quod paulopost, ubi quonam modo græcæ literæ in nostras transeant, ostendemus.

De potestate literarum omnium, & diphthongorum.

Α. α. facit a ut ἈΛΛᾺ ἀλλὰ alla. ἈΓΑΘΌΣ. ἀγαθὸς Agathos.

Β β facit u ut ΒΆΡΒΑΡΟΣ. βάρβαρος. uaruaros. ΒΑΒΑῚ βαβαὶ uaue. Γ γ facit g ut ΓΈΓΡΑΦΑ γέγραφα. gegrapha Δ δ facit d ut ΔΑΊΔΑΛΟΣ δαίδαλος dædalos. Ε ε facit e ut ἘΓῺ ἐγὼ ego. Ζ ζ facit z ut ΖΆΘΕΟΣ ζάθεος zatheos. Η η facit i longum ut ΦΉ ΝΗ· φήνη phini. Θ θ facit th ut ΘΆΝΑΤΟΣ θάνατος thanatos. Ι ι facit i ut ἼΑΚΧΟΣ ἴακχος iacchos. Κ κ facit c ut ΚΟΡΎΔΩΝ κορύδων co rydon. Λ λ facit l ut ΛΆΛΟΣ λάλος lalos. Μ μ facit m ut ΜΟΡΜῺ μορμὼ mormo. Ν ν facit n ut ΝΑΊ· ναὶ næ. Ξ ξ facit x ut ΞΑΝΘΌΤΡΙΞ ξανθότριξ. xanthotrix. Ο ο .facit o paruum ut ὈΒΕΛΊΣ ΚΟΣ ὀβελίσκος. oueliscos. Π Ρ π ϖ facit p ut ΠΆΠΠΑ πάππα pappa. Ρ ρ facit r ut ῬΏ ΜΗ ῥώμη· rhomi. Σ σ facit ſ ut ΣᾺΡΞ σὰρξ sarx. Τ τ facit t ut ΤΆΛΑΝΤΟΝ. τάλαντον. talanton. Υ υ facit y ut ὝΜΝΟΣ ὕμνος hymnos. Φ φ facit ph ut ΦΊΛΟΣ φίλος philos. Χ χ. facit ch ut ΧΡΙΣΤῸΣ χριστὸς Christos. Ψ ψ facit pſ ut ΨῚΞ ψὶξ. psix ΨΕΛΛΊΖΟΜΑΙ ψελλίζομαι psellizome. ΨῈ ψὲ. pse. Ω ω facit o longum ut ὮΚΑ ὦκα oca. χιτὼν chiton.

De potestate diphthongorum.

ΑΙ αι facit æ ut ἈΙΓῚΣ. αἰγὶς ægis. ΑΥ αυ facit af medium inter b & f ut ἈΥΤΊΚΑ, αὐτίκα astica ἈΥ ΛῊ, αὐλὴ auli. ΕΙ. ει. ει. facit i longum ut ἘΙΣ, εἰς. is ἘΙΚῺΝ, εἰκὼν. icon. ΧΕῚΡ, χεὶρ. chir. ΕΥ ευ facit ef medium inter b & f, ut ἘΥΓΕ, εὖγε efge ΘΗΣΕῪΣ, θησεὺς. thiseus. ΟΙ οι facit i longum, ut ὞ΙΜΟΙ οἴμοι imi. ΟΥ, ου, ȣ, ȣ. facit u uocalem longam ut ὈΥΚ ΟΥ͂Ν, οὐκ οὖν. ucun.

De potestate diphthongorum improprie.

ᾳ cum ι subscripto facit a ut ἐνθᾳθιοπίᾳ enthathiopia. ᾄδω ado. ῃ cum ι subscripto facit i longum, ut τῇ μούσῃ. ti musi νηρῇδες nirides.

ῳ cum iota subscripto facit o longum, ut παλινῳδία, palinodia. τῷ ἀνθρώπῳ, to anthropo. ueteres uero non subscribebant iota, sed adscribebant sic τῶι ξενίαι, to xenia, τῆι μούσηι, ti musi. τραγῳδίαι, tragodia. quod in codicibus antiquis licet uidere, minore tamen iota α η ω literis quibus adscribitur & eiusdem ferè q̃titatis, cuius est apud nos, quod subscribitur, quæ antiqua scribendi consuetudo adhuc remanet in grandioribus literis sic ΤΩΙ ΛΟΓΩΙ, To Logo. ΤΗΙ ΜΟΥΣΗΙ Timusi. ΜΑΙΑΙ, mæa. Υ cum iota sic ΥΙ υι facit i longum, ut ἍΡΡΥΙΑ ἅρπυια harpyia. ΜΥΙΑ μυῖα myia ἡ τετυφυῖα, τῆς τετυφυίας. in tetyphyia tis tetyphyias.

ΗΥ ηυ facit ib medium inter b & u consonantem, ut ἭΥΔΑ ΠΡΟΣΗΥΔΑ ibda pro sibda. αὐλέω ηὔλεον ηὔλησα ηὐλήκειν ηὐλήκεισα auleo ibleō iblica iblichin iblisa ΩΥ ωυ facit ob mediũ inter b & u consonantem, ut ὩΥΤΟΣ ὡυτὸς ostos pro αὐτός. & θωυμαστὸς thosmastos pro θαυμαστὸς qua diphthongo iones utuntur pro αυ.

Quẽadmodũ literæ, ac diphthongi græcæ in latinũ transferantur. Α α mutatᷣ in a, ut κάλαθος calathus. Interdũ in e ut τάλαντον talẽtum. Item in i, ut κάναστρον canistrum. Item in o, ut μάρμαρον marmor κάρυλος corylus. & in u, ut Ἡρακλῆς Hercules hyperthesi τοῦ .κ. Et in æ diphthongum, ut ἀσκληπιὸς æsculapius. Β mutatur frequentissime in b, ut φοῖβος, phœbus. βάρβαρος, barbarus. aliquando in p ut βαβαὶ, papæ. quãquam & græci παπαὶ dicunt. Item in ph, ut θρίαμβος, triumphus. Γ γ mutatur in g, ut κώβιος, gobius. γένος, genus, uertitur etiam in n, in iis dictionibus quæ apud græcos commutarunt ν in γ sequentibus γ κ χ ξ ut ἄγγελος, angelus. δίφθογγος, diphthongus. ἄγκυρα, ancora. ἀγχίσης, anchises. σφίγξ, sphinx. Quoniam ante γ κ χ ξ non admittitur ν apud græcos, mutatum est in γ. quod Romani rursus in n commutarunt. Et si antiqui græcam orthographiam obseruantes Aggelus. diphthoggus scribebant p duplex gg. Δ cõmutatᷣ in d, ut διδὼ, dido. δαίμων, dæmon. Interdum in b, ut δὶς, bis, & in l ut ὀδυσσεὺς, ulysses. sicut apud nos, ut sede, sella. nam d & l inuicem sibi cedunt.

Epsilon mutatur in e breue ut ἐγὼ ego. γένεσις genesis. ζ remanet ut ζάκυνθος zacynthus. ζέφυρος zephyrus. Interdum mutatur in geminũ ss, ut μάζα massa. πατρίζω patrisso. η est e longum ut πηνελόπη Penelope. πηνελόπης Penelopes. ἡρακλῆς Hercules. interdum mutatur in a longũ ut μήτηρ mater. νηῒς nais. φήμη fama. σίνηπι sinapi. θρήκη thrace. Item in æ diphthongum ut κηρός. cæra σκηνή scæna σκηνοπηγία scænophegia. ἠθική æthica. θ mutatur in th aspiratum. ut θρήκη thrace. θύρσος thyrsus. Interdum in suam tenuem, idest t. ut θρίαμβος triumphus. Item in suam mediam, idest d ut θεὸς deus. θεὰ dea. ι mutatur in i, modo lõgum, modo breue ut ἀγχίσης anchises, νεστορίδης nestorides. κ mutatur in c, ut κάκος cacus. κωκυτὸς. Cocytus. interdum in suam mediam g, ut κώβιος gobius. κύκνος cygnus. ἄγνος agnus. Item in p ut λύκος. lupus. λ. mutatur in. l. ut πάλλας Pallas λύγξ lynx λύρα lyra. λὺξ lux. λωτὸς lotus, μ mutatur in m ut γραμματικὸς, grammaticus στέμμα stemma, μέμνημι. memini. μελπομένη. melpomene. ν uertitur in n ut ναῦς, nauis. νηῒς nais νὺξ nox. νυκτέλιος. nyctelius. ξ uertitur in x ut ξενοφῶν. Xenophon. ξένιον. xenium. Omicron uertitur in o breue ut ὄλυμπος olympus. Item in u ut ὀδυσσεὺς, ulysses. πορφύρα. purpura συρακόσιος, Syracusius δωρικῶς. nam κοινῶς, συρακούσιος dicitur. sed frequens mutatio est o in u in fine dictionis, ut κύπρος. cyprus. ὅμηρος. Homerus. πήλιον, pelium. ἴλιον, ilium. interdum in e. γόνυ genu. πὸς αἰολικῶς pes. nam κοινῶς πούς dicitur. ἀλέξανδρος, Alexander. κάπρος caper. π mutatur in p ut πασιφάη, Pasipha'e. πάπποι pappi. πάππα Pappa. interdum in suam aspiratam, quæ est apud nos ph, ut τρόπαιον, trophæum. λαπίθαι, laphithæ. ὑψιπύλη hyphyle. Item in suam mediam, quæ est apud nos b ut πύξος, buxus. ἄψυρτος absyrtus. nam ψ est ps ut ἄραψ arabs. ρ uertitur in r, ut ῥήτωρ. rhetor. ubi sciendum omnem dictionem, quæ apud græcos scribitur per. ρ. in principio dictionis, transferri a nostris in r cum aspiratione, ut ῥέα rhea σ. mutatur in s ut σίσυφος Sisyphus. interdum in x, ut αἴας aiax. πίστρις pistris. ubi imitamur dores, qui pro

